ΠΟΡΦ. ΠΕΡΙ. ΖΩΩΝ. ΑΠ. ΨΕΛΛ. Π. ΖΩΩΝ. ΑΙΓΙΝ.

Collezione delle Giuntine all anno 1548.

ΠΟΡΦΥΡΙΟΥ ΦΙΛΟΣΟ

ΦΟΥ, ΠΕΡΙ᾿ ἈΠΟΧΗ͂Σ ἘΜΨΥ'ΧΩΝ ΒΙΒΛΙ'Α ΤΕ'ΣΣΑΡΑ.
ΤΟΥ͂ ἈΥΤΟΥ͂. τῶν πρὸς τὰ νοητὰ ἀφορμῶν.

ΜΙΧΑΗΛ ΕΦΕΣΙΟΥ.

ΣΧΟ'ΛΙΑ εἰς τέσσαρα τοῦ Ἀριστοτέλους περὶ ζώων μορίων.

PORPHYRII PHILOSOPHI, DE NON

NECANDIS AD EPVLANDVM ANIMANTIBVS LIBRI. IIII.
Eiusdem. Selectę breuesq́ sententię, ducentes ad intelligentiam rerum, quę mente noscuntur.

MICHAELIS EPHESII.

SCHOLIA In. IIII. Libros Aristotelis de partibus animantium.

E MEDICEÆ BIBLIOTHECÆ.



Φιλεῖ δέ μιν Παλλὰς αἰεί: φιλέοντι δὲ μοῖσαι.

FLORENTIAE M. D. XLVIII.

PETRVS VICTORIVS,

studiosis Graecarum artium, Graeco sermone scriptarum.

NON Est è genere eorum hominum Reipublicæ nostræ Princeps, qui adumbrati honoris splendore: inanisq; gloriæ cupiditate capti, res præclaras, & utiles soli habere uolunt: atq; ipsarum possessione cæteris omnibus antistare: contra enim ea uera bona putat, quæ communia sunt, & à cunctis, qui se dignos illis præbuerint, obtineri possunt. Hoc, quemadmodum nobis multis modis sæpe declarauit, ita nunc consilio hoc suo plurimis gentibus indicabit: instituit enim ueteres scriptores, à maioribus suis summa diligentia conquisitos: magnisq; sumptibus è Græciæ ruinis incendijsq; sæuissimi belli ereptos, diuulgare, atq; ita commodis studiosorum: memoriæq; doctorum uirorum consulere: qui laboribus suis ingenijq; excellentia posteris prodesse uoluerunt, & in his curis studijsq; ætatem omnem consumpserunt: iniquo autem situ diu usi in tenebris latuere: ac, quemadmodum ipsi uarijs casibus expositi fuere, ita fructus nullos cupidis ingenuarum artium, aut paruos admodum, tulere. Nec solum hos, qui lucem multis seculis non aspexerunt, in medium proferre decreuit, sed etiam non paucos, qui mendosi iam, ac manci excusi sunt, summa cura perpurgatos, membrisq; suis auctos, ope eiusdem supellectilis, fidelissimorumq; codicum copia, iterum foras dare. Huic igitur rei nunc incumbitur: operaq; datur, ut tam honesta piaq; Principis uolũtas, pro dignitate ipsius, ac studiosorum utilitate, ad exitum perducatur. Interim cupiens ego specimen aliquod huius operis, quod texitur, dare: ac tam lætum nuncium auribus eruditorum primus apportare, non dum tantæ rei apparatu confecto, quasi excucurri: ac paruum hoc uolumen edendum curaui. In quo quattuor Porphyrij libri de non cædendis deuorandisq; animantibus, ualdè à nostris etiam auctoribus celebrati: alterq; itidem ipsius libellus, quo quæstiones quædam subtiles grauesq; de diuinis rebus, ex decretis Platonis, continentur: nec non etiam declarationes Michaelis Ephesij, unius posteriorum Aristotelis interpretum, in quattuor libros de partibus animantium. Tyrij Philosophi libri:

accurataq; de illis rebus disputatio, remota superstitione, mirificè utiles erunt, ob multiplicem ac uariam reconditarum elegantiumq; rerum expositionem: ac crebra etiam antiquorum scriptorum, uetustate consumptorum, exempla. quibus utitur aut in sententijs suis confirmandis, aut in iudicijs ipsorum, institutisq; refellendis. nam exiguus libellus quo uoluit excitare ad res percipiendas, quæ animo tantum & ratione cernuntur, totus aureolus est: ac non multis uerbis, multam obscuramq; doctrinam complectitur. Non ingratam etiam fore putaui Ephesij breuem explicationem, in optimi auctoris libros: quamuis parem illum digni tate doctrinaq; Porphyrio minimè fuisse, non ignorem. & quia partim Aristotelei illi libri obscuri perdifficilesq; sunt, & quia à nullo alio, quod sciam, Græco homine illustrantur, excepta Metochitæ paraphrasi, quæ non dum formis excusa est: nec ullam in partem melior eruditiorq; expectari debet. Quod uerò ad scripturæ integritatem: diligentiamq; in lectione purganda adhibitam, pertinet, non inficiabor Porphyrij libros pessime habitos inscitia superiorum temporum: uitioq; librariorum ualde corruptos fuisse: tantum tamen studij, collatis pluribus exemplaribus, in illis emendandis posuimus, ut multum auxilij ipsis tulisse nobis uideamur: quamuis non omnes maculas delere, nec manca imminutaq; non nulla loca restituere, potuerimus: fides certè illis nostra diligentiaq; non defuit. quod etiam in scholijs Ephesij, magna cum eorum utilitate, præstitimus. Valete ingeniosi, & eruditi uiri, & propediem plura meliora q; ab humaniss. Principis liberalitate: egregioq; ipsius in uos amore, expectate.

Prophyrij uitā actam, à Græco auctore scriptā, in extremo uolumine leges.

ΠΟΡΦΥΡΙΟΥ

ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ΑΠΟΧΗΣ ΕΜΨΥΧΩΝ ΒΙΒΛΙΟΝ Α.

ΤΩ͂Ν ΠΡΟ͂Σ ἡμᾶς ἡκόντων ὦ Φίρμε πυθόμενος ὡς τῆς ἀσάρκου καταγνοὺς τροφῆς, ἐπὶ τὴν ἐξ ἀρχῆς ἀναδεδράμηκας πάλιν βορὰν, κατ᾽ ἀρχὰς μὲν ἠπίστουν τῆς γε σῆς σωφροσύνης στοχαζόμενος καὶ τῆς εὐλαβείας· ἣν πρὸς τοὺς ταῦτα ὑποδέξαντας, παλαιούς τε ἐμοῦ καὶ θεοφόβους ἄνδρας πεποιήμεθα· ἐπεὶ δὲ καὶ ἄλλοι ἐπὶ τοῖς πρώτοις μηνύοντες, τὴν ἀγγελίαν ἐβεβαίουν, τὸ μὲν ἐπιπλεῖστον σοι, οὔτε κατὰ τὴν παροιμίαν φυγῇ κακοῦ τὸ ἄμεινον εὑρόντι, οὔτε κατὰ τὸν Ἐμπεδοκλέα, τὸν δὴ πρότερον ἀποδυρομένῳ βίον· εἰς δὲ τὸν βελτίω ἀποστρέψαντι, ἀγροῖκόν τ᾽ εἶναι ἐδόκει καὶ πόῤῥω τῆς κατὰ τὸν λογισμὸν πειθοῦς εὑρισκομένης. τὸ δ᾽ αὖ δὴ τοῦ λόγου τὸν ἔλεγχον τῶν ἁμαρτημάτων ἐκκαλύπτειν, ἀφοσιοῦντι εἰς οἷα καταβέβηκας μηνύειν, τῆς τε πρὸς ἀλλήλους φιλίας ἀντάξιον καὶ τῶν πρὸς ἀλήθειαν τὸν αὐτῶν βίον ξυνταξαμένων, εἶναι ἐδικαίουν· καὶ γάρ μοι κατ᾽ ἐμαυτὸν λογιζομένῳ τὴν τῆς μεταθέσεως αἰτίαν, ὑγιείας μὲν καὶ ῥώμης ὡς ἂν ὁ πολὺς καὶ ἰδιώτης φαίη ὄχλος, οὐκ ἂν μεταβάλλεσθαι φήσαιμι· τοὐναντίον γὰρ καὶ πρὸς ὑγίειαν καὶ πρὸς σύμμετρον ὑπομονὴν τῶν πρὸς φιλοσοφίαν πόνων, τὴν ἄσαρκον δίαιταν, αὐτὸς συνὼν ἡμῖν, ὡμολόγεις συμβάλλεσθαι· τῇ τε πείρᾳ γινώσκειν πάρεστιν ὡς ταῦτα λέγων, ἠλήθευσας· ἢ δι᾽ ἀπάτην οἶμαι, ἢ τὸ μηδὲν διαφέρειν ἡγεῖσθαι πρὸς φρόνησιν, τὸ οὕτως ἢ ἐκείνως διαιτᾶσθαι, ἢ δι᾽ ἄλλην ἴσως αἰτίαν ἣν ἀγνοῶ, τὸν φόβον τῆς ἐν τῷ παραβαίνειν ἀσεβείας ἐπαρτῶσαν μείζονα, ἐπὶ τὰ πρόσθεν ἀναδραμεῖν σε παρανομήματα ἐφαίνετο· οὐ γὰρ δὴ δι᾽ ἀκρασίαν καὶ φόβον τῆς ὀψοφάγου λαιμαργίας, καταφρονῆσαι τῶν πατρίων, ἃς ἐζήλωκας φιλοσοφίας, νόμων, φήσαιμι ἄν σε· οὐδ᾽ ἐλάττω τὴν φύσιν τῶν παρέτισιν ἰδιωτῶν εἶναι· οἳ νόμους ἐναντίους οἷς ἔζων πρότερον, καταδεξάμενοι, τομάς τε μορίων ὑπομένουσι καί τινων ζώων, ὧν πρόσθεν ἐνεφοροῦντο, ἀπέχοιντο ἂν μᾶλλον ἢ κρεῶν ἀνθρωπείων· ἐπεὶ δέ τινες τῶν ἀφικομένων καὶ λόγων ἀπεμνημόνευον· οὓς κατὰ τῶν ἀπεχομένων ἐποίου, οὐ σχετλιάζειν μόνον, ἀλλὰ καὶ νεμεσᾶν παρῆν. εἰ ψυχροῖς καὶ ἄγαν ἑώλοις σοφισματίοις πεισθέντες, αὐτοῖς τε ἀπατᾶν καὶ παλαιὸν δόγμα καὶ θεοῖς φίλον, ἀνατρέπειν ὑπομείνατε, ὅθεν μοι ἔδοξε μὴ μόνον τὸ οἰκεῖον ἀποδεικνύναι ὡς ἔχει, ἀλλὰ καὶ τὰ τῶν ἐναντίων, πολλῷ ἰσχυρότερα τῶν ὑφ᾽ ὑμῶν λεγομένων ὄντα καὶ πλήθει καὶ δυνάμει καὶ ταῖς ἄλλαις κατασκευαῖς, συναγαγεῖν τε καὶ λῦσαι· οὐδ᾽ ἀπὸ τῶν ἐμβριθῶν δοκούντων εἶναι, οὐχ ὅτι τῶν ἑώλων καὶ ἐπιπολαίων σοφισμάτων, τὸ ἀληθὲς ἡττημένον δεικνύντα ~~ἀντειρήκασιν~~· ἴσως γὰρ ἀγνοεῖς ὅτι τῇ ἀποχῇ τῶν ἐμψύχων οὐκ ὀλίγοι, ἀλλὰ καὶ τῶν φιλοσόφων οἵ τ᾽ ἐκ

[Marginal notes: φυγῇ κακοῦ τὸ ἄμεινον εὑρεῖν proverb. — Τὸ — Iulianus sig. — ἀντειρήκασιν]

τοῦ περιπάτου καὶ τῆς στοᾶς καὶ τῶν Ἐπικούρου τὸ πλεῖστον τῆς ἀντιλογίας πρὸς τὴν Πυθαγόρου καὶ Ἐμπεδοκλέους ἀποτεινόμενοι φιλοσοφίαν, ἧς ζηλωτὴς εἶναι ἐσπούδακας, τῶν τε φιλολόγων συχνοὶ καὶ Κλώδιος τις νεαπολίτης πρὸς τοὺς ἀπεχομένους τῶν σαρκῶν βιβλίον κατεβάλετο. ὧν τὰς πραγματευτικὰς καὶ κοινὰς πρὸς τὸ δόγμα ζητήσεις παραθήσομαι· τὰς ἰδίας πρὸς τὰς τοῦ Ἐμπεδοκλέους φερομένας κατασκευὰς, παραιτησάμενος. » Εὐθὺς τοίνυν φασὶν οἱ ἀντιλέγοντες τὴν δικαιοσύνην συγχεῖσθαι καὶ τὰ ἀκίνητα κινεῖσθαι, εἰ τὸ δίκαιον μὴ πρὸς τὸ λογικὸν μόνον τείναιμεν, ἀλλὰ καὶ πρὸς τὸ ἄλογον, οὐ μόνον τοὺς ἀνθρώπους καὶ τοὺς θεοὺς πρὸς ἡμᾶς ἡγούμενοι· οἰκείως δὲ καὶ πρὸς τὰ ἄλλα θηρία, τὰ μηδὲν ἡμῖν προσήκοντα, ἔχοντες. καὶ οὐχὶ τοῖς μὲν, πρὸς ἔργον χρώμενοι· τοῖς δὲ, πρὸς ἐδωδὴν ἔκφυλα καὶ ἄτιμα τῆς κοινωνίας καθάπερ πολιτείας νομίζοντες· ὁ γὰρ καθάπερ ἀνθρώποις, καὶ τούτοις χρώμενος· φειδόμενος δὲ καὶ μὴ βλάπτων, προσάπτων τῇ δικαιοσύνῃ, ὃ μὴ δύναται φέρειν, καὶ τὸ δυνατὸν αὐτῆς ἀπόλλυσι· καὶ διαφθείρει τῷ ἀλλοτρίῳ, τὸ οἰκεῖον· γίνεται γὰρ ἢ τὸ ἀδικεῖν ἀναγκαῖον ἡμῖν, ἀφειδοῦσιν αὐτῶν· ἢ μὴ χρωμένοις, τὸ ζῆν ἀδύνατον καὶ ἄπορον. καὶ τρόπον τινὰ θηρίων βίον βιωσόμεθα, τὰς ἀπὸ τῶν θηρίων προέμενοι χρείας· ἀφίημι γὰρ Νομάδων καὶ Τρωγλοδυτῶν ἀνεξευρέτους ἀριθμῷ μυριάδας· οἷς τροφὴν σάρκας, ἄλλο δὲ οὐδὲν, ἴσασιν, ἀλλὰ καὶ ἡμῖν τοῖς ἡμέρως καὶ φιλανθρώπως ζῆν δοκοῦσιν, ποῖον ἔργον ἀπολείπεται γῆς, ποῖον ἐν θαλάττῃ, τίς ἐναργὴς τέχνη, τίς κόσμος διαίτης, ἂν ὡς πρὸς ὁμόφυλα, τὰ ζῷα διακεώμεθα ἀβλαβῶς καὶ μετ' εὐλαβείας αὐτοῖς προσφερώμεθα. εἰπεῖν γὰρ ἔργον οὐδὲν οὐδὲ φάρμακον, οὐδὲ ἴαμα τῆς τὸν βίον ἀναιρούσης ἀπορίας· ἢ τὴν δικαιοσύνην ἔχομεν, ἂν μὴ τὸν ἀρχαῖον νόμον καὶ ὅρον φυλάττωμεν. ὡς καθ' Ἡσίοδον ὁ Ζεὺς τὰς φύσεις » διελὼν καὶ θέμενος ἰδία τῶν γενῶν ἑκάτερον· Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς » Ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτῶν· Ἀνθρώποισι δ' ἔδωκε δίκην πρὸς ἀλλήλους· οἷς δὲ οὐκ ἔστι τὸ δικαιοπραγεῖν πρὸς ἡμᾶς, οὐδὲ ἡμῖν πρὸς ἐκεῖνα γίνεται τὸ ἀδικεῖν. ὡς οἵ γε τοῦτον προϊέμενοι τὸν λόγον, οὔτε εὐρεῖαν ἄλλην, οὔτε λεπτὴν τῇ δικαιοσύνῃ παρελθεῖν ὁδὸν ἀπολελοίπασιν· ὅ γὰρ ἤδη εἰρήκαμεν, τὴν φύσιν, αὐτάρκη μὲν οὐκ οὖσαν, ἀλλ' ἐνδεᾶ πολλῶν· εἰργομένην δὲ τῆς ἀπὸ τῶν ζώων βοηθείας, ἄρδην ἀναιρεῖν καὶ κατακλείειν εἰς τὸν ἄπορον καὶ ἀνέργαστον καὶ ἀκτήμονα τῶν ἀναγκαίων βίον. φασὶ δὲ οὐκ εὐτυχῶς διαβιῶναι τοὺς πρώτους γενομένους· οὐδὲ γὰρ ἄχρι τῶν ζώων ἵστασθαι τὴν δεισιδαιμονίαν, ἀλλὰ καὶ ἐπὶ τὰ φυτὰ βιάζεσθαι· τί γὰρ μᾶλλον ὁ βοῦν ἀποσφάττων καὶ πρόβατον, ἀδικεῖ, τοῦ κόπτοντος ἐλάτην ἢ δρῦν, εἴγε καὶ τούτοις ἐμφύεται ψυχὴ κατὰ τὴν μεταμόρφωσιν. τῶν μὲν οὖν ἀπὸ τῆς στοᾶς καὶ τοῦ περιπάτου τὰ κυριώτατα, ταῦτα. οἱ δὲ ἀπὸ τοῦ Ἐπικούρου, ὥσπερ γενεαλογίαν μακρὰν διεξιόντες, φασὶν ὡς οἱ παλαιοὶ νομοθέται ἀποβλέποντες εἰς τὴν τοῦ βίου κοινωνίαν τῶν ἀνθρώπων καὶ τὰς πρὸς ἀλλήλους πράξεις, ἀνόσιον ἐπεφήμισαν τὴν ἀνθρώπου σφαγὴν καὶ ἀτιμίας οὐ τὰς τυχούσας προσῆψαν. τάχα μὲν καὶ φυσικῆς τινος οἰκειώσεως ὑπαρχούσης τοῖς ἀνθρώποις πρὸς ἀνθρώπους, διὰ τὴν ὁμοιότητα τῆς μορφῆς καὶ τῆς ψυχῆς εἰς τὸ μὴ προχείρως φθείρειν τὸ τοιοῦτον ζῷον, ὥσπερ ἕτερόν τι τῶν συγκεχωρημένων· οὐ μὴν ἀλλὰ τήν γε πλείστην αἰτίαν τοῦ δυσχερανθῆναι τοῦτο καὶ ἀνόσιον ἐπιφημισθῆναι, τῷ μὴ συμφέρειν εἰς τὴν ὅλην τοῦ βίου σύστασιν ὑπολαβεῖν· ἀπὸ γὰρ τῆς τοιαύτης ἀρχῆς οἱ μὲν παρακολουθήσαντες τῷ συμφέροντι τοῦ διορίσματος, οὐδὲν προσεδεήθησαν ἄλλης αἰτίας, τῆς ἀνειργούσης αὐτοὺς ἀπὸ τῆς πράξεως ταύτης. οἱ δὲ μὴ δυνάμενοι λαβεῖν αἴσθησιν ἱκανὴν τούτου, τὸ μέγεθος τῆς ζημίας δεδιότες, ἀπείχοντο τοῦ κτείνειν προχείρως ἀλλήλους. ὧν ἑκάτερον φαίνεται καὶ νῦν ἔτι συμβαῖνον· καὶ γὰρ οἱ μὲν θεωροῦντες τὸ συμφέρον τῆς προειρημένης διατάξεως, ἑτοίμως ἐπ' αὐτῆς μένουσιν· οἱ δὲ μὴ δεκτικοὶ τούτου, τὰς ἀπειλὰς φοβούμενοι τῶν νόμων· ἃς εἵνεκα τῶν ἀσυλλογίστων τοῦ χρησίμου διάγεσθαί τινες, παραδεξαμένων αὐτὰς τῶν πλειόνων· οὐδὲν γὰρ ἐξ ἀρχῆς βιαίας κατέστη νόμιμον, οὔτε μετὰ γραφῆς, οὔτε ἄνευ γραφῆς τῶν διαμενόντων νῦν καὶ διαδίδοσθαι πεφυκότων· ἀλλὰ συγχωρησάντων αὐτῷ καὶ τῶν χρησαμένων· φρονήσει γὰρ ψυχῆς, οὐ ῥώμῃ σώματος καὶ δυ-

ναστικῇ δουλεύσει τῶν ὄχλων διήνεγκαν οἱ τὰ τοιαῦτα τοῖς πολλοῖς εἰσηγούμενοι καὶ τοὺς μὲν εἰς ἐπιλογισμὸν τοῦ χρησίμου καταστήσαντες ἀλόγως αὐτοῦ πρότερον αἰσθανομένους καὶ πολλάκις ἐπιλανθανομένους. τοὺς δὲ τῷ μεγέθει τῶν ἐπιτιμίων καταπλήξαντες· οὐ γὰρ ἦν ἑτέρῳ χρῆσθαι φαρμάκῳ πρὸς τὴν τοῦ συμφέροντος ἀμαθίαν, ἢ τῷ φόβῳ τῆς ἀφωρισμένης ἀπὸ τοῦ νόμου ζημίας· αὕτη γὰρ κατέχει μόνη καὶ νῦν τοὺς τυχόντας τῶν ἀνθρώπων, καὶ κωλύει τὸ μήτε κοινῇ, μήτε ἰδίᾳ τὸ ἀλυσιτελὲς πράττειν. εἰ δὲ πάντες ἐδύναντο βλέπειν ὁμοίως καὶ μνημονεύειν τὸ συμφέρον, οὐδὲν ἂν προσεδέοντο νόμων· ἀλλ᾽ αὐθαιρέτως τὰ μὲν εὐλαβοῦντο τῶν ἀπειρημένων· τὰ δὲ ἔπραττον τῶν προστεταγμένων· ἱκανὴ γὰρ ἡ τοῦ χρησίμου καὶ βλαβεροῦ θεωρία· τῶν μὲν φυγὴν, παρασκευάσαι· τῶν δὲ, αἵρεσιν. ἡ δὲ τῆς ζημίας ἀνάτασις, πρὸς τοὺς μὴ προορωμένους τὸ λυσιτελοῦν, ἀναγκάζει γὰρ δεσπόζειν ἐπικρεμαμένη ταῖς ἀγούσαις ἐπὶ τὰς ἀσυμφόρους πράξεις ὁρμαῖς καὶ βίᾳ συναναγκάζει τὸ δέον ποιεῖν. ἐπεὶ καὶ τὸν ἀκούσιον φόνον οὐκ ἔξω πάσης ζημίας κατέστησαν οἱ νομοθέται· ὅπως μηδεμίαν ἐνδῶσι πρόφασιν τοῖς ἑκουσίως τὰ τῶν ἀκουσίως δρώντων ἔργα μιμεῖσθαι προαιρουμένοις. ἀλλ᾽ ὅπως μὴ ἀφύλακτον ἦν, μηδὲ ἠμελημένον τὸ τοιοῦτο. ὥστε πολλὰ πρὸς ἀλήθειαν ἀκούσια συμβαίνειν· οὐ γὰρ συνέφερεν οὐδὲ ταῦτα διὰ τὰς αὐτὰς αἰτίας δι᾽ ἃς καὶ τὸ καθ᾽ ἑκούσιον τρόπον φθείρειν ἀλλήλους. ὥστε τῶν ἀκουσίων τῶν μὲν, παρὰ τὴν ἀστάθμητον αἰτίαν καὶ ἀφύλακτον γιγνομένων ἀνθρωπίνῃ φύσει· τῶν δὲ, παρὰ τὴν ἡμετέραν ἀμέλειαν καὶ ἀνεπίστατον τῆς διαφορᾶς βουληθέντες κωλῦσαι τὴν βλάπτουσαν αὐτοὺς πλησίον ῥαθυμίαν, οὐκ ἀθῷον κατέστησαν ζημίας, οὐδὲ τὴν ἀκούσιον πρᾶξιν, ἀλλὰ τῷ φόβῳ τῶν ἐπιτιμίων ἀφεῖλον τὸ πολὺ τῆς τοιαύτης ἁμαρτίας. οἶμαι δ᾽ ἔγωγε καὶ τοὺς συγκεχωρημένους ὑπὸ τοῦ νόμου φόνους, τὰς ἀφοσιώσεις λαμβάνειν τὰς εἰθισμένας διὰ τῶν καθαρμῶν· παρ᾽ οὐδεμίαν ἑτέραν αἰτίαν παρὰ τῶν πρώτων καλῶς ταῦτα εἰσηγησαμένων ἢ παρὰ τὸ, τῆς ἑκουσίου πράξεως, ὅτι πλεῖστον βούλεσθαι τοὺς ἀνθρώπους ἀφιστάναι· πανταχόθεν γὰρ ἐδέοντο τοῦ κωλύσοντος ἑτοίμως πράττειν τὸ μὴ συμφέρον οἱ τυχόντες· ὅθεν οὐ μόνον ζημίας ἔταξαν οἱ πρῶτοι ταῦτα συνιδόντες, ἀλλὰ καὶ ἕτερον φόβον ἄλογον ἐπήρτησαν, οὐ καθαροὺς ἐπιφημίσαντες εἶναι τοὺς ὁπωσοῦν ἄνθρωπον ἀνελόντας, μὴ χρησαμένους καθαρμοῖς· τὸ γὰρ ἀνόητον τῆς ψυχῆς ποικίλως παιδαγωγηθὲν, ἦλθεν εἰς τὴν καθεστῶσαν ἡμερότητα, προσμηχανωμένων τῶν τῆς ἀλόγου φορᾶς ἐπιθυμίας πιθασευμάτων ἐξ ἀρχῆς τῶν τὰ πλήθη διακοσμησάντων· ὧν ἓν ἦν καὶ τὸ μὴ κτείνειν ἀλλήλους ἀκρίτως· τῶν δὲ λοιπῶν ζώων εἰκότως οὐδὲν διεκώλυσαν φθείρειν οἱ πρῶτοι διορίσαντες. ἅτε δεῖ ποιεῖν ἡμᾶς καὶ ἃ μή· τὸ γὰρ συμφέρον ἐπὶ τούτων ἐκ τῆς ἐναντίας ἀπετελεῖτο πράξεως· οὐ γὰρ δυνατὸν ἦν σώζεσθαι μὴ πειρωμένους ἀμύνεσθαι ταῦτα συντρεφομένους μετ᾽ ἀλλήλων. διαμνημονεύοντες δέ τινες τῶν τότε χαριεστάτων, ὡς αὐτοί τε ἀπείχοντο τοῦ κτείνειν διὰ τὸ χρήσιμον πρὸς τὴν σωτηρίαν· τοῖς τε λοιποῖς ἐνεποίουν μνήμην τοῦ ἀποβαίνοντος ἐν ταῖς μετ᾽ ἀλλήλων συντροφαῖς, ὅπως ἀπεχόμενοι τοῦ συγγενοῦς, διαφυλάττωσι τὴν κοινωνίαν· ἣ συνήργει πρὸς τὴν ἰδίαν ἑκάστου σωτηρίαν. οὐ μόνον δὲ χρήσιμον ἦν τὸ χωρίζεσθαι· μηδὲ λυμαντικὸν ποιεῖν μηδὲν τῶν ἐπὶ τὸν αὐτὸν τόπον συνειλεγμένων, πρὸς τὸ τῶν ἀλλοφύλων ἐξορισμὰ ζώων, ἀλλὰ καὶ πρὸς ἀνθρώπους, τοὺς ἐπὶ βλάβῃ παραγινομένους. μέχρι μὲν οὖν τινος, διὰ ταύτην ἀπείχοντο τοῦ συγγενοῦς, ὅσον ἐβάδιζεν εἰς τὴν αὐτὴν κοινωνίαν τῶν ἀναγκαίων· καὶ χρείας τινὰς παρείχετο πρὸς ἑκάτερον τῶν εἰρημένων· ἐλθόντος δὲ ἐπὶ πλέον τοῦ χρόνου καὶ τῆς δι᾽ ἀλλήλων γενέσεως μακρὰν προσηκούσης· ἐξεωσμένων δὲ τῶν ἀλλοφύλων ζώων καὶ τῆς παρασπάσεως, ἐπιλογισμὸν ἔλαβόν τινες τοῦ συμφέροντος ἐν ταῖς πρὸς ἀλλήλων τροφαῖς, οὐ μόνον ἄλογον μνήμην· ὅθεν ἐπειράθησαν βεβαιοτέρως ἀνεῖρξαι τοὺς προχείρως φθείροντας ἀλλήλους· καὶ τὴν βοήθειαν ἀσθενεστέραν κατασκευάζοντας διὰ τὴν τοῦ παρεληλυθότος λήθην. πειρώμενοι δὲ τοῦτο δρᾶν, τὰς ἔτι μενούσας καὶ νῦν κατὰ πόλεις τε καὶ ἔθνη νομοθεσίας ἐπήνεγκαν· ἐπακολουθήσαντος τοῦ πλήθους αὐτοῖς ἑκουσίως παρὰ τὸ μᾶλλον

ἤδη τοῦ συμφέροντος ἐν τῇ μετ' ἀλλήλων ἀθροισθείσῃ λαμβάνειν αἴσθησιν· ὁμοίως γὰρ εἰς τὴν ἀφοβίαν συνεργεῖ τό, τε λυμαντικὸν πᾶν κτεινόμενον ἀφειδῶς καὶ τὸ χρήσιμον πρὸς τὴν τούτου φθορὰν διατηρούμενον. ὅθεν εἰκότως τὸ μὲν, ἀπηγορεύθη· τὸ δὲ, οὐκ ἐκωλύθη τῶν εἰρημένων. ἐκεῖνό τε λέγειν οὐκ ἔστιν ὡς ἔνια τῶν ζώων οὐ φθαρτικὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως· οὐδὲ καθ' ἕτερον οὐδένα τρόπον λυμαινόμενα τοὺς βίους, συγκεχώρηκεν ὁ νόμος ἀναιρεῖν ἡμῖν· οὐδὲν γὰρ ὡς εἰπεῖν, ἐστι τοιοῦτο τῶν ὑπὸ τοῦ νόμου συγκεχωρημένων, ὅπερ οὐκ ἐώμενον λαμβάνειν τὴν ὑπερβολὴν τῆς ἀφθονίας, βλαπτικὸν γίγνοιτ' ἂν ἡμῶν. ἐν δὲ τῷ νῦν πλήθει διατηρούμενον, χρείας παρέχεταί τινας εἰς τὸν βίον· καὶ γὰρ πρόβατον καὶ βοῦς καὶ πᾶν τὸ τοιοῦτο μετριάζον μὲν, φέρει τινὰς πρὸς τὴν ἀναγκαίαν ἡμῖν διαγωγὴν ὠφελείας· εἰς πλῆθος δὲ ἐκπεσὸν δαψίλειαν καὶ μακρὰν ὑπεροχὴν ἔχον τῆς καθεστώσης, λυμαίνοιτ' ἂν τὸν βίον ἡμῶν· τὸ μὲν καὶ πρὸς ἀλκὴν χρώμενον· ἅτε φύσεως εὐφυοῦς εἰς τοῦτο μετέχον· τὸ δὲ μόνον τὴν αὐξηθεῖσαν ἡμῖν ἐκ τῆς γῆς τροφὴν καταναλίσκον. διὸ καὶ παρὰ τὴν αἰτίαν ταύτην οὐδὲ τὰ τοιαῦτα τῶν ζώων ἐκωλύθη φθείρειν. ἵνα τὸ συμφέρον πρὸς τὴν χρείαν καταλειφθῇ πλῆθος καὶ τὸ ῥᾳδίως κρατεῖσθαι δυνησόμενον· οὐ γὰρ ὥσπερ ἐπὶ λεόντων καὶ λύκων καὶ ἁπλῶς τῶν ἀγρίων προσαγορευομένων ζώων, ὁμοίως τε μικρῶν τε καὶ μεγάλων οὐκ ἔστιν οὐδὲν λαβεῖν πλῆθος. ὃ καταλειπόμενον ἐπικουφίζει ἂν τὸν ἀναγκαῖον ἡμῶν βίον, οὕτω καὶ ἐπὶ βοῶν καὶ ἵππων καὶ προβάτων ἔχει καὶ ἁπλῶς τῶν ἡμέρων ὀνομαζομένων ζώων. ὅθεν τὰ μὲν, ἄρδην φθείρομεν· τῶν δὲ, τὸ πλεῖον τῆς συμμετρίας ἀφαιροῦμεν. δι' ἃς παραπλησίους ταῖς εἰρημέναις αἰτίας καὶ τὰ περὶ τὴν ἐδωδὴν διορισθῆναι τῶν ἐμψύχων νομιστέον ὑπὸ τῶν ἐξ ἀρχῆς ταῦτα καταλαβόντων νόμων· ἐπὶ δὲ τῶν οὐκ ἐδωδίμων αἴτιον τὸ συμφέρον καὶ ἀσύμφορον. ὥστε τοὺς λέγοντας ὅτι πᾶν τὸ καλὸν καὶ δίκαιον κατὰ τὰς ἰδίας ὑπολήψεις ἐστὶ περὶ τῶν νενομοθετημένων, ἠλιβάτου τινὸς γέμειν εὐηθείας· οὐ γάρ ἐστιν οὕτως ἔχον τοῦτο, ἀλλ' ὅνπερ τρόπον ἐπὶ τῶν λοιπῶν συμφερόντων οἷον ὑγιεινῶν τε καὶ ἑτέρων μυρίων εἰδῶν, ἀλλὰ διαμαρτάνουσιν ἐν πολλοῖς τῶν τε κοινῶν ὁμοίως καὶ τῶν ἰδίων. ἐπεὶ γὰρ τὰ παραπλησίως ἐφαρμόττοντα νομοθετήματα πᾶσιν οὐ καθορῶσί τινες. ἀλλ' οἱ μὲν τῶν ἀδιαφόρων δοξάζοντες εἶναι παραλείπουσιν· οἱ δὲ τὴν ἐναντίαν δόξαν ὑπὲρ αὐτῶν ἔχουσι καὶ τὰ μὴ καθόλου συμφέροντα πανταχοῦ τινες οἴονται συμφέρειν. ὅθεν δὴ τὴν αἰτίαν ταύτην ἀντέχονται τῶν οὐκ ἐφαρμοττόντων. εἰ καὶ ἐπί τινων ἐξευρίσκουσι τά τε πρὸς αὐτοὺς λυσιτελῆ καὶ τὰ κοινὴν ἔχοντα τὴν ὠφέλειαν· ὧν ἐστι καὶ τὰ περὶ τὰς ἐδωδὰς τῶν ἐμψύχων καὶ φθορὰς ἐν τοῖς πλείστοις τῶν ἐθνῶν διατεταγμένα διὰ τὸ τῆς χώρας ἴδιον. οἷς οὐκ ἀναγκαῖον ἐμμένειν ἡμῖν διὰ τὸ μηδὲ τὸν αὐτὸν οἰκεῖν τόπον. εἰ μὲν οὖν ἠδυνάμεθα ποιήσασθαί τινα συνθήκην ὥσπερ πρὸς ἀνθρώπους, οὕτω καὶ πρὸς τὰ λοιπὰ τῶν ζώων, ὑπὲρ τοῦ μὴ κτείνειν· μήτε πρὸς ἡμῶν ἀνέδην αὐτὰ κτείνεσθαι, καλῶς εἶχε μέχρι τούτου τὸ δίκαιον ἐξάγειν· ἐπιτεταμένον γὰρ ἐγίγνετο πρὸς τὴν ἀσφάλειαν· ἐπειδὴ δὲ τῶν ἀμηχάνων ἦν, κοινωνῆσαι νόμου, τὰ μὴ δεχόμενα τῶν ζώων λόγον, διὰ μὲν τοῦ τοιούτου τρόπου τὸ συμφέρον οὐχ οἷόν τε κατασκευάσασθαι πρὸς τὴν ἀπὸ τῶν ἄλλων ἐμψύχων ἀσφάλειαν μᾶλλον περ ἢ τῶν ἀψύχων. ἐκ δὲ τοῦ τὴν ἐξουσίαν λαμβάνειν. ἣν νῦν ἔχομεν εἰς τὸ κτείνειν αὐτὰ, μόνως ἐστὶ τὴν ἐνδεχομένην ἔχειν ἀσφάλειαν. τοιαῦτα μὲν καὶ τὰ τῶν Ἐπικουρείων· λοιπὸν δὲ ὁ πολὺς καὶ δημώδης ἄνθρωπος ἃ λέγειν εἴωθεν, παραθετέον· τοὺς γὰρ παλαιούς φασι τῶν ἐμψύχων ἀποσχέσθαι, οὐ δι' εὐσέβειαν δὴ διὰ τὸ μήπω εἰδέναι τὴν τοῦ πυρὸς χρῆσιν· ὡς δ' ἔμαθον, τιμιώτατόν τε καὶ ἱερώτατον νομίσαι· ἑστίαν τε προσειπεῖν καὶ συνεστίους ἀπὸ τούτου γίνεσθαι. καὶ λοιπὸν χρῆσθαι τοῖς ζώοις. εἶναι μὲν γὰρ κατὰ φύσιν ἀνθρώπῳ τὸ σαρκοφαγεῖν· παρὰ φύσιν δὲ τὸ ὠμοφαγεῖν· πυρὸς οὖν εὑρεθέντος ἀπολαβεῖν τὸ κατὰ φύσιν δι' ἑψήσεως
» προσιεμένους τὰ κρέα. δι' ὃ ὠμοφάγοι μὲν οἱ θεοὶ καὶ ἐν ὀνείδει τὸ, Ὠμὸν βεβρώθοις
» Πρίαμον. καὶ ὠμ' ἀποτεμνόμενον κρέα ἔδμεναι. ὡς αὖ δὲ τοῖς ἀθλίοις ἀποδεδειγμένοις
τῆς τῶν κρεῶν, πίνακας παρέθηκεν ἀέρας παντοίων. τὸ μὲν οὖν πρῶτον οὐ προσε-

φέροντο

φέροιντο τὰ ἔμψυχα· οὐ γὰρ ἦν ὠμοφάγον ζῶον ὁ ἄνθρωπος. ὡς δὲ ἡ τοῦ πυρὸς εὑρέθη χρῆσις πυριχμήτοις, οὐ μόνον τοῖς κρέασιν, ἀλλὰ καὶ τοῖς ἄλλοις ὡς εἰπεῖν, τοῖς πλείστοις βροτοῖς ἐχρῶντο· ὅτι μὲν γὰρ οὐκ ὠμοφάγον ὁ ἄνθρωπος δηλοῖ τινα ἔθνη ἰχθυοφάγα· τοὺς γὰρ ἰχθῦς ὀπτῶσιν οἱ μὲν, ἐπειδὰν αἱ πέτραι μάλιστα διάπυροι γίνωνται ὑπὸ τοῦ ἡλίου· οἱ δὲ, καὶ ἐν ἄμμῳ. ὅτι δὲ σαρκοφάγον αὐτὸ ἦν, δηλοῖ τὸ μηδὲν ἔθνος ἀπέχεσθαι ἐμψύχων καὶ οὐ κατὰ διαστροφὴν οἱ Ἕλληνες προσήκαντο. ἐπεὶ καὶ τοῖς βαρβάροις ταυτὸν ἔστιν ἔθος. ὁ δὲ κελεύων μὴ ἐσθίειν καὶ ἄδικον ἡγούμενος, οὐδὲ κτείνειν δίκαιον ἐρεῖ· οὐδὲ ψυχὰς ἀφαιρεῖσθαι· ἀλλὰ μὴν πρός γε τὰ θηρία πόλεμος ἡμῖν ἔμφυτος ἅμα καὶ δίκαιος· τὰ μὲν γὰρ, ἑκόντα ἐπιτίθεται τοῖς ἀνθρώποις ὥσπερ λύκοι καὶ λέοντες· τὰ δ', οὐχ ἑκόντα ὥσπερ οἱ ἔχεις· πατηθέντες γὰρ ἐνίοτε, δάκνουσιν· καὶ τὰ μὲν, ἀνθρώποις ἐπιτίθεται· τὰ δὲ, τοὺς καρποὺς φθείρει· ὧνπερ ἂν πάντων μέτιμεν ταῦτα καὶ τὰ κατάρξαντα θηρία κτείνομεν. καὶ τὰ μὴ κατάρξαντα, ὡς μήτι πρὸς αὐτῶν πάθωμεν· οὐκ ἔστι γὰρ ὅστις ἰδὼν ὄφιν οὐκ ἔκτεινε δυνάμενος· ὡς μήτ' αὐτὸς δηχθείη, μήτ' ἄλλος ἁπλῶς ἄνθρωπος· οὐ γὰρ μόνον ἔστι μῖσος κατὰ τῶν κτεινομένων ἀλλὰ καὶ στοργὴ πρὸς ἄνθρωπον ἀνθρώπου. δικαίου δ' ὄντος τοῦ πρὸς τὰ θηρία πολέμου, πολλῶν ἀπεχόμεθα τῶν συνανθρωπούντων. ὅθεν οἱ Ἕλληνες οὔτε κυνοφαγοῦσιν, οὔτε ἵππους ἐσθίουσιν. οὔτ' ὄνους μέντοι ἐσθίουσιν ὡς ταυτοῦ γένους τοῖς ἀγρίοις τὸ ἥμερον· ὡσαύτως τε τοὺς ὄρνιθας· οὐδὲ γάρ ἐστι χρήσιμον πρὸς ἄλλο τι δὲ ἢ πρὸς βρῶσιν. Φοίνικες δὲ καὶ Ἰουδαῖοι ἀπέσχοντο ὅτι οὐδ' ὅλως ἐν τοῖς τόποις ἐφύετο. ἐπεὶ οὐδὲ νῦν ἐν Αἰθιοπίᾳ φασὶν ὁρᾶσθαι τὸ ζῶον τοῦτο. ὡς οὖν κάμηλον ἢ ἐλέφαντα Ἕλληνες οὐδεὶς θεοῖς ἔθυσεν, παρ' ὅσον οὐδ' ἤνεγκεν ἡ Ἑλλὰς ταῦτα τὰ ζῶα, οὕτως οὐδ' ἐν Κύπρῳ ἢ Φοινίκῃ θεοῖς προσήχθη τὸ ζῶον τοῦτο. παρ' ὅσον οὐχ ἦν ἐντόπιον· οὐδὲ Αἰγύπτιοι θεοῖς θύουσιν ὗν παρὰ τὴν αὐτὴν αἰτίαν. τὸ δ' ὅλως ἀπέχεσθαι τοῦ ζώου τινὰς, ὅμοιόν ἐστι τῷ μὴ δ' ἂν ἡμᾶς ἐθελῆσαι καμήλεια ἐσθίειν. διατί δ' ἄν τις καὶ ἀπόσχοιτο τῶν ἐμψύχων. ἆρά γε τὴν ψυχὴν χείρω ποιεῖ ἢ τὸ σῶμα, δῆλον δ' ἐστὶν ὡς οὐδ' ἕτερον· τὰ γὰρ σαρκοφαγοῦντα ζῶα συνετώτερα τῶν ἄλλων. θηρευτικὰ γοῦν ἐστὶν καὶ τέχνην ἔχει ταύτην. ἀφ' ἧς περιεῖναι ποιεῖται τὸν βίον· ἰσχύν τε καὶ ἀλκὴν κέκτηται ὥσπερ λέοντες καὶ λύκοι. ὥσθ' ἡ κρεωφαγία οὔτε τὴν ψυχὴν. οὔτε τὸ σῶμα λυμαίνεται, δῆλον δ' ἐστὶ κἀκ τοῦ τοὺς ἀθλητὰς τὰ σώματα κρείσσω τῇ κρεωφαγίᾳ παρέχειν. κἀκ τῶν ἰατρῶν· οἱ τὰ ἐκ τῆς ἀρρωστίας σώματα ἀναλαμβάνουσι ταῖς κρεωφαγίαις. τοῦ δὲ μὴ ὑγιῶς δοξάσαι τὸν Πυθαγόραν, σημεῖον οὐ μικρὸν· τῶν γὰρ σοφῶν ἀνδρῶν οὐδεὶς ἐπείσθη, οὔτε τῶν ἑπτὰ, οὔτε τῶν ὕστερον γενομένων φυσικῶν· ἀλλ' οὐδ' ὁ σοφώτατος Σωκράτης, οὐδ' οἱ ἀπὸ Σωκράτους. φέρε δὲ καὶ πεισθῆναι πάντας ἀνθρώπους τῷ δόγματι. τίνα τοίνυν ἡ ἐπιγονὴ τῶν ζώων ἕξει μοῖραν· ὗς μὲν γὰρ ὅσα τίκτει καὶ λαγὼς οὐδένα λανθάνει. πρόσθες δὲ καὶ τἄλλα ζῶα πάνθ' ἁπλῶς. πόθεν οὖν τούτοις ἡ νομὴ, καὶ τί πείσονται οἱ γεωργοί; καὶ γὰρ φθειρομένων τῶν καρπῶν τοὺς φθείροντας οὐκ ἀπεκτείνουσιν. ἡ γῆ τε τὸ πλῆθος οὐκ οἴσει τῶν ζώων. τά τε θνήσκοντα ἐκ τῆς σηπεδόνος φθορὰν ἐμποιήσει. λοιμοῦ τε κατασχόντος οὐκ ἔσται καταφυγή· θάλασσα μὲν γὰρ καὶ ποταμοὶ καὶ λίμναι ἰχθύων πεπλήσονται, ὁ δὲ ἀὴρ ὀρνίθων· ἡ δὲ γῆ πλήρης ἑρπετῶν παντοίων. πόσοι δὲ πρὸς θεραπείαν ἐμποδισθήσονται, ἀπεχόμενοι τῶν ζώων; τοὺς γοῦν τὴν ὄψιν ἀποτυφλουμένους ἔστιν ἰδεῖν ἔχεως βρώσει τηρήσαντας ὅρασιν. Κρατεροῦ τοῦ ἰατροῦ οἰκέτης ξένῳ περιπεσὼν νοσήματι, τῶν σαρκῶν ἀπόστασιν λαβουσῶν ἐκ τῶν ὀστῶν, τοῖς μὲν φαρμάκοις ὠφελεῖτο οὐδέν· ἰχθύος δὲ τρόπῳ ἔχεως σκευασθείσης καὶ βρωθείσης διεσώθη, τῆς σαρκὸς συγκολληθείσης· πολλὰ δὲ καὶ ἄλλα ζῶα θεραπεύει προσενεχθέντα καὶ τῶν ζώων ἓν ἕκαστον μέρος· ἃ δὴ πάντα παραιρεῖται ὁ παραιτούμενος τὰ ἔμψυχα. εἰ δὲ ὥς φασι, καὶ τὰ φυτὰ ψυχὴν ἔχει, οἷος ἂν εἴη ὁ βίος, μήτε ζώων, μήτε φυτῶν ἡμῶν ἀποτεμνόντων. εἴπερ δὲ μὴ ἀσεβεῖ ὁ τὰ φυτὰ κατακόπτων, οὐδ' ὁ τὰ ζῶα. ἀλλ' οὐ χρῆναι φήσει τις, κτείνειν τὸ ὁμόφυλον· εἴγε ὁμοούσιοι αἱ τῶν

Phœnices et Judæi cur suilla abstineant.
In Aethiopia sus non nasc[...]

-ιος ἀποκτενοῦσιν.

Medicinæ ex animalibus.

Crateri medici servus, quomodo novo morbi genere sanatus.

ὁμοούσιος.

ζώων ψυχαὶ ταῖς ἡμετέραις, ἀλλ' εἰ μὲν ἑκούσας τις εἰσκρίνεσθαι τὰς ψυχὰς δίδωσι, νεότητος ἕνεκα ἐρώσας αὐτῆς φαίη εἰσκρίνεσθαι· ἐν γὰρ ταύτῃ πάντων ἀπόλαυσις. διὰ τί οὖν οὐκ εἰς ἀνθρώπου πάλιν εἰσεδύοντο φύσιν; εἰ δὲ ἑκούσας μὲν, καὶ νεότητος ἐρῶσι, διὰ δὲ παντὸς εἴδους ζώων, κεχαρισμένον ἂν εἴη αὐταῖς τὸ ἀναιρεῖσθαι· ἡ γὰρ ἐπάνοδος ταχίων ἐπὶ τὸν ἄνθρωπον· τά τε σώματα ἐσθιόμενα λύπην οὐκ ἂν ἐντίκτοι ταῖς ψυχαῖς, ὡς ἂν ἀπηλλαγμένας αὐτῶν. ἔρως δ' ἂν αὐταῖς εἴη ἐν ἀνθρώπου φύσει γενέσθαι, ὥσθ' ὅσον ἂν λυποῖντο ἐκλείπουσαι τὸ ἀνθρώπινον, ἐπὶ τοσοῦτον χαίροιεν ἀπολείπουσαι τὰ ἄλλα σώματα· ταχίων γὰρ ἡ ἐπὶ τὸν ἄνθρωπον ἐπάνοδος· ὃς τῶν ἀλόγων διαπρέψει πάντων, ὡς ὁ θεὸς ἀνθρώπων. αἰτία τοίνυν ἱκανὴ ἀναιρεῖν τὰ ἄλλα ζῶα, ἐφ' ὅσον ἀδικεῖ, κτείνοντα τοὺς ἀνθρώπους. εἰ δ' εἰσὶν αἱ μὲν τῶν ἀνθρώπων, ἀθάνατοι ψυχαί· αἱ δὲ τῶν ἀλόγων, θνηταὶ, οὐκ ἀδικοῦμεν οἱ ἄνθρωποι, τὰ ἄλογα κτείνοντες ὥσπερ ὠφελοῦμεν· ἐπείπερ εἰσὶν ἀθάνατοι, κτείνοντες. εἰς ἐπάνοδον γὰρ τῆς ἀνθρωπίνης φύσεως τοῦτο δρῶμεν. εἰ δ' ἀμυνόμεθα, οὐκ ἀδικοῦμεν, ἀλλ' ἀδικοῦντα μετερχόμεθα. ὥστ' εἰ μὲν ἀθάνατοι αἱ ψυχαὶ, κτείνοντες ὠφελοῦμεν· εἰ δὲ αἱ τῶν ἀλόγων θνηταὶ, κτείνοντες οὐδὲν ἀσεβὲς πράττομεν· εἰ δὲ καὶ ἀμυνόμεθα πῶς οὐκ ἐν δίκῃ πράττομεν; ὄφιν μὲν καὶ σκορπίον, κἂν μὴ ἐπίωσιν ἡμῖν, κτείνομεν· ἵνα μὴ δ' ἄλλος πρὸς αὐτῶν τι πάθῃ, τῷ κοινῷ γένει τῶν ἀνθρώπων ἀμύνοντες. ἐπιχειροῦσι δὲ τοῖς ἢ τοῖς συνανθρώποις ἢ τοῖς καρποῖς, πῶς οὐκ ἂν δικαίως κτείνομεν. εἰ δ' ἅπαξ ἀδικίαν τις ταύτην ἡγεῖται, μήτε γάλακτι χρήσθω· μήτ' ἐρίῳ. μήτε ᾠοῖς. μήτε μελιτίῳ. ὡς γὰρ ἄνθρωπον ἀδικεῖς, ἀφαιρούμενος τὴν ἐσθῆτα, οὕτως καὶ τὴν οἶν πέξας· ἐσθὴς γὰρ αὐτὴ τοῦ προβάτου. καὶ τὸ γάλα οὐ σοὶ γέγονε, ἀλλὰ τοῖς ἀποκυηθεῖσι τέκνοις· ἥ τε μέλισσα ταύτην αὐτῇ τροφὴν συνελέξατο· ἣν ἀφελόμενος, ἡδονὴν σαυτῷ κατεσκεύασας. καὶ τὸν τῶν Αἰγυπτίων λόγον σεσίγηκα ὅτι καὶ τῶν φυτῶν ἀδικοῦμεν ἁπτόμενοι. εἰ δὲ ταῦθ' ἡμῶν χάριν γέγονε, καὶ ἡ μέλισσα ἡμῖν δουλεύουσα τὸ μέλι ἐργάζεται καὶ τὸ ἔριον ἐπιφύεται τῶν προβάτων· ὃ ἡμῖν κόσμος καὶ ἀλέα. αὐτοῖς δὲ τοῖς θεοῖς εἰς εὐσέβειαν συμπλοῦντες, ζῶα θύομεν καὶ αὐτῶν, ὁ μὲν Ἀπόλλων, λυκοκτόνος· ἡ δὲ Ἄρτεμις, θηροκτόνος· ἐπεὶ καὶ οἱ ἡμίθεοι καὶ οἱ ἥρωες πάντες καὶ γένει καὶ ἀρετῇ ἡμῶν προύχοντες ἐδοκίμασαν τὴν τῶν ἐμψύχων προσφορὰν ὥστε καὶ θεοῖς θύειν δωδεκηίδας, καὶ ἑκατόμβας. ὁ δὲ Ἡρακλῆς ἔν τε τοῖς ἄλλοις, καὶ ἐπὶ τούτῳ ὑμνεῖται, ὅτι βουφάγος ἦν. τὸ δὲ λέγειν ὅτι πόρρωθεν Πυθαγόρας ἠσφαλίζετο, τῆς ἀλληλοφαγίας ἀποκρουόμενος τοὺς ἀνθρώπους, εὔηθες. εἰ μὲν γὰρ οἱ κατὰ Πυθαγόραν πάντες ἄνθρωποι ἀλλήλους ἤσθιον, ληρώδης ὁ καὶ τῶν ἄλλων ζώων ἀποσπῶν τοὺς ἀνθρώπους ἵνα τῆς ἀλληλοφαγίας ἀποστήσῃ· διὰ τοῦτο γὰρ ἔμελλε μᾶλλον αὐτοὺς προσίεσθαι, ἀποφαίνων ὡς ἴσον ἐστὶν ἀλλήλους ἐσθίειν καὶ ὑῶν τε καὶ βοῶν σαρκὸς ἐμφορεῖσθαι. εἰ δὲ μὴ ἦν ἀλληλοφάγοι τότε, τί ἔδει τούτου τοῦ δόγματος; εἰ δ' ἑαυτῷ καὶ τοῖς ἑταίροις τὸν νόμον ἐτίθει, αἰσχρὰ ὑπόθεσις· ἀλληλοφάγους γὰρ ἀποδείκνυσι τοὺς Πυθαγόρᾳ συμβιώσαντας. τοὐναντίον δὲ συμβήσεσθαι ὧν οὗτος ἐστοχάζετο· εἰ γὰρ ἀποσχοίμεθα τῶν ἐμψύχων, οὐ μόνον πλούτου τε τοιούτου καὶ ἡδονῆς ἀπολειψόμεθα, ἀλλὰ καὶ τὰς ἀρούρας ἀπολοῦμεν, φθειρομένας ὑπὸ τῶν θηρίων· ὑπό τε ὄφεων καταλήψεται πᾶσα ἡ γῆ καὶ τῶν πτηνῶν ὥστε καὶ τοὺς ἀρότους χαλεπῶς γίνεσθαι. καὶ τὰ σπαρέντα εὐθύς τε ὑπὸ τῶν ὀρνίθων ἀναλέγεσθαι καὶ τὰ τελεωθέντα ὑπὸ τῶν τετραπόδων ἅπαντα ἀναλίσκεσθαι. τοσαύτης δὲ ἀπορίας βροτῶν γινομένης, ἀνάγκη πικρὰ καταλήψεται ἐπ' ἀλλήλους τραπέσθαι. καὶ μὴν καὶ οἱ θεοὶ, συντάξεις τε πολλοῖς θεραπείας ἕνεκα δεδώκασιν τὰς ἐκ θηρίων. καὶ πλήρης γε ἡ ἱστορία ὡς αὐτοὶ προσέταξαν τισὶ καὶ θύειν αὐτοῖς καὶ προσφέρεσθαι τῶν τυθέντων. ἐν δὲ τῇ καθόδῳ τῶν Ἡρακλειδῶν οἱ ἐπὶ τὴν Λακεδαίμονα στρατεύοντες μετ' Εὐρυσθένους καὶ Προκλέους ἐν ἀπορίᾳ τῶν ἀναγκαίων, ὄφεις ἔφαγον· οὓς ἔδωκεν ἡ γῆ τότε τροφὴν τῷ στρατοπέδῳ. λιμῷ δὲ στρατῷ πεινῶντι κατὰ τὴν Λιβύην ἐνέπεσε νέφος ἀκρίδων. ἐν τοῖς Γαδείροις καὶ τόδε συνέτυχε· Μόγος ἦν βασιλεὺς Μαυρουσίων, ὁ ἐν Μοθώνῃ σφαγεὶς ὑπ' Ἀγρίππα· οὗτος ἐπεχείρησε τῷ Ἡρακλείῳ

Aegypti ne arbores quidē satis iuste lædi putant

δωδεκοίδας

πλουσιωτάτῳ ὄντι ἱερῷ· ἔθει δὲ νόμος τοῖς ἱερεῦσιν ὁσημέραι τὸν βωμὸν αἱμάσσειν. τοῦτο δὲ ὅτι οὐ γνώμη γίνεται ἀνθρώπων, ἀλλὰ κατὰ θεόν, ἐν τούτῳ καιρῷ ἀπέδειξε. τῆς πολιορκίας ἐγχρονιζομένης, ἐπέλειπεν τὰ ἱερεῖα· ὁ δὲ ἱερεὺς ἐν ἀπορίᾳ γινόμενος, ὄνειρον ὁρᾷ τοιόνδε. ἐδόκει ἑστάναι μέσος τῶν στηλῶν τῶν ἡρακλείων, ἔπειτ' αὔτικρυς τοῦ βωμοῦ, ὁρᾷ ὄρνιν καθεζόμενον καὶ πειρώμενον ἐφίπτασθαι. ἐπιπτᾶσα δέ, εἰς τὰς χεῖρας ἐλθεῖν αὐτοῦ· ᾧ δὴ καὶ τὸν βωμὸν αἱμάξαι. Τοῦτ' ἰδών, ἅμ' ἡμέρᾳ ἀναστὰς ἐπὶ τὸν βωμὸν ἦλθε· καὶ ὥσπερ ἐν τῷ ὀνείρῳ στὰς ἐπὶ τοῦ πύργου, ἀποβλέπει· ὁρᾷ τε τὸν ὄρνιν ἐκεῖνον, οἷον ἐν τοῖς ὕπνοις. ἐλπίσας τι ἐκβαίνειν τὸ ἐνύπνιον, ἔστη. καταπτὰς δὲ ὁ ὄρνις ἐπὶ τοῦ βωμοῦ ἐκαθέζετο. εἰς τὰς χεῖρας δ' αὐτὸν ἔδωκεν τοῦ ἀρχιερέως· καὶ οὕτως ἱερεύθη καὶ ὁ βωμὸς ᾑμάχθη. Τούτου δ' ἐστὶν ἐνδοξότερον τὸ γεγονὸς ἐν Κυζίκῳ· πολιορκοῦντος γὰρ αὐτὴν Μιθριδάτου ἡ τῆς Περσεφόνης ἑορτὴ ἐπέστη, ἐν ᾗ βοῦν χρὴ θῦσαι. αἱ δὲ ἱεραὶ ἀγέλαι ἐνέμοντο τῆς πόλεως αὔτικρυς. ἐξ ὧν ἔδει τὸ ἱερεῖον γενέσθαι. ἤδη δὲ ἦν καὶ τὸ σημεῖον ἐπικείμενον. τῆς δ' ὥρας αἰτούσης ἡ βοῦς ἐμυκήσατο. διενήξατό τε τὸν πόρον, ὥστε ἀνέῳξάν τε τὴν πύλην οἱ φύλακες· ἡ δὲ δρόμῳ διῆξε. καὶ ἐπὶ τοῦ βωμοῦ παρέστη. τῇ θεῷ τε ἐτελέσθη τὸ θῦμα. οὐκ ἀπεικότως ἄρα θεοφιλέστατον εἶναι νομίζουσι τὸ πλεῖστα θῦσαι, εἴπερ ἀρεστὸν θεοῖς φαίνεται τὸ θύειν· ποία δ' αὐτῆς γένοιτο πόλις, εἰ πάντες οἱ πολῖται ταύτην ἔχοιεν τὴν γνώμην. πῶς γὰρ ἂν ἀμύναιντο πολεμίους ἐπὶ σφᾶς ἰόντας, τὴν μεγίστην ποιούμενοι φυλακὴν μή τινα αὐτῶν ἀποκτείνωσιν. παραχρῆμα τοίνυν ἀνάστατοι γίγνοιντ' ἄν. ἀλλὰ δ' ὅσα δυσχερῆ συμβαίνειν ἀνάγκη, μακρὸν ἂν ἔργον εἴη λέγειν. ὅτι δὲ οὐκ ἀσεβὲς τὸ κτείνειν καὶ ἐσθίειν, δηλοῖ τὸ καὶ αὐτὸν τὸν Πυθαγόραν, τῶν μὲν πάλαι διδόντων γάλα πίνειν τοῖς ἀθλοῦσι καὶ τυροὺς δὲ ἐσθίειν ὕδατι βεβρεγμένους· τῶν δὲ μετ' ἐκείνους, ταύτην μὲν ἀποδοκιμασάντων τὴν δίαιταν, διὰ τῶν ξηρῶν σύκων τὴν τροφὴν ποιουμένων τοῖς ἀθληταῖς, πρῶτον περιελόντα τὴν ἀρχαίαν, κρέα διδόναι τοῖς γυμναζομένοις καὶ πολὺ διαφέρουσαν πρὸς ἰσχὺν εὑρεῖν δύναμιν. Ἱστοροῦσι δέ τινες καὶ αὐτοὺς ἅπτεσθαι τῶν ἐμψύχων τοὺς Πυθαγορείους, ὅτε θύοιεν θεοῖς. τοιαῦτα μὲν καὶ τὰ παρὰ Κλωδίῳ καὶ Ἡρακλείδῃ τῷ ποντικῷ· Ἑρμάρχῳ τε τῷ ἐπικουρείῳ καὶ τοῖς ἀπὸ τῆς στοᾶς καὶ τοῦ περιπάτου. ἐν οἷς καὶ τὰ ὑμέτερα, ὅσα ἡμῖν ἀπηγγέλθη, περιείληπται. μελλόντων δὲ πρός τε ταύτας καὶ τὰς τῶν πολλῶν ὑπολήψεις ἀντιλέγειν, εἰκότως ἂν προλέγοιμεν ταῦτα. Πρῶτον μὲν τοίνυν ἰστέον ὡς οὐ παντὶ τῷ βίῳ τῶν ἀνθρώπων ὁ λόγος μου τὴν παραίνεσιν οἴσει· οὔτε γὰρ τοῖς τὰς βαναύσους τέχνας μετερχομένοις, οὔτ' ἀθληταῖς σωμάτων, οὐ στρατιώταις, οὐ ναύταις, οὐ ῥήτορσιν. οὐ τοῖς τὸν πραγματικὸν βίον ἐπανελομένοις· ἀνθρώπῳ δὲ λελογισμένῳ, τίς τε ἔστιν, καὶ πόθεν ἐλήλυθεν, ποῖ τε σπεύδειν ὀφείλει, τά τε περὶ τροφὴν κἀν τοῖς ἄλλοις καθήκουσιν ἐξηλλαγμένα τῶν κατὰ τοὺς ἄλλους βίους ὑποτιθεμένων, οὐδὲν ἂν πρὸς τοὺς ἄλλους ἢ τοιούτους γράψαιμεν ἄν· οὐδὲ γὰρ ἐν τῷ κοινῷ τούτῳ βίῳ ἡ αὐτὴ δήπου παραίνεσις, τῷ τε καθεύδοντι καὶ εἰ τύχοι, τοῦτο διὰ βίου σπουδάζοντι· τά τε ὑπνωτικὰ πανταχόθεν παρεσκευασμένῳ. καὶ τῷ προθυμουμένῳ μὲν τὸν ὕπνον ἀποκρούειν, πᾶν τὸ περὶ αὐτὸν πρὸς ἀγρυπνίαν συντάξαντι, ἀλλὰ τῷ μὲν ἀνάγκη καὶ μέθην καὶ κραιπάλην καὶ πλησμονὴν ὑποτίθεσθαι· σκοτεινόν τε οἶκον καὶ στρωμνὴν μαλακὴν εὑρεῖάν τε καὶ ἱμείραν ὥς φασιν οἱ ποιηταί, παραινεῖν ἐκλέγεσθαι καὶ πᾶν καρωτικὸν ἀργίας τε καὶ λήθης ποιητικόν, εἴτε ὀσφραντόν, εἴτ' ἐπίχριστον, εἴτε ποτὸν ἢ βρωτὸν προσάγειν φάρμακον· τῷ δὲ νηφάλιον μὲν καὶ ἄοινον τὸ ποτόν· λεπτὸν δὲ τὸ σιτίον καὶ ἐγγὺς τεῖνον ἀποσιτίας· φωτεινὸν δὲ τὸν οἶκον καὶ ἀέρος λεπτοῦ καὶ πνεύματος μέτοχον, φροντίδων καὶ μερίμνης ἀνακίνησιν σύντονον ποιεῖσθαι. καὶ τὴν κοίτην λιτήν τε καὶ ξηρὰν παρασκευάζειν. εἰ μὲν γὰρ πρὸς τοῦτο πεφύκαμεν. λέγω δὲ τὸ ἀγρυπνεῖν, ὡς ἐνὶ μάλιστα ὀλίγον τι διδόντες τῷ ὕπνῳ, καθόσον οὐκ ἐσχῶρον ἐσμὲν τῷ τῶν δι' αἰῶνος ἀγρύπνων, ἢ οὔ· πρὸς δὲ τὸ καθεύδειν συνέστημεν, ἄλλος ἂν εἴη λόγος καὶ μακρῶν δεόμενος ἀποδείξεων. τῷ δὲ ἅπαξ τὸ γνώτευμα τῆς ἐνταῦθα ἡμῶν διατριβῆς καὶ τοῦ οἴκου, ἐν ᾧ διάγομεν, ὑποπτεύσαντι· τό, τε αὐτοῦ

ex Euripidis Oreste [illegible]

ἄγρυπνον φύσει καθεύδοντι καὶ τὸν ὕπνου ποιὸν τὸν χῶρον ἐν ᾧ διατρίβει φαντάζοντι, τούτῳ διαλεγόμενοι, τὴν ἀκόλουθον τῇ τε ὑποστασίᾳ τοῦ χώρου καὶ αὖ τῇ αὐτοῦ γνώσει τροφὴν παραδίδομεν, τοὺς καθεύδοντας ἐᾶν παρειμένους ἐν τοῖς σφῶν δεμνίοις παρακελευόμενοι. εὐλαβούμενοι μὴ ὥσπερ ὀφθαλμίας, οἱ εἰς τοὺς ὀφθαλμιῶντας ἐμβλέποντες, ἢ χάσμης, καθάπερ οἱ συνόντες τοῖς χασμωμένοις, οὕτως νυσταγμῶν ἐμπλησθῶμεν καὶ ὕπνου, ψυχροῦ τε πλήρους ὄντος τοῦ τόπου, ἐν ᾧ διατρίβομεν: ἐπιτηδείως τε ἔχοντος ὀφθαλμοὺς ῥευματίζειν, ἅτε καὶ λιμνώδους ὄντος καὶ πρὸς καρηβαρείαν καὶ λήθην πάντας τῶν ἐν αὐτῷ καθελκουσῶν ἀναθυμιάσεων. εἰ μὲν οὖν καὶ οἱ νομοθέται τὰ κατὰ τοὺς νόμους διέταξαν ταῖς πόλεσι πρὸς τὸν θεωρητικὸν ἀνάγοντες βίον καὶ ζωὴν τὴν κατὰ νοῦν, χρὴ δήπου πειθομένους ἐκείνοις καὶ τὰς περὶ τῶν τροφῶν προσίεσθαι συγχωρήσεις. εἰ δὲ οὗτοι μὲν πρὸς τὸν κατὰ φύσιν λεγόμενον μέσον βίον, ἀφορῶντες καὶ ἃ πρόσοιντ' ἂν καὶ οἱ πολλοί. οἷς τὰ ἐκτὸς ὡς τὰ ἀγαθὰ ἢ κακὰ καὶ τὰ τοῦ σώματος ὡσαύτως ὑπείληπται, νομοθετοῦσι, τί τις αὖ τὸν τούτων παραφέρων νόμον ἀναιρέπει βίον, ἐννόμου μὲν παντὸς γραπτοῦ καὶ πρὸς τοὺς πολλοὺς κειμένου κρείττονα: τὸν δὲ ἄγραφον καὶ θεῖον μάλιστα διώκοντα: ἔχει γὰρ οὕτως. οὐχ ὅτι ἡ εὐδαιμονικὴ ἡμῖν θεωρία, λόγων ἄθροισις καὶ μαθημάτων πλῆθος, ὡς ἄν τις οἰηθείη, συνισταμένη κατὰ τοῦτο: οὐδ' ἐν τῷ ποσῷ τῶν λόγων λαμβάνει τὴν ἐπίδοσιν: οὕτω γὰρ οὐδὲν ἂν ἐκώλυε τοὺς πᾶν μάθημα συνάγοντας, εἶναι εὐδαίμονας. νῦν δ' οὐχ ὅπως πᾶν μάθημα οὐ συμπληροῖ τὴν θεωρίαν, ἀλλ' οὐδὲ τὰ περὶ τῶν ὄντως ὄντων, ἐὰν μὴ προσῇ καὶ ἡ κατ' αὐτὰ φυσίωσις καὶ ζωή. τριῶν γὰρ φασὶν ὡς καθ' ἕκαστον σκοπὸν τελῶν ὄντων, ἡμῖν τοῦ τυχεῖν τῆς τοῦ ὄντος θεωρίας τὸ τέλος, τῆς τεύξεως τελούσης τὴν κατὰ δύναμιν τὴν ἡμετέραν σύμφυσιν, τῷ θεωροῦντι καὶ θεωρουμένῳ: οὐ γὰρ εἰς ἄλλο, ἀλλ' εἰς τὸν ὄντως ἑαυτὸν ἡ ἀναδρομή: οὐδὲ πρὸς ἄλλο, ἀλλὰ πρὸς τὸν αὐτὸν ὄντως σύμφυσις. αὐτὸς δὲ ὁ ὄντως νοῦς ὥστε καὶ τὸ τέλος, τὸ ζῆν κατὰ νοῦν. καὶ πρὸς τοῦτο καὶ οἱ λόγοι καὶ τὰ μαθήματα τὰ ἔξωθεν, καθαρτικὸν ἐπέχοντα τρόπον, ἡμῶν οὐ συμπληρωτικὸν τῆς εὐδαιμονίας. ὅθεν εἰ μὲν λόγων ἀναλήψει ἀφώριστο τὸ εὔδαιμον, οἷόν τ' ἦν ὀλιγωροῦντας καὶ τροφῶν καὶ ποιῶν ἔργων τυγχάνειν τοῦ τέλους. ἐπεὶ δὲ ζωὴν δεῖ ἀντὶ ζωῆς ἀλλάξασθαι τῆς νῦν, δι' λόγων καὶ ἔργων καθαρθέντας, φέρε ποῖοι λόγοι καὶ τίνα ἔργα εἰς ταύτην ἡμᾶς καθίστησι, σκεψώμεθα. ἆρ' οὖν οὐ τὰ μὲν χωρίζοντα ἀπὸ τῶν αἰσθητῶν καὶ τῶν κατ' αὐτὰ παθῶν: ἀνάγοντα δὲ πρὸς νοερὰν καὶ ἀφαντασίαστον ἀπαθῆ τε ζωὴν καθ' ὅσον οἷόν τε, ταῦτα ἂν εἴη. τὰ δ' ἐναντία, ἀλλότρια καὶ ἀποβολῆς ἄξια καὶ μᾶλλον ὅσῳ τοῦ νοῦ ἀφίστησιν: πρὸς ὃ δὲ καὶ τοιαῦτα, οἶμαι ἀκόλουθον εἶναι συγχωρεῖν: ἐοίκαμεν γὰρ τοῖς εἰς ἀλλόφυλον ἔθνος ἢ ἑκοῦσιν ἀπεληλυθόσιν καὶ μὴ μόνον τῶν οἰκείων ἐξορίστοις, ἀλλὰ καὶ ἐκ τῆς ξένης ἐμπλησθεῖσι παθῶν τε καὶ ἐθῶν καὶ νομίμων ἐκφύλων. καὶ πρὸς ταῦτα ῥοπὴν ἐσχηκόσιν: ὥσπερ οὖν τρόπον ὁ ἐκεῖθεν εἰς τὰ οἰκεῖα μέλλων ἐπανήκειν, οὐ μόνον προθυμεῖται ὁδεύειν, ἀλλὰ καὶ ἵνα παραδεχθῇ, μελετᾷ μὲν ἀποτίθεσθαι πᾶν, εἴ τι προσέλαβεν ἀλλόφυλον: ἐπαναμιμνήσκει δ' ἑαυτὸν ὧν ἔχων ἐπελάθετο, ὧν ἄνευ παραδεχθῆναι οὐχ οἷόν τε πρὸς τῶν οἰκείων: τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς δεῖ ἐντεῦθεν, εἴπερ πρὸς τὰ ὄντως οἰκεῖα μέλλοιμεν ἐπανιέναι: ἃ μὲν ἐκ τῆς θνητῆς προσειλήφαμεν φύσεως, ἀποθέσθαι πάντα μετὰ τῆς πρὸς αὐτὰ προσπαθείας. δι' ἧς ἡ κατάβασις γέγονεν. ἀναμνησθῆναι δὲ τῆς μακαρίας καὶ αἰωνίου οὐσίας καὶ πρὸς τὸ ἀχρώματον καὶ ἄποιον σπεύδοντας ἐπανελθεῖν, δύο μελέτας ποιουμένους: μίαν μὲν, καθ' ἣν πᾶν τὸ ὑλικὸν καὶ θνητὸν ἀποθησόμεθα: ἑτέραν δὲ, ὅπως ἐπανέλθωμεν καὶ περιγενώμεθα ἐναντίως ἐπ' αὐτὰ ἀναβαίνοντες, ἢ ταῦτα κατήλθομεν: νοεροὶ γὰρ ἦμεν καὶ ἐσμὲν ἔτι οὐσίαι: πάσης αἰσθήσεως καὶ ἀλογίας καθαρεύοντες. συνεπλάκημεν δὲ τῷ αἰσθητῷ δι' ἀδυναμίας μὲν τῆς πρὸς τὸ νοητὸν ἡμῶν αἰωνίου συνουσίας. δυνάμεως δὲ ὡς πρὸς τὰ τῇδε λεγομένης: πᾶσαι γὰρ αἱ μετ' αἰσθήσεως καὶ μετὰ σώματος ἐνεργοῦσαι δυνάμεις, μὴ μενούσης ἐν νοητῷ τῆς ψυχῆς, ἐβλάστησαν, ἐοίκασι καὶ κακώσει γῆς. ἢ πυροῦ πολλάκις τὸ σπέρμα δεξαμένης αἶρας ἐγέννησεν. διά τινα μοχθηρίαν τῆς ψυχῆς. οὐ φθειρούσης μὲν τὴν αὐτῆς οὐσίαν τῇ τῆς ἀλο-

γίας γένεσιν· δεῖ δὲ ταύτης πρὸς τὸ θνητὸν συναπτομένης, καὶ πρὸς τὸ ἀλλότριον ἐκ τοῦ οἰκείου καθελκομένης. ὥστε καὶ μελετητέον, εἴπερ ἀναστρέφειν πρὸς τὰ ἐξ ἀρχῆς ἱέμεθα, ὅπως ἂν δυνάμεθα, καθ' ὅσον δύναμις, αἰσθήσεως μὲν ἀφίστασθαι καὶ φαντασίας, τῆς τε ταύταις ἑπομένης ἀλογίας καὶ τῶν κατ' αὐτὴν παθῶν, καθ' ὅσον μὴ ἐπείγει ἡ ἀνάγκη τῆς γενέσεως· διαρθρωτέον δὲ τὰ κατὰ τὸν νοῦν, εἰρήνην αὐτῷ καὶ ἡσυχίαν ἐκ τοῦ πρὸς τὴν ἀλογίαν πολέμου, παρασκευάζοντας· ἵνα μὴ μόνον ἀκούωμεν περὶ νοῦ καὶ τῶν νοητῶν, ἀλλὰ καὶ ὅση δύναμις, ἀπολαύοντές τε αὐτοῦ τῆς θεωρίας, καὶ εἰς τὴν ἀσώματον καθιστάμενοι καὶ ζῶντες μετ' ἀληθείας δι' ἐκείνου, ἀλλ' οὐ ψευδῶς μετὰ τῶν τοῖς σώμασι συμφύλων. ἀποδυτέον ἄρα τοὺς πολλοὺς ἡμῖν χιτῶνας· τόν τε ὁρατὸν τοῦτον καὶ σάρκινον, καὶ οὓς ἔσωθεν ἠμφιέσμεθα, προσεχεῖς ὄντας τοῖς δερματίνοις. γυμνοὶ δὲ καὶ ἀχίτωνες ἐπὶ τὸ στάδιον ἀναβαίνωμεν, ἐπὶ τὰ τῆς ψυχῆς ὀλύμπια ἀγωνισόμενοι. ἀρχὴ δὲ τὸ ἀποδύσασθαι, καὶ οὗ οὐκ ἄνευ τὸ ἀγωνίζεσθαι γένοιτο. ἐπεὶ δὲ τὰ μὲν, ἦν ἔξωθεν τῶν ἐνδυμάτων· τὰ δὲ ἔσωθεν. καὶ ἀπόδυσις ἡ μὲν, διὰ τῶν φανερῶν· ἡ δὲ, διὰ τῶν ἀφανεστέρων. τὸ μὲν γὰρ μὴ φαγεῖν φέρε, ἢ μὴ λαβεῖν διδόμενα χρήματα, τῶν φανερῶν ἦν καὶ ἐκκειμένων· τὸ δὲ μηδὲ ἐπιθυμεῖν, τῶν ἀφανεστέρων· ὥστε μετὰ τῶν ἔργων ἀποστατέον καὶ τῆς πρὸς αὐτὰ προσπαθείας καὶ τοῦ πάθους. τί γὰρ ὄφελος τῶν ἔργων ἀφισταμένους, τοῖς αἰτίοις, ἀφ' ὧν καὶ τὰ ἔργα, προσηλῶσθαι· ἡ δ' ἀπόστασις γένοιτο μὲν ἂν καὶ μετὰ βίας· γένοιτο δ' ἂν καὶ πειθοῖ καὶ κατὰ λόγον, διὰ μαράνσεως. καὶ ὡς ἄν τις εἴποι, λήθης αὐτῶν καὶ θανάτου· ἣ δὴ καὶ ἀρίστη τυγχάνει οὖσα ἀπόστασις, οὐχ ἥπου ἀπεσπάσθη φέρουσά τι κἂν τοῖς αἰσθητοῖς τὸ ἀποσπασθὲν βίᾳ, ἢ μέρος, ἢ ἴχνος τῆς ἀποσπάσεως. ἀνίλλει δὲ καὶ τὰ τὸ συνεχῶς ἀμελέτητον. τὴν δ' ἀμελετησίαν παρέχει ἡ μετὰ τῆς πρὸς τὰ νοητὰ διαρκοῦς φροντίδος ἀποχὴ, τῶν τὰ πάθη ἐγειρόντων αἰσθημάτων. ἐν οἷς καὶ τὰ ἐκ τῶν τροφῶν ἐγγίνεται. ἀφεκτέον ἄρα οὐχ ἧττον τῶν ἄλλων, καὶ τροφῶν τινῶν, ὅσαι τὸ παθητικὸν ἡμῶν τῆς ψυχῆς ἐγείρειν πεφύκασιν. σκεπτέον δέ τι καὶ τόδε. δύο πηγαὶ αὗται, πρὸς δεσμὸν τῆς ψυχῆς ἐνταῦθα. ἐξ ὧν, ὥσπερ θανασίμων πομάτων, ἐμπιμπλαμένη, ἐν λήθῃ τῶν οἰκείων γίγνεται θεαμάτων, ἡδονή τε καὶ λύπη· ὧν παρασκευαστικὴ μὲν ἡ αἴσθησις καὶ ἡ κατὰ τὴν αἴσθησιν ἀντίληψις· αἵ τε συνομαρτοῦσαι ταῖς αἰσθήσεσι φαντασίαι τε δόξαι καὶ μνῆμαι· ἐκ δὲ τούτων ἐγειρόμενα τὰ πάθη καὶ πᾶσα ἡ ἀλογία παχυνομένη, κατάγει τὴν ψυχὴν καὶ τοῦ οἰκείου περὶ τὸ ὂν ἀποστρέφει ἔρωτος. ἀποστατέον ἄρα εἰς δύναμιν τούτων· αἱ δὲ ἀποστάσεις διὰ τῶν ἐκκλίσεων τῶν κατὰ τὰς αἰσθήσεις παθῶν καὶ τῶν κατὰ τὰς ἀλογίας· αἱ δὲ αἰσθήσεις ἢ δὴ τῶν ὁρατῶν ἢ τῶν ἀκουστῶν ἢ γευστῶν ἢ ὀσφραντῶν, ἢ ἁπτῶν. οἷον γὰρ μητρόπολις ἡ αἴσθησις ἦν τῆς ἐν ἡμῖν ἐκφύλου τῶν παθῶν ἀποικίας. φέρε γὰρ ἴδε καθ' ἑκάστην ὅσον τὸ ὑπέκκαυμα εἰσρεῖ τῶν παθῶν εἰς ἡμᾶς. τοῦτο μὲν ἐκ τῆς κατὰ τὰς θέας ἱππικῶν τε ἁμίλλης καὶ ἀθλητῶν ἢ τῶν ἐκλελυγισμένων ὀρχήσεων. τοῦτο δὲ ἐκ τῆς ἐμβλέψεως τῆς πρὸς τὸ θῆλυ. αἳ δέλεαρ τοῦ ἀλογίστου, παντοίοις ἐπιθέτοις παγίσι χειροῦνται τὸ ἄλογον· κατὰ γὰρ πάντα τὰ τοιαῦτα ἐκβακχευομένη ὑπὸ τῆς ἀλογίας ἀναπηδᾶν τε ποιεῖ καὶ ἐκβοᾶν καὶ κεκραγέναι, τῆς ἔξω ταραχῆς ἀπὸ τῆς ἔνδον ἐκκαομένης· ἣν ἀνῆψεν ἡ αἴσθησις. αἱ δὲ δὴ τῶν ἀκουστῶν ἐμπαθεῖς οὖσαι κινήσεις, ἔκ τε ποιῶν ψόφων καὶ ἤχων αἰσχρορρημοσύνης τε καὶ λοιδορίας. ὡς τοὺς μὲν πολλοὺς τέλεον τοῦ λογισμοῦ ἐκδεδυκότας φέρεσθαι ποιοῦν οἰστρουμένους· τοὺς δ' αὖ θηλυνομένους, παντοίας στροφὰς ἑλίττεσθαι· θυμιαμάτων δὲ χρίσεις ἢ δυσώδεις ἀνοσίαι τε τὸν αὐτῶν ἐρῶντας τοῖς ἐρασταῖς ἐμπορευόμεναι, τίνα λελήθασιν, ὅσον τῆς ψυχῆς τὴν ἀλογίαν σαλεύουσι· περὶ γὰρ τῶν δὴ τῆς γεύσεως, τί ἄν τις καὶ εἴποι παθημάτων. διπλοῦ μάλιστ' ἐνταῦθα τοῦ δεσμοῦ συμπλεκομένου· τοῦ μὲν, ὃν ἐκ τῆς γεύσεως τὰ πάθη παχύνει· τοῦ δὲ, ὃν ἐκ τῆς εἰσφορήσεως τῶν ἀλλοτρίων σωμάτων βαρύνει καὶ δυνατὸν, ἐργαζόμενα φάρμακα, ὥς πού τις τῶν ἰατρῶν ἔφη, οὐ μόνα τὰ σκευαστὰ ὑπὸ τῆς ἰατρικῆς, ἀλλὰ καὶ τὰ καθ' ἡμέραν ἐς τροφὴν παραλαμβανόμενα, σιτία τε καὶ ποτά, καὶ πολὺ μᾶλλον τὸ θανάσιμον ἐκ τούτων τῇ ψυχῇ ἀναδίδοται, ἢ ἐκ τῶν φαρμακειῶν εἰς διάλυσιν τοῦ σώματος κατα-

σκευάζεται. αἱ δὲ ἁφαὶ, μόνον οὐ σωματοῦσαι τὴν ψυχὴν καὶ εἰς ἀνάρθρους ψόφους,
οἷα δὴ σῶμα, πολλάκις ἐμπίπτειν ἐρεθίζουσι. ἐξ ὧν αἱ μνῆμαι καὶ αἱ φαντασίαι, αἵτε δὴ
ζωπυρούμεναι ἑσμὸν τῶν παθῶν ἐγείρουσαι φόβων, ἐπιθυμιῶν, ὀργῶν, ἐρώτων,
φίλτρων, λυπῶν, ζήλων, μεριμνῶν, νοσημάτων. τῶν ὁμοίων παθῶν πλήρη ἀπέδειξαν:
διὸ πολὺς μὲν ὁ ἀγὼν, τούτων καθαρεῦσαι: πολὺς δὲ ὁ πόνος ἀπαλλαγῆναι αὐτῶν τῆς
μελέτης καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, ἐκ τῆς κατὰ τὴν αἴσθησιν ἀναγκαίας συμπλοκῆς
ἡμῖν παρούσης. ὅθεν ὅση δύναμις, ἀποστατέον τῶν τοιούτων χωρίων, ἐν οἷς καὶ μὴ βου-
λόμενον δεῖ περιπίπτειν τῷ πλήθει. καὶ εὐλαβητέον τὴν ἐκ τῆς πείρας μάχην καὶ ἐν
» βουλῇ καὶ νίκην καὶ τὴν ἐκ τῆς ἀπειρίας ἀγυμνασίαν: οὕτω γὰρ καὶ τῶν πρόσθεν ἀ-
κούομεν κλεινῶν ἀνδρῶν, Πυθαγορείων τε καὶ σοφῶν: ὧν οἱ μὲν, τὰ ἐρημότατα χωρία
κατῴκησαν: οἱ δὲ καὶ τῶν πόλεων τὰ ἱερὰ καὶ τὰ ἄλση. ἐξ ὧν ὁ πᾶς ἀπελήλαται
θόρυβος. Πλάτων δὲ τὴν Ἀκαδημίαν οἰκεῖν εἵλετο. οὐ μόνον ἔρημον καὶ πόῤῥω τῆς ἄστε-
ως χωρίον, ἀλλὰ καὶ, ὥς φασιν, ἐπίνοσον. ἄλλοι δὲ καὶ τῶν ὀφθαλμῶν οὐκ ἐφείσαντο,
πόθῳ τῆς ἔνδον ἀπερισπάστου θεωρίας. εἰ δέ τις οἴεται συνανθρωπεύων καὶ ἐμπιπλὰς
τὰς αἰσθήσεις τῶν κατ᾽ αὐτὰς παθῶν, αὐτὸς μένειν ἀπαθὴς, λέληθεν αὑτὸν καὶ
τοὺς αὐτῷ πειθομένους ἀπατῶν: ἀγνοῶν τε ὡς πολὺ τῶν παθῶν καταδεδούλωται
αὐτῇ ὑπὸ τοῦ πλήθους, οὐκ ἀλλοτριώσει: οὐ γὰρ δὴ μάτην: οὐδὲ τῆς φύσεως κα-
» ταψευδόμενος, τὴν φιλοσόφων ἔλεγχεν ὄψις. οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν, εἰς
» ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν: οὐδὲ ὅπου δικαστήριον ἢ βουλευτήριον, ἤ τι κοινὸν ἄλλο
» τῆς πόλεως συνέδριον: νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα, οὔτε
» ὁρῶσιν, οὔτε ἀκούουσι: σπουδαί τε ἑταιρειῶν, ἐπ᾽ ἀρχὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ
» σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς: εὖ δὲ ἢ κακῶς τι γέ-
» γονεν ἐν πόλει ἤ τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς, πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλ-
» λον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. καὶ ταῦτα πάντ᾽, οὐδ᾽ ὅτι
» οὐκ οἶδεν, οἶδεν: οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄν-
» τι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ: ἡ δὲ διάνοια, ταῦτα πάν-
» τα ἡγησαμένη σμικρὰ καὶ οὐδὲν, ἀτιμάσασα, πανταχῆ πέτεται κατὰ Πίνδα-
ρον, ὡς τῶν ἐγγὺς οὐδὲν ἑαυτὴν συγκαθιεῖσα: διὰ γὰρ τούτων ὁ Πλάτων οὐ κα-
θιέντα ὡς ταῖς ἐρημίαις, φησὶν ἐξ αὐτῶν μένειν ἀπαθῆ, ἀλλ᾽ ἐκ τοῦ εἰς μηδὲν αὐ-
τῶν συγκαθιέναι, διὸ οὔτε τὴν ὁδὸν οἶδεν, ὅπου τὸ δικαστήριον ἢ βουλευτήριον, οὔτ᾽
ἄλλο οὐδὲν τῶν κατὰ μέρος οὐκ οἶδε μὲν καὶ ἀπαντᾷ. ἀπαντῶν δὲ καὶ ἐμπιπλὰς
τὰς αἰσθήσεις ἀπ᾽ αὐτῶν, ὅτι οὐδὲν οὐκ οἶδεν, ἀλλὰ τοὐναντίον ἀπεχόμενον αὐτῶν
φησὶ καὶ μὴ εἰδότα, οὐδ᾽ ὅτι οὐκ οἶδεν εἰδέναι. εἰς δὲ δεῖπνα καθιέναι οὐδὲ ὄναρ φη-
» σὶ, προσίσταται αὐτῷ. σχολῇ ἄρα ἀγανακτήσειεν, ζημιῶν καὶ προεδρίαν ἀποστερούμε-
νος ἢ ὅλως προσήσεται ταῦτα: οὐχὶ δὲ πάντα ἡγησάμενος μικρὰ μὲν καὶ οὐδὲν
ἐκ τῆς ἀποχῆς: μεγάλα δὲ καὶ βλαβερὰ ἐκ τῆς προσαγωγῆς παραδειγμάτων ἐν τῷ
ὄντι ἑστώτων: τοῦ μὲν θείου, εὐδαιμονεστάτου: τοῦ δὲ ἀθέου, ἀθλιωτάτου: τῷ μὲν,
ὁμοιώσεται: τῷ δὲ, ἀνομοιώσεται, τὸν εἰκότα βίον ζῶν, ᾧ ὁμοιοῦται. λιτὸν τε τοίνυν
καὶ αὐτάρκη καὶ ἥκιστα τοῖς θνητοῖς ἐμφορούμενον. ὡς ἕως ἄν τις περὶ βρωτῶν διαφο-
ρῆται καὶ συνηγορῇ ὡς καὶ τόδε βρωτέον, ἀλλ᾽ οὐκ εἰ οἷόν τε ἦν, ἁπάσης τροφῆς ὅτι
ἀφυσικὸν διακρῖναι, τοῖς πάθεσι συναγορεύων δοξοκοπεῖ, ὡς μηδὲν διαφερόμενος πε-
» ρὶ ὧν διαφέρεται. βίᾳ μὲν τοίνυν ἑαυτὸν ὁ φιλοσοφῶν οὐκ ἐξάξει: βιαζόμενος γὰρ, οὐ-
δὲν ἧττον ἐκεῖ μένει, ὅθεν ἀπελθεῖν βιάζεται. οὐ μὴν τὸν δεσμὸν παχύνων, ἀδιάφο-
ρόν τι πράττειν ἡγήσεται. ὥστε τὸ ἀναγκαῖον μόνον διδοὺς τῇ φύσει καὶ τοῦτο κοῦφον καὶ διὰ
κουφοτέρων τροφῶν πᾶν τὸ παρὰ τοῦτο, ὡς εἰς ἡδονὴν συντεῖνον, παραιτήσεται: πέπει-
» σται γὰρ κατὰ τὸν εἰπόντα, ὡς ἧλος ψυχῆς πρὸς τὰ σώματα ἐτύγχανεν ἡ αἴσθησις: αὐτῇ
τρώσει τῶν πάθους ἑαυτῆς συγκολλῶσα καὶ οἷον καθηλοῦσα τὴν ψυχὴν πρὸς τὴν διὰ τοῦ σώματος
ἀπόλαυσιν. εἰ γὰρ μὴ ἐνεπόδιζε τὰ αἰσθήματα τῇ τῆς ψυχῆς καθαρᾷ ἐνεργείᾳ, τί δεινὸν

ἦν ἐν σώματι εἶναι, ἀπαθῆ μένοντα τῶν δὴ σώματος κινημάτων. πῶς δ' ἂν ἐπέκρινας καὶ εἶπας ὃ πέπονθας, μὴ πάσχων, μὴ δὲ παρών, οἷς ἔπαθες· νοῦς μὲν γὰρ ἔσω πρὸς αὐτῷ κἂν ἡμεῖς μὴ ὦμεν πρὸς αὐτῷ. νοῦ δὲ ὁ παρεκβὰς ἐκεῖ ἐστὶν ὅπου καὶ παρεξῆλθεν καὶ διαθέων γε ἄνω καὶ κάτω τῇ τῆς ἀντιλήψεως προσοχῇ, ἐκεῖ πάρεστιν ὅπου ἡ ἀντίληψις· ἄλλο δὲ ἦν μὴ προσέχειν τοῖς αἰσθητοῖς, τῷ πρὸς ἄλλοις εἶναι· ἄλλο δέ, τὸ ἀφιστάντα νομίζειν ἑαυτὸν μὴ παρεῖναι. οὐ δὴ δείξει τις τοῦτο συγχωροῦντα τὸν Πλάτωνα, εἴγε μηδ' ἔχων τὸν ἀπαντῶντα τοῦτο τις ἐπιδείξειεν. ὁ δὴ καθιεὶς εἰς βρωτῶν παραδοχὰς καὶ εἰς θέας ἑκὼν τὰς δι' ὄψεως· ὁμιλίας τε καὶ γέλωτας ἀμήτῃ τῇ καθέσει, ἐκεῖ ἐστὶν ὅπου καὶ τὸ πάθος· ὁ δὲ πρὸς ἄλλοις ὢν καὶ ἀποστάς, οὗτός ἐστιν ὁ δὴ τὴν ἀπειρίαν, γέλωτα παρέχων, οὐ μόνον Θρᾴτταις, ἀλλὰ καὶ τῷ ἄλλῳ ὄχλῳ. καὶ ὅταν καθῇ εἰς πάθος ἀπορίας ἐμπίπλων, ἀλλ' οὐχ ὑπαναισθητῶν· οὐδὲ ὑπακριβῶν μέν, τῷ δὲ ἀλόγῳ μόνον ἐνεργῶν· οὐ γὰρ τοῦτο εἰπεῖν ἐτόλμησε Πλάτων. ἀλλ' ὡς εἴς τε τὰς λοιδορίας, ἴδιον ἔχων οὐδὲν οὐδένα λοιδορεῖν, ἅτε οὐκ εἰδὼς κακὸν οὐδὲν οὐδενός, ἐκ τοῦ μὴ μεμελετηκέναι, φησίν· ἀπορῶν οὖν γελοῖος φαίνεται, ἔν τε τοῖς ἐπαίνοις καὶ ταῖς τῶν ἄλλων μεγαλαυχίαις. οὐ προσποιητῶς, ἀλλὰ τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος, ληρώδης δοκεῖ εἶναι. ὥστε διὰ τὴν ἀπειρίαν καὶ ἀποχὴν οὐκ οἶδεν. οὐχ ὅτι εἰς πεῖραν καθιεὶς καὶ διὰ τοῦ ἀλόγου ἐνεργῶν, οἴεται δεῖν θεωρεῖν τὰ κατὰ τὸν νοῦν ἀκραιφνῶς· οὐδὲ τῶν δύο ψυχὰς ἡμᾶς ἔχειν λεγόντων, δύο προσοχὰς ἡμῖν δεδωκότων· δύο γὰρ ἂν οὕτω ζῴων συνέρξεις ἐποίουν. ἃ ἐνεδέχετο, ἄλλου πρὸς ἄλλοις ὄντος, τὸ ἕτερον τοῦ ἑτέρου μὴ προσποιεῖσθαι τὰ ἔργα. τί δὲ ἔδει καὶ μαραίνειν τὰ πάθη, καὶ ἀποθνήσκειν ἀπ' αὐτῶν, καὶ τοῦτο μελετᾶν καθ' ἡμέραν, εἰ οἷόν τ' ἦν ἐνεργεῖν ἡμᾶς κατὰ νοῦν πρὸς τὰ θνητὰ συμπλεκομένους ἄνευ τῆς τοῦ νοῦ ἐπιβλέψεως, ὥς τινες ἀπεφαίνοντο. νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. οὐδ' ἐσθίων πολυτελῆ, καὶ πίνων οἶνον τὸν ἥδιστον, οἷός τε εἶ πρὸς τοῖς ἀΰλοις εἶναι, διότι οὐχὶ καὶ πολλάκις ἐν ζώων καὶ δρῶν, ἃ μηδὲ λέγειν καλόν. πανταχοῦ γὰρ τοῦ ἐν ἡμῖν παιδὸς ἦν ταῦτα τὰ πάθη καὶ ὅσα αἰσχρά, οὐ πρὸς ταύτας φύσεις καταπαστᾶσθαι· τίς γὰρ ἡ διακλήρωσις τούτων· τὰ μὲν μὴ δέοντα εἶναι πάσχειν, μὴ ὄντα πρὸς αὐτοῖς· τὰ δὲ ἕτερα συγχωρεῖν ἀπατᾶν πρὸς τοῖς νοητοῖς ὄντα. οὐ γὰρ ὅτι τὰ μὲν ὑπαίσχυντα εἶναι αἰσχρὰ παρὰ τοῖς πολλοῖς· τὰ δέ, οὔ· αἰσχρὰ γὰρ πάντα. ὡς πρός γε τὴν κατὰ νοῦν ζωὴν καὶ πάντων ἀφεκτέον, καθάπερ τῶν ἀφροδισίων. ὀλίγον δὲ τῇ φύσει ζοφῶν συγχωρητέον δὴ τὴν τῆς γενέσεως ἀνάγκην· ὅπου γὰρ αἴσθησις καὶ ταύτης ἀντίληψις, ἐκεῖ τοῦ νοητοῦ ἡ ἀπόστασις. καὶ ὅσῳ τῆς ἀλογίας ἡ ἀνάκινησις τοσούτῳ νοεῖν ἀπόστασις· οὐ γὰρ ἐνδέχεται τῇδε κἀκεῖσε φερόμενον, ἐνταῦθα ὄντα, εἶναι ἐκεῖ· οὐ γὰρ μέρει ἡμῶν, ἀλλ' ὅλοις τὰς προσοχὰς ποιούμεθα. τὸ δὲ οἴεσθαι κατὰ τὴν αἴσθησιν παθαινόμενον, πρὸς τοῖς νοητοῖς ἐνεργεῖν, πολλοὺς καὶ τῶν βαρβάρων ὑπεσφαχήλισεν. οἱ γὰρ πᾶν εἶδος ἡδονῆς προῆλθον ἐκ καταφρονήσεως λέγοντες. καὶ τὴν δύνασθαι πρὸς ἄλλοις ὄντας τῇ ἀλογίᾳ χρῆσθαι τούτοις ἐπιτρέπειν. ἤδη γάρ τινων ἀκήκοα τῇ σφῶν δυστυχίᾳ συναγορευόντων τοῦτον τὸν τρόπον· οὐ γὰρ ἡμᾶς μολύνει φασὶ τὰ βρώματα, ὥσπερ οὐδὲ τὴν θάλατταν τὰ ῥυπαρὰ τῶν ῥευμάτων· κυριεύομεν γὰρ τῶν ἁπάντων, καθάπερ ἡ θάλαττα τῶν ὑγρῶν πάντων. εἰ δὲ ἡ θάλαττα κλείσειε τὸ ἑαυτῆς στόμα· ὥστε μὴ δέξασθαι τὰ ῥέοντα, ἐγένετο καθ' ἑαυτὴν μέν, μεγάλη· κατὰ δὲ τὸν κόσμον, μικρά. ὥστε μὴ δυναμένη δέξασθαι τὰ ῥυπαρά· εὐλαβηθεῖσα δὲ μολυνθῆναι, οὐκ ἂν δέξαιτο. ἀλλὰ δὴ τοῦτο εἰδυῖα πάντα δέχεται. γινώσκουσα τὸ ἑαυτῆς μέγεθος, καὶ οὐκ ἀποστρέφεται τὰ εἰς ἑαυτὴν ἐρχόμενα. καὶ ἡμεῖς οὖν φασὶν ἐὰν εὐλαβηθῶμεν βρῶσιν, ἐδουλώθημεν τῷ τοῦ φόβου φρονήματι. δεῖ δὲ πάνθ' ἡμῖν ὑποτετάχθαι. ὕδωρ μὲν γὰρ ὀλίγον συναχθέν, ἐάν τι δέξηται ῥυπαρόν, εὐθέως μιαίνεται, καὶ δουλοῦται ὑπὸ τῆς ῥυπαρίας· βυθὸς δέ, οὐ μιαίνεται. οὕτω δὴ καὶ βρώσεις τῶν ὀλίγων περιγίγνονται. ὅπου δὲ βυθὸς ἐξουσίας πάντα δέχονται καὶ ὑπ' οὐδενὸς μιαίνονται. τοιούτοις δὲ ἑαυτοὺς ἀπατῶντες, ἀκόλουθα μὲν

οἷς ἠπάτην, ἴδρων· αὕτη δ' ἐλευθερίας, εἰς τὸν τῆς κακοδαιμονίας βυθὸν αὐτοὺς φέροντος ἐπνίξαι. τοῦτο καὶ τῶν κυνικῶν τινὰς παντορέκτας ἐποίησε, προσπλακέντων τῷ αἰτίῳ τῶν ἁμαρτημάτων αὐτοῖς, ὃ δὴ καλεῖν εἰώθαμεν ἀδιάφορον· ἀνὴρ δὲ εὐλαβὴς καὶ ὕποπτος πρὸς τὰ γοητεύματα τῆς φύσεως, τήν τε τοῦ σώματος φύσιν κατασκεψάμενος, καὶ ὡς ἥρμοσται ὀργάνου δίκην πρὸς τὰς δυνάμεις τῆς ψυχῆς, νοῦς, οἶδεν ὡς ἕτοιμον φθέγξασθαι τὸ πάθος· ἄντε βουλώμεθα, ἄντε μή. κρουσθέντος τοῦ σώματος ὑπὸ τῶν ἔξωθεν, καὶ τοῦ κρούσματος εἰς ἀντίληψιν ἀφικομένου· ἡ γὰρ ἀντίληψις ἐτύγχανεν αὐτοῦ ἡ φθέγξις· φθέγξασθαι δ' οὐκ ἔα τὴν ψυχὴν μηδ' ἄλλο πρὸς τὸ φθέγμα ἐπιστραφεῖσαν καὶ τὸ ἐπιστατικὸν ὄμμα πρὸς τοῦτο μετατιθεῖσαν· ὅλως δὲ τῆς ἀλογίας τὸ, ἄχρι τίνος, καὶ πῶς, καὶ πόθεν, καὶ πρὸς οἷς, ἐπικρίνειν οὐκ ἐχούσης. καθ' ἑαυτὴν δὲ ἀνεπισκέπτου ὑπαρχούσης· ᾗ ἂν ἐπιβρίσῃ, ἵπποις ἐοικυίας ἄνευ ἡνιόχου· ἀμήχανόν ἐστιν ἢ διοικεῖν τι καθηκόντως πρὸς τὰ ἔξω, ἢ τροφῆς καιρὸν καὶ μέτρα γιγνώσκειν, μὴ οὐχὶ τοῦ ἡνιόχου ἐφεστῶτος ὄμματος· ὃς τὰ κινήματα ῥυθμίζει καὶ ἡνιοχεῖ τῆς τυφλῆς καθ' ἑαυτὴν ἀλογίας. ὁ δὲ τὴν ἐπίστασιν τοῦ λογισμοῦ ἀφαιρῶν τῆς ἀλογίας· ἐπιτρέπων δὲ αὐτῇ φέρεσθαι κατὰ τὴν οἰκείαν φύσιν, οἷος ἂν εἴη τῇ ἐπιθυμίᾳ συγχωρήσας εἰς ὅσον βούλεται προχωρεῖν τῆς οἰκείας κινήσεως. καὶ τῷ θυμῷ ὡσαύτως. καλὸν γοῦν ἡμῖν τὸ σπουδαῖον ποιῆσαι καὶ τὰ ἔργα αὐτοῦ λελογισμένα ἀνεπίληπτα ὑπὸ τοῦ ἐφεστῶτος λογισμοῦ ποιῶν ἐν ταῖς τῆς ἀλόγου ἐνεργείαις. καίτοι ταύτῃ διενήνοχεν φαίνεται ὁ σπουδαῖος τοῦ φαύλου. ὅτι ὁ μὲν πανταχοῦ τὸν λογισμὸν ἔχει παρεστῶτα καὶ κρατοῦντα καὶ ἡνιοχοῦντα τὸ ἄλογον· ὁ δὲ πολλὰ πράττειν παρεὶς τῷ λογισμῷ καὶ ζῶν τούτῳ πράττειν ἃ πράττει. διὸ καὶ ὁ μὲν ἀλόγιστος λέγεται καὶ φερόμενος ὑπὸ τῆς ἀλογίας. ὁ δὲ λελογισμένος, καὶ ἐγκρατὴς παντὸς ἀλογίστου· καὶ τὸ ἁμαρτάνειν ἄρα τοῦτο, τοῖς πολλοῖς καὶ ἐν λόγῳ καὶ ἐν πράξει καὶ ταῖς ἐπιθυμίαις καὶ ταῖς ὀργαῖς γίνεται. ἔμπαλιν δὲ κατορθοῦν τοῖς σπουδαίοις, ὅτι οἱ μὲν, ἐφήκασι τῷ παιδὶ δρᾶν καθ' ἑαυτὸν ἃ βούλεται· οἱ δὲ, τῷ παιδαγωγῷ. καὶ μετὰ τούτου τὰ καθ' ἑαυτοὺς κυβερνῶσιν. ὥστε καὶ ἐν βρωτοῖς, καὶ ἐν ταῖς ἄλλαις ταῖς διὰ τοῦ σώματος ἐνεργείαις ἢ ἀπολαύσεσι, παρὼν μὲν ὁ ἡνίοχος ἀφορίζει τὸ σύμμετρον καὶ τὸ εὔκαιρον· ἀπὼν δὲ καὶ ὥς φασί τινες, πρὸς τοῖς ἑαυτοῦ ὤν, εἰ μὲν καὶ τὴν ἡμετέραν πρόσεξιν ἔχει παρ' ἑαυτῷ. οὐδ' ἐπιτρέπει τῇ ἀλογίᾳ παθαίνεσθαι· οὐδ' ὅλως τι ἐνεργεῖν. εἰ δ' ἀφῆκεν ταύτην πρὸς τῷ παιδὶ εἶναι ἄνευ αὐτοῦ, ἀπώλεσε τὸν ἄνθρωπον, συρόμενον ὑπὸ τῆς ἀδείας τοῦ λόγου. ὅθεν τοῖς σπουδαίοις ἡ ἀποχὴ μᾶλλον οἰκειοτέρα καὶ βρωτῶν καὶ τῶν διὰ σώματος ἀπολαύσεων καὶ πράξεων τῆς ἐφάψεως· τῷ δεῖν ἐφαπτομένων τῶν σωματικῶν, καταβαίνειν ἀπὸ τῶν οἰκείων ἠθῶν, εἰς παιδαγωγίαν τοῦ ἐν ἡμῖν ἀλογίστου· ἐν δὲ ταῖς τροφαῖς καὶ μᾶλλον· οὐδὲ γὰρ τοῦ μέλλοντος δι' αὐτῶν ἐπιλογιστικὸν τὸ ἄλογον. φύσει γὰρ ἀνεπίγνωμον τοῦ ἀπόντος, τὸ ἄλογον. τῶν δὲ τροφῶν, εἰ μὲν ἦν ἀπηλλάχθαι, ὥσπερ τῶν ὁρατῶν ἀρθέντων· ἔξεστι γὰρ πρὸς ἄλλοις εἶναι κομίζοντα ἀπ' αὐτῶν φαντασίας, μέτριον ἂν ἦν, τῇ ἀνάγκῃ εἴξαντα, τῆς θνητῆς φύσεως ἐπ' ὀλίγον, εὐθὺς ἀπηλλάχθαι. ἐπεὶ δὲ καὶ παρολκῆς χρόνου χρεία, καὶ πέψεως, καὶ ἀναδόσεως· καὶ τῆς πρὸς τούτοις ζωουργείας, τῆς δι' ὕπνου τε καὶ ἡσυχίας· τῆς τε ἄλλης ἀργίας καὶ μετὰ ταῦτα τῆς ἐκ τῆς ἀναδόσεως ποιᾶς κράσεως· περιττωμάτων τε διαχωρήσεως, ἀνάγκη τὸν παιδαγωγὸν παρεῖναι, ὃς τὰ κοῦφα καὶ ἀνεμπόδιστα ἑαυτῷ ἐκλεξάμενος, ταῦτ' ἐπιτρέψει τῇ φύσει. τὸ μέλλον προορώμενος καὶ ὅσον τὸ ἐμπόδιον συγχωρήσαντος ταῖς ἐπιθυμίαις φορτίον οὐκ εὖ ἂν καλὸν ἐπεισάγειν ἡμῖν, δι' ὀλίγην ἡδονήν, ἧς ἐν τῷ καταδέχεσθαι αὐτὰ, εἰς τὴν κατάποσιν ἀντιλαμβάνονται. οὐκ ἀπεικότως ἄρα τὸ πολὺ καὶ περιττὸν ὁ λόγος ἀποκρίνας, εἰς ὀλίγον περιγράφει τὸ ἀναγκαῖον. εἰ μέλλει μήτε πορίζων ἕξειν πράγματα, διὰ τοῦτο δεῖσθαι πλειόνων· μήτε εὐτρεπῆ ποιῶν, πλειόνων τῶν ὑπηρετησομένων δεήσεσθαι· μήτε ἐσθίων, πλειόνων ἡδονῶν ἀντιλήψεσθαι· μήτε πληρούμενος, πολλῆς ἀργίας ἐμπλήσεσθαι·

μήτε

μήτε παχυτέρου φορτίου ἐμπιμπλάμενος, ὑπνώδης γίνεσθαι· μήτε τῶν πιαινόντων τὸ σῶμα πληρούμενος, ἰσχυρότερον μὲν τὸν δεσμὸν· αὐτὸν δὲ ἀργότερον πρὸς τὰ οἰκεῖα ποιήσειν καὶ ἀσθενέστερον. δειξάτω τοίνυν ἡμῖν τις ἀνὴρ σπεύδων, ὡς ἔνι μάλιστα ζῆν κατὰ νοῦν καὶ ἀπερίσπαστον ἐκ τῶν κατὰ τὸ σῶμα παθῶν εἶν· ὡς εὐπορωτέρα μὲν ἡ κρεωφαγία τῶν ἐκ τῶν ἀκροδρύων καὶ ἐκ λαχάνων ὄψων. εὐτελεστέρα δὲ ἡ τούτων παρασκευὴ τῆς τῶν ἀψύχων, καὶ μαγείρων ὅλως μὴ δεομένων. ἀνήδονος δὲ καθ' αὑτὴν παραβαλλομένη πρὸς τὴν ἄψυχον. κουφοτέρα δὲ ἐν ταῖς πέψεσι τῆς ἑτέρας. κἀν ταῖς ἀναδόσεσιν τῆς εἰς τὸ σῶμα παχυτέρα τῆς ἐκ λαχάνων ἀναδόσεως· πρός τε τὰς ἐπιθυμίας ἧττον ἐρεθίζουσα. καὶ εἰς πάθος καὶ ῥώμην σώματος ἔλαττον συμβαλλομένη τῆς ἀψύχου διαίτης. εἰ δὲ τοῦτο οὔτε ἰατρῶν τις, οὔτε φιλοσόφων. οὐ γυμναστὴς, οὐκ ἰδιώτης εἰπεῖν ἐτόλμησε. τί οὐκ ἀφιστάμεθα ἑκόντες τοῦ σωματικοῦ φορτίου; τί οὐκ ἐλευθεροῦμεν αὑτοὺς ἅμα τῇ ἀποστάσει ἐκ πολλῶν· οὐ γὰρ ἑνὸς ἦν, ἀλλὰ μυρίων, τοῖς ἐλαχίστοις ἐθίσαντα αὐτὸν, ἀρκεῖσθαι, ἀπηλλάχθαι χρημάτων περιουσίας· οἰκετῶν πλειόνων ὑπηρεσίας· σκευῶν πλήθους· ὑπνώδους καταστάσεως· νόσων σφοδρότητος καὶ πλήθους· ἰατρῶν δεήσεως· ἐρεθισμῶν πρὸς ἀφροδίσια· ἀναθυμιάσεων παχυτέρων· περιττωμάτων πλήθους· παχύτητος τοῦ δεσμοῦ. ῥώμης πρὸς πράξεις ἐγειρούσης· Ἰλιάδος κακῶν. ἀνθ' ἡ ἄψυχος καὶ λιτὴ τροφὴ καὶ πᾶσιν εὐπόριστος, ἀφαιρεῖται ἡμᾶς. εἰρήνην παρασκευάζουσα τῷ τὰ σωτήρια ἡμῖν ἐκπορίζοντι λογισμῷ· οὐ γὰρ ἐκ τῶν μαζοφάγων φησὶν ὁ Διογένης, οἱ κλέπται καὶ οἱ πολέμιοι· ἀλλ' ἐκ τῶν κρεοφάγων οἱ συκοφάνται, καὶ τύραννοι. τῆς δὲ τοῦ πολλῶν δεῖσθαι ἀρθείσης αἰτίας· καὶ τοῦ πλήθους τῶν εἰσαγομένων εἰς τὸ σῶμα περιαιρεθέντων· τοῦ τε βάρους τῶν ἀναδιδομένων κουφισθέντων. ἐλεύθερον τὸ ὄμμα, καπνοῦ τε καὶ κύματος τοῦ σωματικοῦ ἐκτὸς καθωρμισμένον γίνεται. καὶ τοῦτο οὔτε ὑπομνήσεως, οὔτε ἀποδείξεως, διὰ τὴν αὐτόθεν προσοῦσαν ἐνάργειαν, χρήζει. ὅθεν οὐ μόνον οἱ κατὰ νοῦν ζῆν ἐσπουδακότες. καὶ τέλος τὸν κατ' αὐτὸν βίον ἐστησάμενοι, ἀναγκαίαν πρὸς τὸ τέλος ὁρῶσι τὴν τούτων ἀποχὴν, ἀλλὰ καὶ πᾶς σχεδὸν οἶμαι φιλόσοφος τὴν εὐτέλειαν πρὸ τῆς πολυτελείας ἐγκρίνων, ἀποδέξαιτ' ἂν μᾶλλον τὸν ἐν ὀλίγοις ἀρκούμενον, ἢ πλειόνων δεομένου. καὶ ὃ παράδοξον τοῖς πολλοῖς δόξειεν εἶν· τοῦτο λέγοντας καὶ ἐκτιμῶντας εὑρίσκομεν. λέγω δὲ τοὺς ἡδονὴν οἰομένους τὸ τέλος τῶν φιλοσοφησάντων· τῶν γὰρ Ἐπικουρείων οἱ πλείους, ἀπ' αὐτοῦ τοῦ κορυφαίου ἀρξάμενοι, μάζῃ καὶ τοῖς ἀκροδρύοις ἀρκούμενοι φαίνονται· τά τε συγγράμματα ἐμπεπλήκασι τὸ ὀλιγοδεὲς τῆς φύσεως ἀφηγούμενοι καὶ τὸ ἐκ τῶν λιτῶν καὶ εὐπορίστων ἱκανῶς αὐτῆς τὸ ἀναγκαῖον ἰώμενον παριστάντες. ὥρισται γάρ φησιν ὁ τῆς φύσεως πλοῦτος καί ἐστιν εὐπόριστος· ὁ δ' ἐκ τῶν κενῶν δοξῶν, ἀόριστός τε ἦν καὶ δυσπόριστος. τὸ γὰρ κατ' ἔνδειαν ἐνοχλοῦν τὴν σάρκα, ἐξαιρεῖται καλῶς καὶ αὐτάρκως τὰ εὐπόριστα· ἁπλῆν ἔχοντα φύσιν ὑγρῶν τε καὶ ξηρῶν. τὸ δὲ λοιπὸν ὅσον εἰς πολυτέλειαν πέπτωκεν, οὐκ ἀναγκαίαν ἔχειν φασὶ τὴν ὄρεξιν. οὐδ' ἀπ' ἀλγοῦντός τινος ἀναγκαίας γινομένην, ἀλλὰ τὴν μὲν ἀπὸ τοῦ ἢ λυποῦντος, ἢ νύττοντος μόνον ἐν τῷ μὴ παρεῖναι. τὴν δὲ ὅλως ἀπὸ τοῦ χαίροντος· τὴν δὲ ὅλως ἀπὸ τῶν κενῶν καὶ διεψευσμένων δογμάτων ἢ εἰς οὐδὲν φυσικὸν ἀνάγεται ἔλλειμμα. οὐδ' εἰς τὸ διαλῦον τὴν σύστασιν ἐκ τοῦ μὴ παρεῖναι. ἱκανὰ γὰρ καὶ τὰ τυχόντα διακρατῆσαι ταῦτα ἦν. ὧν ἀναγκαίως δεῖται ἡ φύσις. ταῦτα δὲ, καὶ διὰ τὴν λιτότητα καὶ διὰ τὴν ὀλιγότητά ἐστιν εὐπόριστα. καὶ τῷ μὲν κρεωφαγίας ἁπτομένῳ, χρεία καὶ τῶν ἀψύχων. τῷ δὲ ἀρκουμένῳ τοῖς ἀψύχοις, ἐξ ἡμισείας καὶ τοῦτο εὐπόριστον καὶ ὀλίγων δεόμενον ἀναλωμάτων τὸ τῆς παρασκευῆς. δεῖ δέ φασιν οὐχ ἐπιμασσώμενον τὰ ἀναγκαῖα προσθήκῃ τῇ φιλοσοφίᾳ χρῆσθαι. ἀλλὰ παρασκευασάμενον τὸ θαρρεῖν τῇ ψυχῇ γνησίως οὕτως ἀντέχεσθαι τῶν καθ' ἡμέραν. κακῷ γὰρ φροντιστῇ τὰ καθ' ἑαυτὸν ἐπιτρέψομεν, ἄνευ φιλοσοφίας τὸ ἀναγκαῖον συμμετρούμενοι τῆς φύσεως καὶ παρασκευάζοντες. διὸ φιλοσοφοῦντα δεῖ καὶ τούτων προνοεῖν. καὶ ἐφ' ὅσον αὖ ἡ παρ' ἐκείνοις εὔτονος ἐπιμέλεια παραδίδου. ἐφ' ὅσον

[Handwritten marginalia: "πάχος" · "Parsimonia victus quot ab incommodis liberet." · "Diogenis dictum." · "Homer. Odys." · "Epicurus frugalitatis laudator"]

δὲ ἐκεῖθέν τι ἀφαιρεῖται, ὃ μὴ κυριεύσει τῆς τελείας ἐκθαῤῥήσεως, μὴ προσδεῖσθαι τῆς τῶν χρημάτων τε καὶ τροφῶν παρασκευῆς. σὺν φιλοσοφίᾳ τοίνυν ἃ πλέον τούτων καὶ εὐθὺς προσαπεσεῖται, ὅτι πολλῷ κρεῖττον τὸ ἐν αὐτοῖς μεταδιώκειν, ἐλάχιστόν τε καὶ λιτὸν καὶ κοῦφον. ἐλάχιστον γὰρ καὶ τὸ ὀχληρὸν ἐκ τοῦ ἐλαχίστου. ἃ δ' αὖ συνεφελκύσονται ἡ παρασκευὴ ἐμπόδια, ἐκ τῆς τοῦ σώματος βαρύτητος. ἢ ἐκ τῆς τῶν παρασκευαζομένων πραγματείας, ἢ ἐκ τοῦ κωλύειν τὴν περὶ τῶν κυριωτάτων λογισμῶν ἐνέργειαν τὴν συνεχῆ ἢ ἐκ τινος ἄλλης αἰτίας. εὐθὺς ἀλυσιτελὴς γίνεται καὶ οὐκ ἀντάλλακτος πρὸς τὰς συνακολουθούσας ὀχλήσεις. Δεῖ μέντοι τῷ φιλοσόφῳ καὶ τὴν ἐλπίδα τοῦ μηδὲν ὑπολείψειν παρεῖναι διὰ βίου: ταύτην δὲ τὰ μὲν εὐπόριστα ἱκανῶς διασώζει. τὰ δὲ πολυτελῆ ποιεῖ δυσέλπιστον. οἱ γοῦν πολλοί, διὰ τοῦτο καίπερ πολλὰ κεκτημένοι, ὡς ὑπολειψόντων, ἀπέραντα μοχθοῦσιν: ἀρκεῖσθαι δὲ τοῖς εὐπορίστοις καὶ λιτοτάτοις ποιεῖ, τὸ μνημονεύειν, ὅτι πρὸς μὲν τῆς ψυχῆς ἀξιόλογον ταραχῆς λύσιν, οὐδὲν ἰσχύειν πέφυκεν οὐδ' ὁ πᾶς πλοῦτος συναχθείς: τὸ δὲ τῆς σαρκὸς ὀχληρὸν ἐξαιρεῖ καὶ τὰ πάνυ μέτρια καὶ τυχόντα: πᾶσάν τε εὐπορισίαν κεκτημένα. ὑπολείποντά τε καὶ τὰ τοσαῦτα. οὐ ταράττει τὸν ἀποθνήσκειν μελετῶντα. ἔτι καὶ τὸ ἀλγεινὸν τὸ δι' ἐνδείας πολλῆς ἠπιότητος ἢ τὸ διὰ πληρώσεως μετέχει, ἐὰν μήτις τοὺς κενοὺς δόξους ἑαυτὸν ἀπατᾷ: ἥ τε ποικιλία τῶν τροφῶν οὐχ ὅπως τὰς ταραχὰς τῆς ψυχῆς ἐκλύει, ἀλλ' οὐδὲ τὴν ἐν τῇ σαρκὶ ἡδονὴν συναπαύξει: πέρας γὰρ ἔχει καὶ αὕτη ἅμα τῇ τῆς ἀλγηδόνος ὑπεξαιρέσει. ὥς τήγε τῆς σαρκοφαγίας: οὐδ' ἔλυσέ τι ὀχληρὸν τῆς φύσεως. οὐδ' ὃ μὴ συντελούμενον εἰς ἀλγηδόνα ἠνύετο, τὴν δὲ βιαίαν χάριν ἔχει. καὶ ταχὺ τῷ ἐναντίῳ μιγνυμένην. οὐ γὰρ πρὸς ζωῆς συμμονὴν. πρὸς δὲ ποικιλίαν ἡδονῶν συνεβάλλετο. ἐοικὸς ἀφροδισίοις ἢ ξενικῶν οἴνων πόσεσιν. ὧν καὶ χωρὶς διαμένειν δύναται ἡ φύσις. ὧν δὲ χωρὶς οὐκ ἂν ὑπομένειεν βραχέα παντάπασίν ἐστιν. καὶ δυνάμενα ῥαδίως καὶ μετὰ δικαιοσύνης καὶ ἐλευθερίας τε ἡσυχίας τε καὶ πολλῆς ῥαστώνης πορίζεσθαι. ἔτι δὲ οὐδὲ πρὸς ὑγίειαν τὰ κρέα συντελεῖ, ἀλλὰ μᾶλλον τῇ ὑγιείᾳ ἐμποδίζει. δι' ὧν γὰρ ὑγίεια ἀνακτᾶται, διὰ τούτων καὶ διαμένει. ἀνακτᾶται δὲ διὰ τῆς λεπτοτάτης καὶ ἀσάρκου διαίτης, ὥστε καὶ ταύτῃ ἂν συμμένοιεν. εἰ δὲ μὴ πρὸς τὴν Μίλωνος ῥώμην τὰ ἄψυχα συμβάλλεται, οὐδὲ ὅλως πρὸς ἐπίτασιν ἰσχύος. οὐδὲ γὰρ ῥώμης, οὐδὲ ἐπιτάσεως ἰσχύος χρεία τῷ φιλοσόφῳ, εἰ μέλλει θεωρίαις καὶ μὴ πράξεσι καὶ ἀκολασίαις προσέχειν. οὐδὲν δὲ θαυμαστὸν τοὺς πολλοὺς οἴεσθαι εἰς ὑγίειαν συντελεῖν τὴν κρεωφαγίαν: τὴν γὰρ αὐτὴν ἦν καὶ τὰς ἀπολαύσεις οἴεσθαι ὑγιείας εἶναι τηρητικάς. καὶ τὰ ἀφροδίσια. ὧν ὤνησε μὲν οὐδένα τινα: ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψεν. εἰ δὲ πολλοὶ μὴ τοιοῦτοι, οὐδὲν πρὸς ἡμᾶς: οὐδὲ γὰρ φιλίας καὶ εὐνοίας πιστόν τι καὶ διαμόνιμον ἐν τοῖς πολλοῖς. οὐδὲ δεκτικοὶ τούτων, οὐδὲ σοφίας: οὐδὲ τὸν ἀξιόλογόν τι ἐχόντων σοφίας μορίων. οὔτε τῶν συμφερόντες, οὔτε τῶν ἰδίου, οὐδὲ τοῦ κοινοῦ συνετὸς ὁ πολύς. οὔτε ἐθῶν φαύλων καὶ ἀστείων κρίσιν ποιεῖσθαι δυνάμενος. πρός τε τούτοις πολὺ τὸ ἀσελγὲς καὶ ἀκρασίας γέμον ἐν τοῖς πολλοῖς. διὸ οὔτε φοβητέον. μήτι οὐκ ὦσιν οἱ βρωσόμενοι τὰ ζῷα: πάντων μὲν γὰρ φρονησάντων τὰ ἄριστα, οὐδεμία χρεία ὀρνιθευτικῆς, ἰχθυτῶν, ἁλιέων, συβωτῶν. αὐτὰ δὲ αὐτὰ διοικοῦντα τὰ ζῷα καὶ μὴ ἔχοντα τὸν ἐπιμελούμενον καὶ ἐφεστῶτα, ταχέως φθείρεται καὶ δαπανᾶται πρὸς τῶν ἐπιτιθεμένων καὶ τὸ πλῆθος ἀναλισκόντων ὥσπερ τῶν μυρίων, ὧν οὐ γεύονται ἄνθρωποι ζῴων, συμβέβηκεν: μενούσης δὲ τῆς κατὰ ἀνθρώπους ποικίλης καὶ παντοίας ἀφροσύνης. ἔσονται μύριοι καὶ οἱ ταῦτα λαιμαργήσοντες. τηρεῖν τε χρὴ τὴν ὑγίειαν, οὐ φόβῳ θανάτου, ἀλλ' ἕνεκα τοῦ μὴ ἐμποδίζεσθαι πρὸς τὰ ἀγαθά, τὰ ἐκ τῆς θεωρίας. διατηρητικὸν δὲ αὐτῆς, μάλιστα μὲν ἡ τῆς ψυχῆς ἀτάραχος κατάστασις καὶ ἡ πρὸς τὸ ὄντως ὂν διάθεσις τῆς διανοίας: πολὺ γὰρ τὸ ἄχρι σώματος ἐντεῦθεν ἀφικνούμενον. ὡς πεῖρα διέδειξεν ἡμῶν ἑταῖροι. καὶ ἀρθρῖτιν νόσον περί τε πόδας καὶ χεῖρας τοσαύτην οὖσαν, ὡς ὅλων ὀκτὼ ἐτῶν φέρεσθαι βασταζομένους, ἀποκροῦσαι ἅμα τῇ ἐκστάσει τῶν χρημάτων, καὶ πρὸς τὸ θεῖον ἐπιβλέψαι: συναπέθεντο γοῦν ἅμα τοῖς χρήμασι καὶ ταῖς φροντίσι καὶ τὴν νόσον τοῦ σώματος: ὥστε πολὺ πρὸς ὑγίειαν καὶ τὸ πᾶν, ἐκ τῆς ποιᾶς ψυχῆς καταστάσεως εἰς τὸ σώ-

μια κάτεισιν. συμβάλλεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἡ τῆς τροφῆς ἐλάττωσις. καθόλου δὲ ὀρθῶς ὁ Ἐπίκουρος ἔφασκεν, εὐλαβητέον εἶναι τροφήν, ἣν ἀπολαῦσαι μὲν ποθοῦμεν καὶ διώκομεν, συντελεσθείσης δ᾽ ἐν ἀχαρίστῳ τίθεμεν. τοιαύτη δὲ πᾶσα ἡ δαψιλὴς καὶ παχεῖα. καὶ τοῦτο πάσχουσιν οἱ περὶ ταύτην ἐπτοημένοι: ἢ ἀναλώμασιν, ἢ νόσοις, ἢ πλησμονῇ, ἢ ἀσχολίαις περιπίπτοντες. διὸ καὶ ἐπὶ τῆς λιτῆς φυλακτέον τὸ πλήσμιον, καὶ πανταχοῦ σκεπτέον τί δὴ τῆς ἀπολαύσεως ἢ κτήσεως γίνεται, καὶ πηλίκην ἔχει μέγεθος καὶ τίνος ὀχληροῦ λυτικὸν σαρκὸς ἢ ψυχῆς: μὴ δὲ δια   χάριν ἡ περὶ ἑκάστου   ἔντασις γίνεται, ὥσπερ ὁ τῶ   βίος γε κινεῖται: ἀοριστεῖν γὰρ οὐδαμοῦ δεῖ, ἀλλ᾽ ἔχεσθαι ὅρου καὶ μέτρου τοῦ ἐν τοῖς τοιούτοις. καὶ λογίζεσθαι, ὡς ὁ φοβούμενος ἐμψύχων ἀποχήν: ἐπειδὴ δι᾽ ἡδονὴν ἅπτεται κρεωφαγίας, τὸν θάνατον φοβεῖται. εὐθὺς γὰρ τῇ στερήσει τὴν βρωτήν, συνάπτει ἀορίστου τινὸς δεινοῦ παρουσίαν, ἐξ ἧς ὁ θάνατος: παρὰ δὲ τὰς τοιαύτας, καὶ τὰς ὁμογενεῖς αἰτίας, καὶ ἡ τῆς ζωῆς ἄπληστος ὄρεξις γίγνεται καὶ πλούτων, καὶ χρημάτων, καὶ δόξης τῆς ζωῆς αὔξησιν τε νομίζειν τὸ πᾶν ἀγαθὸν ζωὴν αὐτοῖς διὰ τοῦ πλείονος χρόνου. καὶ τὸ κατὰ τὸν θάνατον δεινόν, ὡς ἀπέραντον φοβεῖσθαι: ἡδονὴ δὲ ἡ διὰ πολυτελείας, οὐδὲ ἐγγὺς τείνει τῆς δι᾽ αὐταρκείας τῷ πεπειραμένῳ γινομένης: πολὺ γὰρ τὸ ἡδὺ ἐν τῷ κατανοεῖν, ὅσων
» αὐτὸς χρείαν οὐκ ἔχει: ἀφελὲ γὰρ πολυτελείας: ἀφελὲ τῆς περὶ τὰ ἀφροδίσια ποιότητος: ἀφελὲ τῆς ἔξω φιλοτιμίας, τίς λοιπὸν χρεία πλούτου ἀργοῦ, εἰς μηδὲν ἡμῖν χρησιμεύοντος, ἀλλὰ μόνον βαρήσοντος. ὡς τὸ πεπληρῶσθαι γίγνεται καὶ ἡ ἐκ τοῦ τοιούτου κόρου ἡδονὴ ἀκραιφνής. δεῖ δὲ καὶ τὸ σῶμα ἀπεθίζειν ὡς οἷόν τε, τῆς τοῦ κόρου ἡδονῆς: οὐ τῆς κατὰ τὴν πενίαν πλησμονῆς. καὶ γεύσασθαι, ἵνα   διὰ πάντων διέλθῃ. καὶ ὅρον θεῖναι, τὸ ἀναγκαῖον ἢ τὸ ἄριστον: οὕτω γὰρ καὶ τούτῳ εἰληφέναι τὸ ἐνδεχόμενον ἀγαθὸν ἐνέσται, διὰ τῆς αὐταρκείας καὶ ὁμοιώσεως τοῦ θεοῦ. οὕτως οὐδ᾽ αὐτὸ ἐπὶ πλέον ποθήσει. οὐδὲ τὸν χρόνον, ὡς προσθήσοντα αὐτῷ μεῖζον ἀγαθόν, οὕτως δ᾽ αὖ ἀληθινῶς πλουτήσει, τῷ φυσικῷ ὅρῳ τὸν πλοῦτον μετρῶν, οὐ δόξαις κεναῖς. οὕτως οὐκ ἐπ᾽ ἐλπίσι κρεμήσεται μεγίστης ἡδονῆς, πίστιν οὐκ ἐχούσης τοῦ γενέσθαι: θορυβώδης γὰρ αὕτη. ἀλλ᾽ ἐν αὐταρκείᾳ τοῦ παρόντος καὶ γεγονότος ἤδη μενεῖ. οὐ γὰρ ἀγωνιάσει, μὴ τὸν πλείονα χρόνον παραμένειν. πρὸς δὲ τούτοις, πῶς οὐκ ἄτοπον τὸν δεσμώτην, τὸν μὲν κακοπαθοῦντα ἢ ἐν ἀπορίᾳ ὄντα ἰσχυρᾷ τῶν ἔξωθεν: ἢ ἐν δεσμοῖς εἰλημμένον, οὐδ᾽ ἔννοιαν ἔχειν τροφῆς: οὐδὲ πόθεν πορισθήσεται φροντίζειν, ἀλλὰ καὶ παρατιθεμένης, παραιτεῖσθαι τὴν ἀναγκαίαν. τὸν δὲ ὄντως δεσμώτην, κατατεινόμενον τοῖς ἔνδον κακοπαθείαις, ζητεῖν ἐδεσμάτων παρασκευὴν ποικιλίας: φροντίζειν δι᾽ ὧν τὸν δεσμὸν παχυνεῖ. καὶ πῶς ταῦτα ἀνδρῶν ἐγνωκότων ἃ πεπόνθασιν: οὐχὶ φιληδονούντων, οἷς πεπόνθασι, καὶ ἐν οἷς εἰσίν, οὐκ εἰδότων: οἷς ἀντίστροφον τὸ πάθος, ἢ τοῖς εἰδόσι δεσμώταις τὴν ἑαυτῶν συμφορὰν γίγνεσθαι. τῷ γὰρ ὑπάρχοντι βίῳ ἀχαριστοῦντες καὶ ταραχῆς ἀπλάτου γέμοντες, τοῦ ἀπόντος εἰς πλήρωσιν ἐφίενται: οὐδεὶς γὰρ ἀπὸ τοῦ πάντα αὐτῷ εὔλυτα εἶναι τὰ κατὰ τοὺς θορύβους, ἔρχεται ἐπὶ τραπεζῶν καὶ κλινῶν ἀργυρῶν ὀρέξεις καὶ μύρων, καὶ μαγείρων, καὶ σκευῶν, καὶ ἐσθήτων, καὶ δείπνων ἐπὶ πᾶν πλῆθος, καὶ ποικιλίας, καὶ πολυτελείας ἀνθρώπων ἡκόντων, ἀλλ᾽ ἀπὸ ἀχρηστίας παντὶ τῷ ὑπάρχοντι βίῳ καὶ ἀγαθῶν ἀορίστου γενέσεως, καὶ ταραχῆς ἀπλάτου. ὥσθ᾽ οἱ μὲν οὐ μέμνηνται τὸ παρὸν ἀποκρύειν: οἱ δὲ τὸ μὴ παρὸν ζητοῦσι, τῷ ἀχαριστεῖν τῷ παρόντι: ἑκάτερος δὲ ὁ θεωρητικὸς τοῦ λιτοῦ τῆς διαίτης ἀνθέξεται: καὶ γὰρ οἶδεν ἐν οἷς ἐστὶ δεσμός. ὥστε πολυτελείας ὀρέγεσθαι οὐ δύναται: καὶ τὸ λιτὸν ἀγαπῶν, οὐ ζητήσει ἐμψύχων βρώσεις, ὡς οὐκ ἀρκούμενος τῇ τῶν ἀψύχων. εἰ δὲ καὶ μὴ τοιαύτη ἦν ἡ τοῦ σώματος φύσις ἐπὶ τοῦ φιλοσόφου καὶ οὕτως εὐάγωγος καὶ διὰ τῶν τυχόντων εὐΐατος: ἔδει δὲ καὶ ἀλγηδόνας ὑπομένειν ἕνεκα τῆς ἀληθινῆς σωτηρίας, ἆρ᾽ οὐκ ἂν ὑπεμείναμεν; οὐ γὰρ δὴ νοσήματος στέρεσθαι δεῖ, ὅπου σπουδάζοντες πολλὰ ὑπομένομεν, τεμνόμενοι, φοινισσόμενοι, καιόμενοι, πικρὰ φάρμακα πίνοντες, καθαιρόμενοι διὰ γαστρός, δι᾽ ἐμέτων, διὰ ῥινῶν: μισθούς τε προσαναλίσκοντες τοῖς ταῦθ᾽ ἡμᾶς διαπιθεῖσιν, οὐχὶ δὲ τοῦ ἔνδον χάριν νοσήματος ὡς ἂν τὸν ὑπὲρ ἀθανασίας ἀγῶνα ἀθλοῦντας καὶ θείας συνουσίας, ἀν κωλυόμεθα διὰ

Epicuri dictum de dilectu ciborum

allude ad dictum Socratis quod est in 5 Tusculanarum.

τὴν τοῦ σώματος ζωὴν σώσειν, πάνθ' ὑπομενοῦμεν εὐλόγως· εἰ καὶ μετ' ἀλγηδόνων ποιεῖσθαι τὰς ὑπομονὰς ἐχρῆν, καὶ οὐδέποτε τοῖς νόμοις τοῦ σώματος ἕπεσθαι βιαίοις οὖσι, καὶ ἀντικειμένοις τοῖς τοῦ νοῦ νόμοις καὶ ταῖς ὁδοῖς ταῖς σωτηρίοις ὑπομειόμεθα· ὅπου δὲ νῦν οὐδὲ περὶ ἀλγηδόνων ὑπομονῆς φιλοσοφοῦμεν, ἀλλὰ περὶ ἡδονῶν οὐκ ἀναγκαίων ἀποβολῆς. τίς λοιπὸν ἀπολογία τοῖς ἀπαναισχυντεῖν πρὸς τὴν αὐτῶν ἀκρασίαν βουλομένοις. εἰ γὰρ δεῖ μηδὲν ὑποστειλάμενον, μετὰ παρρησίας εἰπεῖν, οὐκ ἔστιν ἄλλως τυχεῖν τοῦ τέλους, μὴ προσηλωθέντα μὲν, εἰ χρὴ φάναι, τῷ θεῷ· ἀφηλωθέντα δὲ ἐκ σώματος, καὶ τῶν δὲ τούτων τῆς ψυχῆς ἡδυπαθειῶν· δι' ἔργων ἡμῖν τῆς σωτηρίας, οὐ δι' ἀκροάσεως λόγων ψιλῆς γινομένης. θεῷ δὲ, οὐδὲ τῷ μερικῷ τινι, οὐχ ὅτι τῷ ἐπὶ πᾶσιν καὶ ὑπὲρ τὴν ἀσώματον φύσιν ἁπλῶς, μεθ' ὁποιασοῦν διαίτης καὶ ὅλως κρεοφαγίας ἐν ἡμῖν οἰκειοῦσθαι. ἀλλ' ἁγνείαις παντοίαις, καὶ ψυχῆς, καὶ σώματος μόλις καταξιοῦσθαι τῆς ἐκείνου ἐποψίας· φύντι δὲ καλῶς, καὶ ζῶντι ὁσίως καὶ καθαρῶς. ὥστ' ὅσῳ ὁ πάντων πατὴρ ἁπλούστερος, καὶ καθαρώτερος, καὶ αὐταρκέστατος, ἅτε πόρρω ὑλικῆς ἐμφάσεως ἱδρυμένος, τοσῷδε τὸν προσιόντα αὐτῷ παντοίως καθαρόν τε καὶ ἁγνὸν εἶναι προσήκει, ἀρξάμενον ἀπὸ τοῦ σώματος, καὶ τελευτῶντα εἰς τὸ ἔσω καθ' ἕκαστον τῶν μερῶν. ἢ ὅλως τῶν προσόντων, τὴν κατὰ φύσιν ἑκάστῳ ἁγνείαν ἀπονέμοντα. ἀλλ' ἴσως πρὸς μὲν ταῦτα, οὐδεὶς ἂν ἀντείποι· ἀπορήσειε δ' ἂν πῶς ἐν ἁγνείᾳ τιθέμεθα τὴν ἀποχήν· καίτοι ἐν ταῖς θυσίαις μηλοσφαγοῦντές τε καὶ βουθυτοῦντες· ἁγνόν τε ταύτην νομίζοντες τὴν ἱερουργίαν καὶ θεοῖς κεχαρισμένην. διὸ μακροῦ δεομένων λόγου πρὸς τὴν τούτου διάλυσιν, ἀπ' ἄλλης ἀρχῆς τὰ περὶ τῶν θυσιῶν διαληπτέον.

Τέλος τοῦ α'.

ΠΟΡΦΥΡΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΕΡΙ ἈΠΟΧΗΣ ἘΜΨΥΧΩΝ ΒΙΒΛΙΟΝ. Β′.

ΤΩ͂Ν περὶ λιτότητος καὶ ἁγνείας ἐντεμάτων ἐχόμενοι, εἰς τὸν περὶ τῶν θυσιῶν ὦ Καστρίκιε λόγον ἀφικόμεθα. δυσδιαίτητόν τε ὁμοῦ καὶ πολλῆς ἐξηγήσεως δεόμενον. εἰ μέλλοιμεν ἀληθῶς τε ἅμα καὶ τοῖς θεοῖς εὐαρέστως τὴν περὶ αὐτοῦ κρίσιν διαθήσειν. διὸ εἰς ἴδιον σκέμμα τὸν τόπον ἀποβαλλόμενοι, νῦν τὰ φαινόμενα ἡμῖν καὶ ὅσα δυνατὸν ἐξαγορεύειν, ἐροῦμεν. τὸ παρορώμενον πρότερον εἰς τὴν ἐξ ἀρχῆς προκειμένην ὑπόθεσιν, εὐθύναντες. πρῶτον μὲν γὰρ οὔ φαμεν εἶναι ἀκόλουθον τῷ ἀναιρεῖν τὰ ζῶα, τὸ δεῖν ἐξ ἀνάγκης αὐτὰ καὶ ἐσθίειν, οὐδ' ὁ τὸ ἕτερον διδοὺς, λέγω δὲ τὸ σφάττειν, τίθησι πάντως καὶ τὸ ἐσθίειν. αὐτίκα πολεμίους μὲν ἐπιόντας οἱ νόμοι ἀμύνεσθαι συγχωροῦσιν, ἐσθίειν δ' αὐτοὺς, οὐκ ἔτ' εἶναι κατ' ἄνθρωπον δέδονται. δεύτερον, οὐκ εἰ δαίμοσιν, ἢ θεοῖς, ἤ τισι δυνάμεσιν θῦσαί τι τῶν ἐμψύχων προσῆκεν διά τινας αἰτίας: εἴτε γνωστὰς, εἴτε καὶ ἀγνώστους ἀνθρώποις, διὰ τοῦτο καὶ θοινᾶσθαι ἐξ ἀνάγκης δεῖται τὰ ζῶα. δειχθήσεται γὰρ ἄνθρωπος παραλαμβανόμενος ἐν θύμασι καὶ ζῶα, ὧν οὐκ ἄν τις, οὐδὲ τῶν εἰωθότων σαρκοφαγεῖν ἀνθρώπων, ὑπομείνειεν ἂν γεύεσθαι. καὶ μὴν ὑπὸ τοῦ φονεύειν ζῶα, τὸ αὐτὸ παρορᾶται πλημμέλημα: οὐ γὰρ εἴ τινα δεῖ, καὶ πάντα. ὡς οὐδ' εἰ τὰ ἄλογα ζῶα, πάντως καὶ ἀνθρώπους. ἔτι ἀποχὴ τῶν ἐμψύχων, καθάπερ κἀν τῷ πρώτῳ ἐλέγομεν, οὐχ ἁπλῶς πᾶσιν ἀνθρώποις παραγγέλλεται: ἀλλὰ τοῖς φιλοσόφοις. καὶ τούτων μᾶλλον, τοῖς ἐκ τοῦ θεοῦ καὶ τῆς τούτου μιμήσεως, τὴν σφῶν εὐδαιμονίαν ἀνάψασιν. οὐδὲ γὰρ ἐν τῷ πόλεως βίῳ τὰ αὐτὰ οἱ νομοθέται τοῖς τε ἰδιώταις καὶ τοῖς ἱερεῦσιν ἀφωρίσαντο πρακτέα: ἀλλ' ἔστιν ἐν οἷς συγχωρήσαντες τοῖς πολλοῖς τὰ κατὰ τὴν τροφὴν καὶ τὸν ἄλλον βίον, τοὺς ἱερέας χρῆσθαι τοῖς αὐτοῖς ἐκώλυσαν, θάνατον ἢ ζημίας μεγάλας θέντες τὰ ἐπιτίμια: μὴ συγχεομένων γὰρ τούτων, ἀλλ' ὃν προσήκει τρόπον διακρινομένων, τὰ πλεῖστα τῶν ἀντιλεγομένων εὑρίσκεται μάταια: τὰ γὰρ πλεῖστα, ἢ ὅτι φονεύειν δεῖ διὰ τὰς βλάβας τὰς ἀπ' αὐτῶν μηνύεται, καὶ τὸ ὅτι ἐσθίειν ὡς ἀκόλουθον λαμβάνει: ἢ ὅτι ἐν ταῖς θυσίαις καὶ ζῶα παρειλήφθη, συλλογίζεται ὡς καὶ ἀνθρώποις ἄρα βρωτέον ταῦτα. καὶ πάλιν εἴ τινα διὰ τὸ ἄγριον ἀναιρετέον, ἀξιοῦσιν ὡς ἀκόλουθον, τὸ δεῖν φονεύειν καὶ τὰ ἥμερα, καὶ εἴ τισι βρωτέον. οἷον ἀθληταῖς καὶ στρατιώταις καὶ τοῖς διὰ σώματος τὴν ἐργασίαν ποιουμένοις, ὅτι καὶ φιλοσόφοις. καὶ εἴ τισι τούτων, καὶ πᾶσι: πασῶν τῶν ἀκολουθιῶν τούτων, μοχθηρῶν τε οὐσῶν καὶ οὐδεμίαν ἀνάγκην τῆς θέσεως παραστῆσαι δυναμένων. καὶ ὅτι μὲν πᾶσαι μοχθηραὶ ἐναργῶς αὐτόθεν τοῖς μὴ ἐριστικοῖς προσπίπτει. ἡμεῖς μέντοι τὰς μὲν, ἤδη εὐθύναντες. τὰς δὲ προϊόντος τοῦ λόγου ἐλέγξειν μέλλοντες, νῦν τὸ περὶ τῶν θυσιῶν σκέμμα διευκρινήσομεν. τάς τε ἀρχὰς ὅθεν γεγόνασιν, ἀφηγούμενοι. καὶ τίνες, καὶ ποῖαι ἦσαν αἱ πρῶται. πῶς μετέβαλλον καὶ πόθεν καὶ εἰ πάντα θυτέον τῷ φιλοσόφῳ. τίσιν τε αἱ θυσίαι αἱ διὰ τῶν ζώων γίγνονται καὶ ὅλως πᾶν τὸ παρακείμενον, τὰ μὲν, αὐτοὶ ἐφευρίσκοντες: τὰ δὲ, παρὰ τῶν παλαιῶν λαμβάνοντες, ἀναγράψομεν. τοῦ συμμέτρου καὶ οἰκείου τῇ ὑποθέσει στοχαζόμενοι κατὰ δύναμιν. ἔχει δὲ οὕτως. Ἀνάριθμος

μέν τι σέοικεν τῶν χρόνος, ἀφ' οὗ τό γε πάντων λογιώτατον γένος ὥς φησι Θεόφραστος, καὶ
τὴν ἱερωτάτην ἀπὸ τοῦ νείλου κτισθεῖσαν χώραν κατοικοῦν, ἤρξατο πρῶτον ἀφ' ἑστίας,
τοῖς οὐρανίοις θεοῖς θύειν· οὐ σμύρνης, οὐδὲ κασσίας, καὶ λιβανωτοῦ κρόκῳ μιχθέντων
ἀπαρχάς· πολλαῖς γὰρ γενεαῖς ὕστερα παρελήφθη καὶ ταῦτα· πλάνης κλιμακτῆρ, ὅτε
ἄνθρωπος γιγνόμενος τῆς ἀναγκαίας ζωῆς, μετὰ πολλῶν πόνων καὶ δακρύων, σταγόνας
τούτων ἀπήρξατο τοῖς θεοῖς. οὐ τούτων ἔθυεν πρότερον, ἀλλὰ χλόης. οἷον εἴ τινα τῆς γο-
νίμου φύσεως χνοῦν ταῖς χερσὶν ἀράμενοι. δένδρα μὲν γὰρ δὴ πρὸ ζώων ἀνέδωκεν ἡ γῆ. τῶν
δένδρων δὲ πολὺ πρόσθεν τὴν ἐπέτειον γεννωμένην πόαν, ἧς δρεπόμενοι φύλλα καὶ ῥίζας
καὶ τοὺς ὅλους τῆς φύσεως αὐτῶν βλαστούς, κατέκαιεν· ταύτῃ τοὺς φαινομένους οὐρανί-
ους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι καὶ διὰ τοῦ πυρὸς ἀπαθανατίζοντες αὐτοῖς τὰς τι-
μάς· τούτοις γὰρ καὶ τὸ πῦρ ἀθάνατον φυλάττομεν ἐν τοῖς ἱεροῖς, ὃν μάλιστα αὐτοῖς
ὁμοιότατον. ἐκ δὲ τῆς θυμιάσεως τῶν ἀπὸ γῆς, θυμιατήριά τε ἐκάλουν καὶ τὸ θύειν καὶ
θυσίας, ἃ δὴ ἡμεῖς ὡς τὴν ὑστέραν πλημμέλειαν ἐκβαίνοντα, οὐκ ὀρθῶς ἐξακούομεν, τὴν
διὰ τῶν ζώων δοκοῦσαν θεραπείαν, καλοῦντες θυσίαν. τοσοῦτον δὲ τοῖς παλαιοῖς τοῦ μὴ
παραβαίνειν τὸ ἔθος ἔμελεν, ὡς κατὰ τῶν ἐκλιπόντων τὸ ἀρχαῖον· ἐπεισαγαγόντων δὲ
ἕτερον, ἀρασομένοις, ἀρώματα τὰ θυμιώμενα νῦν, προσαγορεῦσαι. τὴν δὲ ἀρχαιότητα, τῶν
εἰρημένων θυμιαμάτων κατίδοι τις ἂν ἐπιβλέψας, ὅτι πολλοὶ καὶ νῦν ἔτι θύουσι συγκεκομμέ-
να τῆς εὐώδων ξύλων τινά. ὅθεν μετὰ τῆς ἐξ ἀρχῆς πόας δενδροφυούσης ἤδη τῆς γῆς, καὶ πρώ-
της δρυὸς καρποφαγήσαντες. τῆς μὲν τροφῆς δὴ τὴν σπάνιν, μικρά· τῶν δὲ φύλλων αὐτοῖς
πλείω τοῖς θεοῖς εἰς τὰς θυσίας ἀνῆπτον. μετὰ δὲ ταῦτα ὁ βίος ἐπὶ τὴν ἥμερον ἤδη τροφὴν με-
ταβαίνων. καὶ θύματα ἐκ τῶν καρύων, ἅλις δρυὸς ἔφη· τοῦ δὲ δημητρείου καρποῦ μετὰ
τὸν χέδροπα, πρώτου φανέντος κριθῶν, ταύταις ἀπ' ἀρχῆς μὲν οὐλοχυτεῖτο κατὰ
τὰς πρώτας θυσίας, τὸ τῶν ἀνθρώπων γένος· ὕστερον δὲ ἐρειξαμένων τε αὐτὰς καὶ τὴν
τροφὴν ψαισαμένων, τὰ μὲν τῆς ἐργασίας ὄργανα, θεῖα τοῖς βίοις ἐπικουρίαν παρασχόν-
τα. κρύψαντες εἰς ἀπόρρητον ὡς ἱερὰ αὐτοῖς ἀπηντῶν. τοῦ δ' ἀληλεσμένου βίου
παρὰ τὸ πρόσθεν μακαρισθέντος, ἀπήρξαντό τε τῆς ψαισθείσης τροφῆς πρῶτον εἰς πῦρ
τοῖς θεοῖς. ὅθεν ἔτι καὶ νῦν πρὸς τῷ τέλει τῶν θυηλῶν, τοῖς ὀψαισθεῖσι θυλήμασι χρώμε-
θα. μαρτυροῦντες μὲν τῷ πραττομένῳ, τὴν ἐξ ἀρχῆς τῶν θυμαμάτων αὔξησιν· οὐ-
συνορῶντες δὲ τίνων χάριν τούτων ἕκαστα δρῶμεν· ἀφ' ὧν ὁρμωμένοις ἡμῖν καὶ τῶν
καρπῶν, ἀλλὰ καὶ τῶν πυρῶν ἀφθονωτέρων γιγνομένων, προσετίθεντο πλειόνων ἤδη
καὶ τῶν λοιπῶν ἀπ' αὐτῶν ἀπαρχαὶ τοῖς θεοῖς εἰς τὰς θυσίας· πολλαὶ μὲν ἀνθολογουμέ-
νων· οὐκ ἐλάττω δὲ τούτων μιγνυμένων τότε, ἅ τι καλὸν ἔχον ἐν βίῳ καὶ πρέπον ὀσμῇ
πρὸς θείαν αἴσθησιν. καὶ τὰ μέν, στέφοντες· τὰ δ', εἰς πῦρ δωρούμενοι θείας, ἑτέρας.
σταγόνας οἴνου καὶ μέλιτος· ἔτι δ' ἐλαίου ταῖς χρείαις ἀνευρίσκοντες ἀπήρχοντο, καὶ
τούτων τοῖς αἰτίοις θεοῖς. οἷς μαρτυρεῖν ἔοικεν καὶ ἡ ἀθήνησιν ἔτι καὶ νῦν δρωμένη πομ-
πή, Ἡλίου τε καὶ Ὡρῶν· πομπεύει γὰρ ἐλυσπόα ἄγρωστις ἐπὶ πυρήνων ἡ γηριᾶς, ὄ-
σπρια, δρῦς, μιμαίκυλα, κριθαί, πυροί, παλάθη, ἡγητήρια, ἀλεύρων πυρίνων καὶ κριθί-
νων, φθόις ὀρθοστάτους χύτρος. πόρρω δὲ τῶν περὶ τὰς θυσίας ἀπαρχῶν τοῖς ἀνθρώποις
προεχουσῶν παρανομίας, ἡ τῶν δεινοτάτων θυμάτων παράληψις ἐπεισήχθη. ὡμότη-
τος πλήρης, ὡς δοκεῖν τὰς πρόσθε λεχθείσας καθ' ἡμῶν ἀρὰς, νῦν τέλος εἰληφέναι· σφα-
ξάντων τῶν ἀνθρώπων καὶ τοὺς βωμοὺς αἱμαξάντων. ἀφ' οὗ λιμῶν τε καὶ πολέμων
πειραθέντες, αἱμάτων ἥψαντο. τοιγαροῦν τὸ δαιμόνιον ὥς φησιν ὁ Θεόφραστος τού-
των ἑκατέρων νεμεσῆσαν, ἐπιθεῖναι τὴν πρέπουσαν ἔοικε τιμωρίαν. καθὸ οἱ μὲν ἄθεοι
γεγόνασι τῶν ἀνθρώπων· οἱ δὲ κακόφρονες μᾶλλον ἢ κακόθεοι λεχθέντες ἂν ἐν δίκῃ, διὰ τὸ
φαύλους καὶ μηδὲν ἡμῶν βελτίους ἡγεῖσθαι τὴν φύσιν εἶναι τοὺς θεούς. οὕτως οἱ μὲν ἄ-
θυτοι φαίνονται γενέσθαι τινές. οὐδεμίαν ἀπαρχὴν τῶν ὑπαρχόντων ποιούμενοι τοῖς
θεοῖς. οἱ δὲ κακόθυτοι καὶ παρανόμων ἁψάμενοι θυμάτων· διὸ Θῷες μέν, οἱ ἐν μεθορί-
οις θρᾴκης οἰκήσαντες, μηδενὸς ἀπαρχόμενοι, μηδὲ θύοντες, ἀνάρπαστοι κατ' ἐκεῖνον
ἐγένοντο τὸν χρόνον ἐξ ἀνθρώπων. καὶ οὔτε τοὺς οἰκοῦντας, οὔτε τὴν πόλιν, ἔτι τὸν τῶν

» οἰκίσταν θεμίλιον, ἐξαίφνης οὐδ' ἀσεβεῖν ἐδύνατο· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐθέλε-
» σκον ἴσχειν. οὐδ' ἀθανάτους θεραπεύειν ἤθελον. οὐδὲ ῥέζειν μακάρων ἱεροῖς ἐπὶ βω-
» μοῖς. ἡ θέμις ἀθανάτοις. τοιγαροῦν αὐτοὺς Ζεὺς κρονίδης ἔκρυψε χολούμενος οὕνεκα
τιμὰς οὐκ ἐδίδουν μακάρεσσιν: οὐδ' ἀπείχοντο τούτοις καθάπερ ἦν δίκαιον. Ταυ-
ρων δὲ δὴ τὴν τὸ πάλαι τὰς ταύρων θυσίας οὐ μόνον ζηλωσάντων, ἀλλὰ καὶ τὴν
τῶν ἀνθρωποθυσιῶν βακχείᾳ βορὰν τούτοις προσθεμένων καθάπερ ἡμεῖς νῦν, τῶν τῶν
ζώων: ἀπαρξάμενοι γὰρ, τὰ λοιπὰ δαῖτα τιθέμεθα, τίς οὐκ ἀκήκοεν, ὅτι μετὰ
μανίας προσπίπτοντές τε καὶ δάκνοντες ἀλλήλους. ἔτι δὲ πρὸς ἀλήθειαν αἱμοσσον-
τες οὐκ ἐπαύσαντο πρὶν τὸ γένος ἐξαναλῶσαι, τῶν πρώτων παρ' αὐτοῖς τῆς τοι-
αύτης ἁψαμένων θυσίας. ὑστάτη μὲν τοίνυν καὶ νεωτάτη, ἡ διὰ τῶν ζώων θυσία. τὴν
δὲ αἰτίαν λαβοῦσα οὐκ εὐχάριστον: ὡς ἡ ἐκ τῶν καρπῶν, ἀλλὰ λιμοῦ, ἤ τινος ἄλλης δυ-
στυχίας περίστασιν: αὐτίκα τῶν κατὰ μέρος παρ' ἀθηναίοις ἀναιρέσεων αἱ αἰτίαι, ἢ ἀγνοίας,
ἢ ὀργὰς, ἢ φόβους τὰς ἀρχὰς ἔχουσιν: τὴν μὲν γὰρ τῶν συῶν σφαγὴν ἀκουσίῳ ἁμαρ-
τίᾳ Κλυμένης προσάπτουσιν. ἀπροαιρέτως μὲν, βαλούσης: ἀνελούσης δὲ, τὸ ζῶον.
Διὸ καὶ εὐλαβηθέντα αὐτῆς τὸν ἄνδρα, ὡς παρανόμου διαπεπραγμένης, πυθῶδε ἀφι-
κόμενον, χρῆσθαι τῷ τοῦ θεοῦ μαντείῳ. τοῦ δὲ θεοῦ τῷ συμβάντι ἐπιτρέψαντος, ἀδιά-
φορον λοιπὸν νομίσαι τὸ γιγνόμενον. ἐπισκόπῳ δὲ, ὃς ἦν ἔκγονος τῶν θεοπρεπῶν, βου-
ληθέντι προβάτων ἀπάρξασθαι, ἐπιτρέψαι μὲν φασὶ τὸ λόγιον: σὺν πολλῇ δ' εὐλα-
» βείᾳ: ἔχει γὰρ οὕτως. Οὔ σε θέμις κτείνειν οἰῶν γένος ἐστὶ βέβαιον. Ἐγγονε θεοπρό-
» πων: ὃ δ' ἑκούσιον ἂν κατανεύσῃ. Χέρνιβ' ἐπιθύειν: τὸ δ' ἐπίσκοπε φημὶ δικαίως.
Αἶγα δ' ἐν Ἰκάρῳ τῆς ἀττικῆς ἐχειρώσαντο πρῶτον ὅτι ἄμπελον ἀπέθρισεν. βοῦν δὲ
Δίομος ἔσφαξε πρῶτος, ἱερεὺς ὢν τοῦ πολιέως διὸς. ὅτι τῶν διιπολίων ἀγομένων καὶ
παρασκευασμένων κατὰ τὸ πάλαι ἔθος τῶν καρπῶν. ὁ βοῦς προσελθὼν ἀπεγεύσατο
τοῦ ἱεροῦ πελάνου: συνεργοὺς γὰρ λαβὼν τοὺς ἄλλους ὅσοι παρῆσαν, ἀπέκτεινε τοῦτον. καὶ
παρὰ μὲν ἀθηναίοις τοιαῦται κατὰ μέρος ἀποδίδονται αἰτίαι. ἄλλαι δὲ παρ' ἄλλοις
λέγονται. πλήρεις δὲ πᾶσαι οὐκ εὐαγῶν ἀποδόσεων. λιμὸν δὲ οἱ πλεῖστοι αἰτιῶνται,
καὶ τὴν ἐκ τούτου ἀδικίαν. διὸ γευσάμενοι τῶν ἐμψύχων, ἀπήρξαντο. καὶ τούτων
εἰωθότες τῆς τροφῆς ἀπέχεσθαι. ὅθεν οὐδὲ πρεσβύτερον τὸ θυσιῶν ὑπάρχον τῆς ἀναγ-
καίας τροφῆς ἐκ τούτου ἀφορίζει ἂν τοῖς ἀνθρώποις τὸ βρωτέον. ἑπόμενον δὲ οἷς ἐγεύ-
σαντο καὶ ἀπήρξαντο οὐκ ἀναγκαῖον προσιέσθαι ὡς εὐσεβὲς, οὐ μὴ εὐσεβῶς τοῖς θεοῖς
ἀπήρξαντο. μηνύει δὲ οὐχ ἥκιστα οὐκ ἐξ ἀδικίας πᾶν τὸ τοιοῦτο λαβεῖν τὴν ἀρχὴν, τὸ
μὴ ἐν παντὶ ἔθνει τὰ αὐτὰ, ἢ θύειν, ἢ ἐσθίειν. ἐκ δὲ τῆς χρείας τῆς πρὸς αὐτὸν στοχάζεσθαι τοῦ
καθήκοντος. Παρὰ γοῦν Αἰγυπτίοις καὶ Φοίνιξι θᾶττον ἄν τις ἀνθρωπείων κρεῶν γεύ-
σαιτο ἢ θηλείας βοός. αἴτιον δὲ ὅτι χρήσιμον τὸ ζῶον ὂν τοῦτο, ἐσπάνιζε παρ' αὐτοῖς: διὸ
ταύρων μὲν καὶ ἐγεύσαντο καὶ ἀπήρξαντο. τῶν δὲ θηλειῶν φειδόμενοι τῆς γονῆς ἕνεκα,
ἐν μύσει τὸ ἅψασθαι ἐνομοθέτησαν. καίτοι γε τῆς χρείας ἐφ' ἑνὸς καὶ ταυτοῦ γένους
τῶν βοῶν τό τε εὐσεβὲς καὶ τὸ ἀσεβὲς διώρισεν. ὧν δὴ τοῦτον ἐχόντων τὸν τρόπον, εἰκό-
τως ὁ Θεόφραστος ἀπαγορεύει μὴ θύειν τὰ ἔμψυχα, τοὺς τῷ ὄντι εὐσεβεῖν ἐθέλοντας.
χρώμενος καὶ τοιαύταις ἄλλαις αἰτίαις. πρῶτον μὲν ὅτι ἐξ ἀνάγκης μείζονος ὡς φα-
μὲν, ἡμᾶς καταλαβούσης, κατήρξαντο αὐτῶν: λιμοὶ γὰρ αἴτιοι, καὶ πόλεμοι, οἳ καὶ
τοῦ γεύσασθαι ἀνάγκην ἐπήγαγον. ὄντων οὖν τῶν καρπῶν, τίς χρεία τῷ τῆς ἀνάγ-
κης χρῆσθαι θύματι. ἔπειτα τῶν εὐεργεσιῶν τὰς ἀμοιβὰς καὶ τὰς χάριτας, ἄλλοις μὲν
ἄλλας ἀποδοτέον κατὰ τὴν ἀξίαν τῆς εὐποιίας. τοῖς δὲ εἰς τὰ μέγιστα ἡμᾶς εὖ πεποιη-
κόσιν, τὰς μεγίστας καὶ ἀπὸ τῶν τιμιωτέρων. καὶ μάλιστα εἰ αὐτοὶ εἶεν τούτων παρόχοι:
κάλλιστα δὲ καὶ τιμιώτατα ὧν ἡμᾶς οἱ θεοὶ εὖ ποιοῦσιν, οἱ καρποί. διὰ γὰρ τούτων ἡμᾶς
σώζουσιν καὶ νομίμως ζῆν παρέχουσιν. ὥστε ἀπὸ τούτων αὐτοὺς τιμητέον. καὶ μὴν θύειν
δεῖ ἐκεῖνα ἃ θύοντες, οὐδένα πημανοῦμεν: οὐθὲν γὰρ ὡς τὸ θῦμα ἀβλαβὲς εἶναι χρὴ πᾶ-
σιν. εἰ δὲ λέγοι τις, ὅτι οὐχ ἧττον τῶν καρπῶν, καὶ τὰ ζῶα ἡμῖν ὁ θεὸς εἰς χρῆσιν δέ-
δωκεν, ἀλλ' ὅτι γε ἐπιθυομένων τῶν ζώων φέρει τινὰ βλάβην αὐτοῖς. ἅτε τῆς ψυχῆς νο-

σφιζομένων, οὐ θυτέον· ταῦτα γὰρ θυσία, ὁσία τίς ἐστι κατὰ τοὔνομα. ὅσιος δὲ οὐδείς, ὃς ἐκ τῶν ἀλλοτρίων ἀποδίδωσι χάριτας: κἂν καρποὺς λάβῃ, κἂν φυτά, μὴ ἐκ θέλοντος: πῶς γὰρ ὅσιον, ἀδικουμένων τῶν ἀφαιρεθέντων. εἰ δὲ οὐδὲ καρποὺς ὁ ἀφελόμενος ἄγων, ὁσίως θύει, τά γε τούτων τιμιώτερα παντελῶς οὐχ ὅσιον, ἀφαιρουμένους τινῶν, θύειν: τὸ γὰρ δεινὸν οὕτω γίγνεται μεῖζον: ψυχὴ δὲ πολλῷ τιμιώτερον τῶν ἐκ γῆς φυομένων, ἣν ἀφαιρεῖσθαι θύοντα τὰ ζῷα, οὐ προσῆκεν: ἀλλ᾽ ἴσως τις ἂν εἴποι ὅτι καὶ τῶν φυτῶν ἀφαιρούμεθά τι, ἢ οὐχ ὁμοία ἡ ἀφαίρεσις: οὐ γὰρ παρὰ ἀκόντων. καὶ γὰρ ἡμῶν ἐασάντων αὐτά, μεθίει τοὺς καρποὺς καὶ ἡ τῶν καρπῶν λῆψις, οὐ μετ᾽ ἀπωλείας αὐτῶν, καθάπερ ὅτε ἂν τὰ ζῷα τὴν ψυχὴν προῆται. καὶ τὴν παρὰ τῶν μελιττῶν δὲ τοῦ καρποῦ παράληψιν, ἐκ τῶν πόνων ἡμῶν γινομένην, κοινὴν ἔχειν προσήκει καὶ τὴν ὄνησιν: συνάγουσι γὰρ αἱ μέλιτται ἐκ τῶν φυτῶν τὸ μέλι: ἡμεῖς δὲ αὐτῶν ἐπιμελούμεθα. διὸ καὶ δεῖ οὕτω μερίζεσθαι ὡς μηδεμίαν αὐταῖς γίνεσθαι βλάβην. ὃ δ᾽ ἄχρηστον μὲν ἐκείναις: ἡμῖν δὲ χρήσιμον, εἴη ἂν μισθὸς ὁ παρ᾽ ἐκείνων. ἀφεκτέον ἄρα τῶν ζῴων ἐν ταῖς θυσίαις. καὶ γὰρ ἄλλως πάντα μὲν τῶν θεῶν ἐστιν: ἡμῶν δὲ δοκοῦσιν εἶναι οἱ καρποί: ἡμεῖς γὰρ καὶ σπείρομεν αὐτοὺς καὶ φυτεύομεν καὶ ταῖς ἄλλαις ἐπιμελείαις ἀνατρέφομεν. θυτέον οὖν ἐκ τῶν ἡμετέρων, οὐ τῶν ἀλλοτρίων: ἐπεὶ καὶ τὸ εὐδάπανον, καὶ τὸ εὐπόριστον, τοῦ δυσπορίστου ὁσιώτερον, καὶ θεοῖς κεχαρισμένον καὶ τὸ ἕτοιμον τοῖς θύουσι πρὸς συνεχῆ εὐσέβειαν ἐπίτιμον. τὸ τοίνυν μήθ᾽ ὅσιον, μήτ᾽ εὐδάπανον, οὐ πάνυ θυτέον, εἰ καὶ παρείη: ὅτι δ᾽ οὐ τῶν εὐπορίστων καὶ εὐδαπάνων τὰ ζῷα, θεωρητέον εἰς τὸ πολὺ τοῦ γένους ἡμῶν ὁρῶντας: οὐ γὰρ εἰ ἐπεί τινές εἰσι πολύρρηνοι καὶ πολύβουται τῶν ἀνθρώπων, τοῦτο σκεπτέον. πρῶτον μὲν ὅτι πολλὰ τῶν ἐθνῶν οὐ κέκτηται τῶν θυσίμων ζῴων οὐδέν. εἰ μή τις τῶν ἀτίμων λέγοι. δεύτερον δέ, ὅτι τῶν ἐν αὐταῖς ταῖς πόλεσιν οἰκούντων οἱ πλεῖστοι σπανίζουσι τούτων. εἰ δὲ καὶ τῶν ἡμέρων τις καρπῶν λέγοι σπανίζειν, ἀλλ᾽ οὐ τῶν γε λοιπῶν τῶν ἐκ γῆς φυομένων: οὐδ᾽ οὕτω χαλεπὸν τοὺς καρποὺς ὡς τὰ ζῷα πορίσασθαι. ῥᾴων ἄρ᾽ ὁ πόρος τῶν καρπῶν καὶ τῶν ἀπὸ γῆς, ἢ ὁ τῶν ζῴων. τὸ δ᾽ εὐδάπανον καὶ εὔπορον πρὸς συνεχῆ εὐσέβειαν συντελεῖ καὶ πρὸς τὴν ἁπάντων. καὶ μαρτυρεῖ γε ἡ πεῖρα, ὅτι χαίρουσι τούτῳ οἱ θεοὶ ἢ τῷ πολυδαπάνῳ: οὐ γὰρ ἄν ποτε τοῦ Θετταλοῦ ἐκείνου τοὺς χρυσόκερως βοῦς καὶ τὰς ἑκατόμβας τῷ Πυθίῳ προσάγοντος, μᾶλλον ἔφησεν ἡ Πυθία, τὸν Ἑρμιονέα κεχαρῆσθαι: θύσαντα τῶν ψαιστῶν ἐκ τοῦ πηριδίου τοῖς τρισὶ δακτύλοις: προσεπιβαλόντι δὲ δὴ τὸ ἐπὶ τούτοις τὰ λοιπὰ πάντα τοῦ πυρὸς ἐπὶ τὸν βωμόν. εἶτε πάλιν. ὅτι δὶς τὸ σῶμα ἀπέχθοιτο, τοῦτο δράσας, ἢ πρότερον ἦν κεχαρισμένος. οὕτω τὸ εὐδάπανον φίλον θεοῖς, καὶ μᾶλλον τὸ δαιμόνιον πρὸς τὸ τῶν θυόντων ἦθος, ἢ πρὸς τὸ τῶν θυομένων πλῆθος βλέπει. τὰ παραπλήσια δὲ καὶ Θεόπομπος ἱστόρηκεν εἰς Δελφοὺς ἀφικέσθαι ἄνδρα Μάγνητα ἐκ τῆς Ἀσίας φάμενος, πλούσιον σφόδρα: κεκτημένον συχνὰ βοσκήματα. τοῦτον δ᾽ εἰθίσθαι τοῖς θεοῖς καθ᾽ ἕκαστον ἐνιαυτὸν θυσίας ποιεῖσθαι πολλάς, καὶ μεγαλοπρεπεῖς: τὰ μὲν, δι᾽ εὐπορίαν τῶν ὑπαρχόντων: τὰ δὲ, δι᾽ εὐσέβειαν καὶ τὸ βούλεσθαι τοῖς θεοῖς ἀρέσκειν. οὕτω δὲ διακείμενον πρὸς τὸ δαιμόνιον ἐλθεῖν εἰς Δελφούς: πομπεύσαντα δὲ ἑκατόμβην τῷ θεῷ καὶ τιμήσαντα μεγαλοπρεπῶς τὸν Ἀπόλλωνα, παρελθεῖν εἰς τὸ μαντεῖον χρηστηριασόμενον: οἰόμενον δὲ κάλλιστα πάντων ἀνθρώπων θεραπεύειν τοὺς θεούς, ἔρεσθαι τὴν Πυθίαν, τὸν ἄριστα καὶ προθυμότατα τὸ δαιμόνιον γεραίροντα θεσπίσαι καὶ τὸν ποιοῦντα τὰς θυσίας προσφιλεστάτας: ὑπολαμβάνοντα δοθήσεσθαι αὐτῷ τὸ πρωτεῖον: τὴν δὲ ἱέρειαν ἀποκρίνασθαι. πάντων ἄριστα θεραπεύειν τοὺς θεοὺς Κλέαρχον, κατοικοῦντα ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας. τὸν δ᾽ ἐκπλαγέντα ἐκτόπως ἐπιθυμῆσαι τὸν ἄνθρωπον ἰδεῖν. καὶ ἐντυχόντα, μαθεῖν τίνα τρόπον τὰς θυσίας ἐπιτελεῖ. ἀφικόμενον οὖν ταχέως εἰς τὸ Μεθύδριον, πρῶτον μὲν καταφρονῆσαι, μικροῦ καὶ ταπεινοῦ ὄντος, τοῦ μεγέθους τοῦ χωρίου. ἡγούμενον οὐχ ὅπως ἄν τινα τῶν ἰδιωτῶν, ἀλλ᾽ οὐδ᾽ ἂν αὐτὴν τὴν πόλιν δύνασθαι μεγαλοπρεπέστερον αὐτοῦ, καὶ κάλλιον τιμῆσαι τοὺς θεούς. ὅμως δ᾽ οὖν συντυχόντα τῷ

ἀνδρὶ

ἀνδρὶ ἀξιῶσαι φράσαι αὐτῷ, ὅντινα τρόπον τοὺς θεοὺς τιμᾷ. τὸν δὲ Κλέαρχον φάναι ἐπιτελεῖν καὶ σπουδαίως θύειν ἐν τοῖς προσήκουσι χρόνοις κατὰ μῆνα ἕκαστον ταῖς νουμηνίαις. στεφανοῦντα καὶ φαιδρύνοντα τὸν ἑρμῆν καὶ τὴν ἑκάτην, καὶ τὰ λοιπὰ τῶν ἱερῶν. ἃ δὴ τοὺς προγόνους καταλιπεῖν καὶ τιμᾶν λιβανωτοῖς, καὶ ψαιστοῖς, καὶ ποπάνοις. κατ' ἐνιαυτὸν δὲ θυσίας δημοτελεῖς ποιεῖσθαι. παραλείποντα οὐδεμίαν ἑορτήν. ἐν αὐταῖς δὲ ταύταις θεραπεύειν τοὺς θεούς, οὐ βουθυτοῦντα, οὐδὲ ἱερεῖα κατακόπτοντα. ἀλλ' ὅ,τι ἂν παρατύχῃ, ἐπιθύοντα: σπουδάζειν μέντοι ἀπὸ πάντων τῶν περιγιγνομένων καρπῶν καὶ τῶν ὡραίων ἃ ἐκ τῆς γῆς λαμβάνεται, τοῖς θεοῖς τὰς ἀπαρχὰς ἀπονέμειν. καὶ τὰ μὲν, παρατιθέναι: τὰ δὲ, καθαγιάζειν αὐτοῖς. αὐτὸν δέ τι αὐταρκείᾳ προσκεχρῆσθαι τοῦ θῦσαι βοῦς προνοεῖσθαι. Παρ' ἐνίοις δ' ἱστόρηται τῶν συγγραφέων. τῶν τυράννων μετὰ τὸ κρατῆσαι Καρχηδονίων, ἑκατόμβας κατὰ πολλὴν ἔριν τὴν πρὸς ἀλλήλους, ἐκπρεπεῖς παραστησαμένων τῷ Ἀπόλλωνι, εἶτα πυνθανομένων αἷς ἥσθη μάλιστα, παρ' ἐλπίδα πᾶσαν αὐτὴν ἀποκρίνασθαι, διότι τοῖς Δοκίμου ψαιστοῖς: Δελφὸς δὲ ἦν οὗτος, σκληρὰ γεωργῶν πετρίδια: καὶ τιῶν δὲ ἀπὸ τοῦ χωρίου ἐκείνης τῆς ἡμέρας, ἐκ τῆς περικειμένης πήρας τῶν ἀλφίτων ὀλίγας δράκας ἐθυλήσατο, πλέον τέρψας τὸν θεὸν τῶν μεγαλοπρεπεῖς θυσίας συντελεσαμένων: ὅθεν καὶ τῶν ποιητῶν τις διὰ τὸ γνώριμον ἀποφαίνεσθαι ἔδοκει τὰ τοιαῦτα: ὡς Ἀντιφάνει ἐν μύστιδι λέγεται.

» Ταῖς δ' εὐτελείαις οἱ θεοὶ χαίρουσι γάρ. τεκμήριον δέ: ὅταν γὰρ ἑκατόμβας τινὲς θύωσιν, ἐπὶ τούτοις ἅπασιν, ὕστατος πάντων καὶ λιβανωτὸς ἐπετέθη. ὥστ' ἄλλα μὲν τὰ πολλὰ προσαναλούμενα. Δαπάνην ματαίαν οὖσαν αὐτῶν οὕνεκα. Τὸ δὲ μικρὸν αὐτὸ, τοῦτ' ἀρεστὸν τοῖς θεοῖς. Καὶ Μένανδρος δ' ἐν δυσκόλῳ φησίν. Ὁ λιβανωτὸς εὐσεβὴς καὶ τὸ πόπανον· Τοῦτ' ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ ἅπαν τεθέν.

Διὰ τοῦτο καὶ τοῖς κεραμίοις ἀγγείοις, καὶ τοῖς ξυλίνοις καὶ πλεκτοῖς ἐχρῶντο καὶ μᾶλλον πρὸς τὰς δημοτελεῖς ἱεροποιίας τοιούτοις χαίρειν πεπεισμένοι τὸ θεῖον. ὅθεν καὶ τὰ παλαιότατα ἤδη κεράμια, καὶ ξύλινα ὑπάρχοντα, μᾶλλον θεῖα νενόμισται διά τε τὴν ὕλην, καὶ τὴν ἀφέλειαν τῆς τέχνης. τὸν γοῦν Αἰσχύλον φασί. τῶν Δελφῶν ἀξιούντων εἰς τὸν θεὸν γράψαι παιᾶνα εἰπεῖν, ὅτι βέλτιστα Τυννίχῳ πεποίηται. παραβαλλόμενον δὲ τὸν αὐτοῦ πρὸς τὸν ἐκείνου, ταυτὸν πείσεσθαι τοῖς ἀγάλμασι τοῖς καινοῖς πρὸς τὰ ἀρχαῖα: ταῦτα γὰρ καίπερ ἁπλῶς πεποιημένα, θεῖα νομίζεσθαι: τὰ δὲ καινὰ, περιέργως εἰργασμένα, θαυμάζεσθαι μὲν: θεοῦ δὲ δόξαν ἧττον ἔχειν. καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν.

» Ὥς κε πόλις ῥέζῃσι: νόμος δ' ἀρχαῖος ἄριστος.

Οἱ δὲ τὰ περὶ τῶν ἱερουργιῶν γεγραφότες καὶ θυσιῶν, τὴν περὶ τὰ πόπανα ἀκρίβειαν φυλάττειν παραγγέλλουσιν ὡς ἀρεστὴν τοῖς θεοῖς ταύτην, ἢ δὴ τὴν τῶν ζώων θυσίαν. καὶ Σοφοκλῆς διαγράφων, τὴν θεοφιλῆ θυσίαν φησὶν ἐν τῷ Πολυΐδῳ.

» Ἦν μὲν γὰρ οἰὸς μαλλὸς, ἦν δ' ἀμπέλου. Σπονδή τε καὶ ῥὰξ εὖ τεθησαυρισμένη. Ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὀλαῖς. Λίπος τ' ἐλαίας καὶ τὸ ποικιλώτατον. Ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον.

Σεμνὰ δ' ἦν τῶν πρὶν ὑπομνήματα ἐν Δήλῳ ἐξ Ὑπερβορέων ἀμαλλοφόρων. Δεῖ τοίνυν κεκαθαρμένους τὸ ἦθος ἰέναι, θύσοντας τοῖς θεοῖς θεοφιλεῖς ταύτας θυσίας προσάγοντας, ἀλλὰ μὴ πολυτελεῖς. νῦν δὲ ἐσθῆτα μὲν λαμπρὰν περὶ σῶμα, μὴ καθαρῷ ἀμφιασαμένοις, οὐκ ἀρκεῖν νομίζουσι πρὸς τὸ τῶν θυσιῶν ἁγνόν: ὅταν δὲ τὸ σῶμα μετὰ τῆς ἐσθῆτος τινὲς λαμπρυνάμενοι, μὴ καθαρὰν κακῶν τὴν ψυχὴν ἔχοντες, ἴωσι πρὸς τὰς θυσίας, οὐδὲν διαφέρειν νομίζουσιν. ὡς περ οὐ τῷ θειοτάτῳ γε τῶν ἐν ἡμῖν χαίροντα μάλιστα τὸν θεὸν, διακειμένῳ καθαρῶς ἅτε συγγενεῖ πεφυκότι. ἐν γοῦν Ἐπιδαύρῳ προεγέγραπτο. Ἁγνὸν χρὴ ναοῖο θυώδεος

» ἐντὸς ἰόντα. Ἔμμεναι: ἁγνεία δ' ἐστὶ, φρονεῖν ὅσια. Ὅτι δὲ οὐ τῷ ὄγκῳ χαίρει ὁ θεὸς τῶν

θυσιῶν, ἀλλὰ τῷ τυχόντι, δηλοῖ ἐκ τοῦ τὴν καθ' ἡμέραν τροφῆς, κἂν ὁποία τις οὖν αὕ-
τη παρατεθῇ ταύτης πρὸ τῆς ἀπολαύσεως πάντας ἄρχεσθαι, μικρὸν μὲν, ἀλλὰ τῷ
μικρῷ τούτῳ παντὸς μᾶλλον μεγάλη τίς ἐστι τιμή. διὰ πολλῶν δὲ ὁ Θεόφραστος τῶν
παρ' ἑκάστοις πατρίων ἐπιδείξας ὅτι τὸ παλαιὸν τῶν θυσιῶν διὰ τῶν καρπῶν ἦν, ἔτ'
ἐπάνω πρότερον τῆς πόας λαμβανομένης καὶ τὰ τῶν σπονδῶν ἐξηγεῖται τοῦτον τὸν τρό-
πον: τὰ μὲν ἀρχαῖα τῶν ἱερῶν νηφάλια παρὰ πολλοῖς ἦν. νηφάλια δ' ἐστὶν τὰ ὑδρόσπον-
» δα. τὰ δὲ μετὰ ταῦτα μελίσπονδα· τοῦτον γὰρ ἕτοιμον παρὰ μελιττῶν πρῶτον ἐλάβομεν
» τὸν ὑγρὸν καρπόν. εἶτ' ἐλαιόσπονδα. τέλος δ' ἐπὶ πᾶσιν, τὰ ὕστερον γεγονότα, οἰνόσπονδα.
μαρτυρεῖται δὲ ταῦτα οὐ μόνον ὑπὸ τῶν ἐν κύρβεσιν στηλῶν: αἳ τῶν Κρήτηθεν ἐν κορυ-
βαντικῶν ἱερῶν εἶσιν ἀντίγραφα πρὸς ἀλήθειαν, ἀλλὰ καὶ παρ' Ἐμπεδοκλέους, ὃς πε-
» ρί τε τῶν θυμάτων καὶ περὶ τῆς θεογονίας διεξιὼν παρεμφαίνει λέγων. Οὐδέ τις ἦν
» κείνοισιν ἄρης θεὸς, οὐδὲ κυδοιμός. Οὐδὲ ζεὺς βασιλεὺς, οὐδ' ὁ κρόνος, οὐδ' ὁ ποσειδῶν.
» Ἀλλὰ κύπρις βασίλεια. ἥ ἐστιν ἡ φιλία. Τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο.
» Γραπτοῖς τε ζώοισι, μύροισί τε δαιδαλεόσμοις. Σμύρνης τ' ἀκράτου θυσίαις, λιβάνου τε
» θυώδους. Ξουθῶν τε σπονδὰς μελιτῶν ῥίπτοντες ἐς οὖδας. Ἅπερ καὶ νῦν ἔτι σώζε-
» ται παρ' ἐνίοις οἷον ἴχνη τινὰ τῆς ἀληθείας ὄντα. Ταύρων δ' ἀκρίτοισι φόνοις οὐ δεύετο
» βωμός. Τῆς γὰρ οἶμαι φιλίας καὶ τῆς περὶ τὸ συγγενὲς αἰσθήσεως πάντα κατεχού-
σης, οὐδεὶς οὐδὲν ἐφόνευεν, οἰκεῖα εἶναι νομίζων τὰ λοιπὰ τῶν ζώων. ἐπεὶ δὲ ἄρης, καὶ
κυδοιμὸς καὶ πᾶσα μάχη καὶ πολέμων ἀρχὴ κατέσχεν, τότε πρῶτον οὐδεὶς οὐδενὸς ὄν-
τως ἐφείδετο τῶν οἰκείων. Σκεπτέον δ' ἔτι καὶ ταῦτα. ὥσπερ γὰρ οἰκειότητος οὔσης ἡμῖν
πρὸς τοὺς ἀνθρώπους τοὺς κακοποιοὺς καὶ καθάπερ ὑπό τινος πνοῆς ἰδίας φύσεως καὶ
μοχθηρίας φερομένους πρὸς τὸ βλάπτειν τὸν ἐντυγχάνοντα, ἀναιρεῖν ἡγούμεθα δεῖν καὶ
κολάζειν ἅπαντας, οὕτως καὶ τῶν ἀλόγων ζώων τὰ ἄδικα τὴν φύσιν καὶ κακοποιά:
πρός τε τὸ βλάπτειν ὡρμημένα τῇ φύσει τοὺς ἐμπελάζοντας, ἀναιρεῖν ἴσως προσήκει: τὰ
δὲ μηθὲν ἀδικοῦντα τῶν λοιπῶν ζώων, μηδὲ τῇ φύσει πρὸς τὸ βλάπτειν ὡρμημένα, ἀναι-
ρεῖν τε καὶ φονεύειν ἄδικον δήπου. ὥσπερ καὶ τῶν ἀνθρώπων τοὺς τοιούτους. ὁ δὴ καὶ ἐμ-
φαίνειν ἔοικεν δίκαιον ἡμῖν μηδὲν εἶναι πρὸς τὰ λοιπὰ τῶν ζώων, διὰ τὸ βλαβερὰ ἄττα
τούτων εἶναι καὶ κακοποιὰ τὴν φύσιν. τὰ δὲ μὴ τοιαῦτα καθάπερ καὶ τῶν ἀνθρώπων
ἆρ' οὖν θυτέον τὰ ἄξια τοῦ σφάττεσθαι τοῖς θεοῖς. καὶ πῶς; εἴγε φαῦλα τὴν φύσιν ἐστίν. οὐδὲν
γὰρ μᾶλλον οὕτως ἢ τὰ ἀνάπηρα θυτέον. κακῶν δὲ οὕτως ἀπαρχὴν, καὶ οὐ τιμῆς ἕνεκα
τὰς θυσίας ποιησόμεθα. εἰ δ' ἄρα θυτέον τοῖς θεοῖς τὰ ζῶα, τὰ μηθὲν ἀδικοῦντα τούτων
ἡμᾶς θυτέον. οὐκ ἀναιρετέον δὲ ὡμολογημένων μηθὲν ἡμᾶς ἀδικοῦντα τῶν λοιπῶν ζώ-
ων, ὥστε οὐδὲ θυτέον αὐτὰ τοῖς θεοῖς. εἰ οὖν οὔτε ταῦτα θυτέον, οὔτε τὰ κακοποιά, πῶς
οὐ φανερὸν, ὅτι παντὸς μᾶλλον ἀφεκτέον καὶ οὐ θυτέον ἐστὶ τῶν λοιπῶν ζώων οὐδέν:
ἀναιρεῖν τε μέντοι τούτων ἔστ' ἅττα προσήκει. καὶ γὰρ ἄλλως, τριῶν ἕνεκα θυτέον
τοῖς θεοῖς: ἢ γὰρ διὰ τιμὴν, ἢ διὰ χάριν, ἢ διὰ χρείαν τῶν ἀγαθῶν. καθάπερ γὰρ τοῖς
ἀγαθοῖς ἀνδράσιν οὕτω κἀκείνοις ἡγούμεθα δεῖν ποιεῖσθαι τὰς ἀπαρχάς: τιμῶμεν
δὲ τοὺς θεοὺς, ἢ κακῶν μὲν ἀποτροπὴν, ἀγαθῶν δὲ παρασκευὴν ἡμῖν γενέσθαι ζη-
τοῦντες ἢ προπεπονθότες εὖ, ἢ ἵνα τύχωμεν ὠφελείας τινὸς ἢ κατὰ τὴν ψι-
λὴν τὴν τῆς ἀγαθῆς αὐτῶν ἕξεως, ἐκτίμησιν. ὥστε καὶ τῶν ζώων εἰ ἀπαρκτέον
αὐτὰ θεοῖς, τούτων τινὸς ἕνεκα θυτέον. καὶ γὰρ ἃ θύομεν, τούτων τινὸς ἕνεκα θύο-
μεν. ἆρ' οὖν τιμῆς ἡγήσαιτ' ἂν τυγχάνειν ἡμῶν ὁ θεὸς, ὅταν ἀδικοῦντες εὐθὺς διὰ τῆς
ἀπαρχῆς φαινόμεθα; ἢ μᾶλλον ἀτιμίαν οἰήσαιτ' ἂν τὸ τοιοῦτο δρᾶν διὰ τῆς ἀ-
παρχῆς; ἐν τῷ δέ γε θύειν ἀναιροῦντες τὰ μηδὲν ἀδικοῦντα τῶν ζώων, ἀδικεῖν
ὁμολογοῦμεν. ὥστε τιμῆς μὲν ἕνεκα θυτέον τῶν λοιπῶν ζώων οὐδέν: οὐ μὴν οὐ-
δὲ τῶν εὐεργεσιῶν χάριν αὐτοῖς ἀποδίδονται: ὁ γὰρ τὴν δικαίαν ἀμοιβὴν τῆς
εὐεργεσίας, καὶ τῆς εὐποιίας τὸ ἀντάξιον ἀποδιδοὺς, οὐκ ἐκ τοῦ κακῶς τινὰς
δρᾶν ὀφείλει ταῦτα παρέχειν: οὐδὲ γὰρ μᾶλλον ἀμείβεσθαι δόξειν, κἂν ἃ τὰ τοῦ

πέλας ἁρπάσας τις στεφανοίη τινάς. ὡς χάριν ἀποδιδοὺς καὶ τιμήν. Ἀλλ' οὐδὲ χρείας τινὸς ἕνεκα τῶν ἀγαθῶν. ὁ γὰρ ἀδίκως πράξει τὸ παθεῖν εὐεργεσίαν, ὑποπτεύσει, μηδὲ οὗ παθὼν χάριν ἕξει. ὥστ' οὐδ' ἐλπιζομένης εὐεργεσίας, θυτέον ἐστὶ τοῖς θεοῖς ζῷα. καὶ γὰρ δὴ τῶν μὲν ἀνθρώπων λάθοι τις ἂν ἴσως τινά, ἄδικα πράττων· τὸν δὲ θεὸν ἀμήχανον καὶ λαθεῖν. εἰ τοίνυν θυτέον τινὸς ἕνεκα, οὐδενὸς δὲ τούτων χάριν αὐτὸ πρακτέον, δῆλον ὡς οὐδὲ θυτέον ἐστὶ ζῷα· τοὺς γὰρ ἐκ τῶν θυμάτων ἀπολαύσεσι τὸ περὶ τούτων ἀληθὲς ὑπαλείφειν πειρώμενοι, λανθάνομεν ἡμᾶς αὐτούς· οὐ γὰρ δὴ τὸν θεόν. τῶν μὲν οὖν ἀτίμων ζῴων, ἃ μηδεμίαν εἰς τὸν βίον ἡμῖν παρέχεται χρείαν κρείττω, οὐδεμίαν ἀπόλαυσιν ἐχόντων, οὐθὲν θύομεν τοῖς θεοῖς· τίς γὰρ δὴ πώποτε ἔθυσεν ὄφεις καὶ σκορπίους καὶ πιθήκους, ἤ τι τῶν τοιούτων ζῴων· τῶν δὲ τοῖς βίοις ἡμῶν χρείαν τινὰ παρεχομένων, ἢ καί τιν' εἰς ἀπόλαυσιν ἐν αὐτοῖς ἐχόντων, οὐδενὸς ἀπεχόμεθα. σφάττοντες ὡς ἀληθῶς καὶ δέροντες ὑπὸ προστασίας τοῦ θεοῦ· βοῦς γὰρ καὶ πρόβατα· πρός τε τούτοις, ἐλάφους καὶ ὄρνιθας· αὐτοῖς τε τῆς καθαριότητος μὲν οὐδὲν κοινωνοῦντας· ἀπόλαυσιν δὲ ἡμῖν παρέχοντας, σιάλους σφάττομεν τοῖς θεοῖς. ὧν τὰ μέν, τοῖς βίοις ἡμῶν ἐπικουρεῖ συμπονοῦντα· τὰ δέ, εἰς τροφὴν ἤ τινας ἄλλας χρείας ἔχει βοήθειαν. τὰ δὲ οὐθὲν τούτων δρῶντα, διὰ τὴν ἐξ αὐτῶν ἀπόλαυσιν, ὁμοίως τοῖς ἔχουσι τὸ χρήσιμον ὑπὸ τῶν ἀνθρώπων ἀπόλλυται ταῖς θυσίαις· ἀλλ' οὐκ ὄνους, οὐδ' ἐλέφαντας, οὐδὲ ἄλλο τῶν συμπονούντων μέν· οὐκ ἐχόντων δὲ ἀπόλαυσιν θύομεν. καίτοι καὶ χωρίς γε τοῦ θύειν οὐκ ἀπεχόμεθα τῶν τοιούτων, σφάττοντες διὰ τὰς ἀπολαύσεις, καὶ θύομεν αὖ τῶν τῶν θυσίμων, οὐ τὰ τοῖς θεοῖς· πολὺ δὲ μᾶλλον τὰ ταῖς τῶν ἀνθρώπων ἐπιθυμίαις κεχαρισμένα. καταμαρτυροῦντος ἡμῶν τι αὐτῶν, ὅτι τῆς ἀπολαύσεως χάριν ἐμμένομεν τοῖς θεοῖς, οὐ τοῖς θύμασιν. καίτοι Σύρων μὲν Ἰουδαῖοι, διὰ τὴν ἐξ ἀρχῆς θυσίαν, ἔτι καὶ νῦν φησιν ὁ Θεόφραστος ζωοθυτοῦν· εἰ τὸν αὐτὸν ἡμᾶς κελεύοιεν θύειν, ἀποσταίημεν ἂν τῆς πράξεως· οὐ γὰρ ἑστιώμενοι τῶν τυθέντων, ὁλοκαυτοῦντες δὲ ταῦτα νυκτός, καὶ κατ' αὐτῶν πολὺ μέλι καὶ οἶνον λείβοντες, ἀνήλισκον τὴν θυσίαν θᾶττον, ἵνα τοῦ δεινοῦ μὴ ὁ πανόπτης γένοιτο θεατής. καὶ τοῦτο δρῶσι, νηστεύοντες τὰς ἀνὰ μέσον τούτων ἡμέρας· καὶ κατὰ πάντα τοῦτον τὸν χρόνον, ἅτε φιλόσοφοι τὸ γένος ὄντες, περὶ τοῦ θείου μὲν ἀλλήλοις λαλοῦσι· τῆς δὲ νυκτὸς τῶν ἄστρων ποιοῦνται τὴν θεωρίαν, βλέποντες εἰς αὐτὰ καὶ διὰ τῶν εὐχῶν θεοκλυτοῦντες. κατήρξαντο γὰρ οὗτοι πρῶτοι τῶν τε λοιπῶν ζῴων, καὶ σφῶν αὐτῶν· ἀνάγκῃ καὶ οὐκ ἐπιθυμίᾳ, τοῦτο πράξαντες. μάθοι δ' ἄν τις ἐπιβλέψας τοὺς λογιωτάτους πάντων Αἰγυπτίους· οἳ τοσοῦτον ἀπεῖχον τοῦ φονεύειν τι τῶν λοιπῶν ζῴων, ὥστε τὰς τούτων εἰκόνας, μιμήματα τῶν θεῶν ἐποιοῦντο. οὕτως οἰκεῖα καὶ συγγενῆ ταῦτα τοῖς θεοῖς ἐνόμιζον εἶναι καὶ τοῖς ἀνθρώποις· ἀπ' ἀρχῆς μὲν γάρ, αἱ τῶν καρπῶν ἐγίνοντο τοῖς θεοῖς θυσίαι. χρόνῳ δὲ τῆς ὁσιότητος ἡμῶν ἐξαμελησάντων. ἐπεὶ καὶ τῶν καρπῶν ἐσπάνιζον, καὶ διὰ τὴν τῆς νομίμου τροφῆς ἔνδειαν εἰς τὸ σαρκοφαγεῖν ἀλλήλων ὥρμησαν. τότε μετὰ πολλῶν λιτῶν ἱκετεύοντες τὸ δαιμόνιον, σφῶν αὐτῶν ἀπήρξαντο τοῖς θεοῖς πρῶτον. οὐ μόνον ὅ,τι κάλλιστον ἦν ἐν αὐτοῖς, καὶ τοῦτο τοῖς θεοῖς καθοσιοῦντες, ἀλλὰ καὶ πέρα τῶν καλλίστων προσεπιλαμβάνοντες τοῦ γένους· ἀφ' οὗ μέχρι τοῦ νῦν, οὐκ ἐν Ἀρκαδίᾳ μόνον τοῖς Λυκαίοις· οὐδ' ἐν Καρχηδόνι τῷ Κρόνῳ κοινῇ πάντες ἀνθρωποθυτοῦσιν, ἀλλὰ κατὰ περίοδον τῆς τοῦ νομίμου χάριν, μνήμης, ἔμφυλιον αἷμα ῥαίνουσι πρὸς τοὺς βωμούς, καίπερ τῆς παρ' αὐτοῖς θυσίας ἐξειργούσης τῶν ἱερῶν τοῖς περιρραντηρίοις κηρύγματι, εἴ τις αἵματος ἀνθρωπείου μεταίτιος. ἐντεῦθεν οὖν μεταβαινόντων, ὑπάλλαγμα πρὸς τὰς θυσίας τῶν ἰδίων ἐποιοῦντο σωμάτων, τὰ τῶν λοιπῶν ζῴων σώματα· καὶ πάλιν κόρῳ τῆς νομίμου τροφῆς, εἰς τὴν περὶ εὐσεβείας λήθην ἰόντων, ἐπιβαινόντων ἀπληστίας, οὐθὲν ἄγευστον, οὐδὲ ἄβρωτον περιλειπόντων. ὅπερ καὶ περὶ τὴν ἐκ τῶν καρπῶν τροφὴν, νῦν συμβαίνει περὶ πάντας. ὅταν γὰρ τῇ προσφορᾷ τὴν ἀναγκαίαν ἔνδειαν κουφίσωνται, ζητοῦντες τοῦ κόρου τὸ περιττόν, ἐκπονοῦσι πρὸς βρῶσιν. πολλὰ τῶν σωφροσύνης ἔξω κειμένων. ὅθεν ὡς οὐκ ἄτιμα ποιούμενοι τὰ τοῖς θεοῖς θύματα, γεύεσθαι τούτων προήχθησαν. καὶ διὰ τὴν ἀρχὴν τῆς πράξεως ταύτης πρεσβύ-

καὶ ἡ ζῳοφαγία γέγονεν τῇ ἀπὸ τῶν καρπῶν τροφῇ τοῖς ἀνθρώποις. καθάπερ δὲ τὸ παλαιὸν ἀπήρξαντό τε τοῖς θεοῖς τῶν καρπῶν καὶ τῶν ἀπαρχθέντων ἀπολαύσαντες μετὰ τὴν ὁσίαν ἐγεύσαντο, οὕτω τῶν ζῴων καταρξάμενοι, ταὐτὸν ἡγοῦντο δεῖν τοῦτο δρᾶν· καίπερ τὸ ἀρχαῖον οὐχ οὕτως τῆς ὁσίας ταῦτα βραβευούσης. ἀλλ' ἐκ τῶν καρπῶν ἕκαστον τῶν θείων τιμῶντες. τοῖς μὲν γὰρ ὅτε φύσις καὶ πᾶσα τῶν ἀνθρώπων ἡ τῆς ψυχῆς
» αἴσθησις, δρωμένοις συνηρέσκετο. Ταύρων δ' ἀκρίτοισι φόνοις, οὐ δεύετο βωμός. Ἀλλὰ
» μῦσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον. Θυμὸν ἀπορραίσαντας ἐέλμεναι ἠΐα γυῖα.
Θεωρῆσαι δ' ἔστιν ἐκ τοῦ περὶ Δῆλον ἔτι νῦν σωζομένου βωμοῦ· πρὸς ὃν οὐδενὸς προσαγομένου παρ' αὐτοῖς, οὐδὲ θυομένου ἐπ' αὐτοῦ ζῴου, εὐσεβῶν κέκληται βωμός. οὕτως οὐ μόνως ἀπείχοντο τῶν ζῴων θύοντες, ἀλλὰ καὶ τοῖς ἱδρυσαμένοις τοῦτον, ὁμοίως καὶ τοῖς χρωμένοις αὐτῷ, μετέδοσαν τῆς εὐσεβείας. διόπερ οἱ Πυθαγόρειοι τοῦτο παραδεξάμενοι, κατὰ μὲν τὸν πάντα βίον ἀπείχοντο τῆς ζῳοφαγίας. ὅτε δὲ εἰς ἀπαρχήν τι τῶν ζῴων ἀνθ' ἑαυτῶν μερίσαιεν τοῖς θεοῖς, τούτου γευσάμενοι μόνον, πρὸς ἀλήθειαν ἄθικτοι τῶν λοιπῶν ὄντες, ἔζων, ἀλλ' οὐχ ἡμεῖς· ἐμπιμπλάμενοι δέ, εἰς πολλὸν ἀφικόμεθα τῆς ἐν τούτοις παρὰ τὸν βίον παρανομίας. καὶ γὰρ οὔτε φόνῳ τοὺς τῶν θεῶν βωμοὺς χραίνειν δεῖ, οὔτε ἁπτέον τοῖς ἀνθρώποις τῆς τοιαύτης τροφῆς, ὡς οὐδὲ τῶν ἰδίων σωμάτων. ἀλλὰ ποιητέον παράγγελμα τῷ παντὶ βίῳ, τὸ ἐν Ἀθήναις ἔτι σωζόμενον· τὸ γὰρ παλαιόν, ὡς καὶ πρόσθεν ἐλέγομεν, καρποὺς τοῖς θεοῖς τῶν ἀνθρώπων θυόντων· ζῷα δέ, οὔ. οὔτε εἰς τὴν ἰδίαν τροφὴν καταχρωμένων, λέγεται κοινῆς θυσίας οὔσης Ἀθήνησι Διόμον ἢ Σώπατρόν τινα, τῷ γένει οὐκ ἐγχώριον· γεωργοῦντα δὲ κατὰ τὴν Ἀττικήν, ἐπεὶ πελανοῦ τε καὶ τῶν θυημάτων ἐπὶ τῆς τραπέζης ἐναργῶς κειμένων, ἵνα τοῖς θεοῖς ταῦτα θύοι, τῶν βοῶν τις εἰσιὼν ἀπ' ἔργου, τὰ μέν, κατέφαγεν· τὰ δέ, συνεπάτησεν· αὐτὸν δὲ ὑπεραγανακτήσαντα τῷ συμβάντι, πελέκεώς τινος πλησίον ἀκονωμένου, τοῦτον ἁρπάξαντα, πατάξαι τὸν βοῦν. τελευτήσαντος δὲ τοῦ βοός, ὡς ἔξω τῆς ὀργῆς καταστάς, συνεφρόνησεν οἷον ἔργον ἦν εἰργασμένος. τὸν μὲν βοῦν θάπτει. φυγὴν δὲ ἑκούσιον ἀράμενος, ὡς ἠσεβηκώς, ἔφυγεν εἰς Κρήτην. αὐχμῶν δὲ κατεχόντων καὶ δεινῆς ἀκαρπίας γινομένης, ἐπερωτῶσι κοινῇ τὸν θεόν, ἀνεῖπεν ἡ Πυθία, τὸν ἐν Κρήτῃ φυγάδα ταῦτα λύσειν. τόν τε φονέα τιμωρησαμένων. καὶ τὸν τεθνεῶτα ἀναστησάντων, ἐν ᾗπερ ἀπέθανον, λῷον ἔσεσθαι γευσαμένοις τε τοῦ τεθνεῶτος καὶ μὴ κατασχοῦσιν. ὅθεν ζητήσεως γινομένης καὶ τοῦ Σωπάτρου μετὰ τῆς πράξεως ἀνευρεθέντος, Σώπατρος νομίσας τῆς περὶ αὐτὸν δυσχολίας ἀπαλλαγήσεσθαι ὡς ἐναγοῦς ὄντος, εἰ κοινῇ τοῦτο πράξειαν πάντες, ἔφη πρὸς τοὺς αὐτὸν μετελθόντας, δεῖν κατακοπῆναι βοῦν ὑπὸ τῆς πόλεως. ἀπορούντων δὲ τίς ὁ πατάξων ἔσται, παρασχεῖν αὐτοῖς τοῦτο, εἰ πολίτην αὐτὸν ποιησάμενοι καὶ κοινωνήσουσι τοῦ φόνου. συγχωρηθέντων οὖν τούτων ὡς ἐπανῆλθον εἰς τὴν πόλιν, συνέταξαν οὕτω τὴν πρᾶξιν· ἥπερ καὶ νῦν διαμένει παρ' αὐτοῖς. Ὑδροφόρους παρθένους κατέλεξαν· αἱ δ' ὕδωρ κομίζουσιν, ὅπως τὸν πέλεκυν καὶ τὴν μάχαιραν ἀκονήσουσιν. ἀκονησάντων δέ, ἐπέδωκε μὲν τὸν πέλεκυν ἕτερος· ὁ δ' ἐπάταξε τὸν βοῦν, ἄλλος δ' ἔσφαξεν. τῶν δὴ μετὰ ταῦτα δειράντων, ἐγεύσαντο τοῦ βοὸς πάντες. τούτων δὲ πραχθέντων. τὴν μὲν δορὰν τοῦ βοὸς ῥάψαντες καὶ χόρτῳ ἀπογκώσαντες ἐξανέστησαν. ἔχοντα αὐτὸν ὅπερ καὶ ζῶν ἔχεν, σχῆμα. καὶ προσέζευξαν ἄροτρον ὡς ἐργαζομένῳ. κρίσιν δὲ ποιούμενοι τοῦ φόνου, πάντας ἐκάλουν εἰς ἀπολογίαν τοὺς τῆς πράξεως κοινωνήσαντας. ὡς δὲ αἱ μὲν ὑδροφόροι τοὺς ἀκονήσαντας αὐτῶν ᾐτιῶντο μᾶλλον· οἱ δὲ ἀκονήσαντες, τὸν ἐπιδιδόντα τὸν πέλεκυν. οὗτος δέ, τὸν ἐπισφάξαντα· καὶ ὁ τοῦτο δράσας, τὴν μάχαιραν, καθ' ἧς οὔσης ἀφώνου, τὸν φόνον κατέγνωσαν. ἀπὸ δ' ἐκείνου μέχρι τοῦ νῦν, ἀεὶ τοῖς Διιπολίοις Ἀθήνησιν ἐν ἀκροπόλει οἱ εἰρημένοι, τὸν αὐτὸν τρόπον ποιοῦνται τὴν τοῦ βοὸς θυσίαν· θέντες γὰρ ἐπὶ τῆς χαλκῆς τραπέζης πέλανον καὶ ψαιστά, περιελαύνουσι τοὺς κατανεμηθέντας βοῦς. ὧν ὁ γευσάμενος, κόπτεται. καὶ γένη τῶν ταῦτα δρώντων ἔστι νῦν. οἱ μὲν ἀπὸ τοῦ πατάξαντος Σωπάτρου, Βουτύποι καλούμενοι πάντες. οἱ δ' ἀπὸ τοῦ περιελάσαντος, Κεντριάδαι. τοὺς δὲ ἀπὸ τοῦ ἐπισφάξαντος, Δαιτροὺς ὀνομάζουσιν, διὰ τὴν ἐκ τῆς κρεανομίας γινομένην

δαῖτα. πληρώσαντες δὲ τὴν βύρσαν, ὅταν πρὸς τὴν κρίσιν ἀχθῶσιν, κατεπόντωσαν τὴν μάχαιραν. οὕτως οὔτε τὸ παλαιὸν ὅσιον ἦν κτείνειν τὰ συνεργὰ τοῖς βίοις ἡμῶν ζῷα· νῦν τε τοῦτο φυλακτέον ἐστὶ πράττειν. καὶ καθάπερ πρότερον, οὐχ ὅσιον ἦν τοῖς ἀνθρώποις ἅπτεσθαι τούτων, οὕτως νῦν τροφῆς χάριν ἅπτεσθαι τῶν ζῴων, οὐχ ὅσιον ἡγητέον· εἰ δ᾽ ἄρα τοῦτο δὴ τὴν πρὸς τὸ θεῖον ἁγιστείαν ποιητέον. ἀλλ᾽ ὅτι γε τὸ πλῆθος ἐκ τῶν σωμάτων καθ᾽ ἑαυτὸ πᾶν ἐκπεμπτέον τοῦτο, ἵνα μὴ τὴν τροφὴν ἐξ ὧν οὐ προσῆκε ποριζομένην, σύνοικον ἔχωμεν τὸ βίασμα τοῖς ἰδίοις βίοις. καὶ γὰρ, εἰ μηδὲν ἄλλο, πρός γε τὴν κατ᾽ ἀλλήλων ἐπιχείρειαν, μεγάλα πάντως ὠνήθημεν ἄν. οἷς γοῦν ἡ αἴσθησις τοῦ τῶν ἀλλοφύλων ἅπτεσθαι ζῴων ἀπέκλινεν, τούτων ὁ νοῦς πρόδηλος ἐστὶν ὁμοφύλων ἀφεξόμενος. πάντων μὲν οὖν ἴσως ἦν κράτιστον, εὐθὺς λοιπὸν ἀποσχέσθαι, ἐπεὶ δ᾽ ἀναμάρτητος οὐδεὶς, λοιπὸν ἀκεῖσθαι τοῖς ὕστερον διὰ τῶν καθαρμῶν τὰς πρόσθε περὶ τῆς τροφῆς ἁμαρτίας. τοῦτο δὲ ὁμοίως γένοιτ᾽ ἂν εἰ πρὸ ὀμμάτων ποιησάμενοι τὸ δεινὸν, ἀνευφημήσαιμεν κατὰ τὸν Ἐμπεδοκλέα λέγοντα.

„ Οἴμοι, ὅτ᾽ οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ.

„ Πρὶν σχέτλι᾽ ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

Τὸ γὰρ τοῖς ἁμαρτήμασι συναλγεῖν τὴν οἰκείαν αἴσθησιν, εὑρέσθαι τι τοῖς ὑπάρχουσι κακοῖς ἄκος ζητούντων ἐστίν· ἵνα καθάπερ ἁγνὰ θύματα, τῷ δαιμονίῳ τῶν ἀνθρώπων ἕκαστος ἀπαρχόμενος, τύχῃ τῆς ὁσίας καὶ τῆς παρὰ θεῶν ὠφελείας. πάντων δὲ μάλιστα καὶ πρώτη ἡ τῶν καρπῶν ἐστὶν, ἧς καὶ ἀπαρκτέον μόνοις τοῖς θεοῖς καὶ τῇ γῇ, τῇ τούτους ἀναδούσῃ· κοινὴ γάρ ἐστιν αὕτη καὶ θεῶν καὶ ἀνθρώπων ἑστία, καὶ δεῖ πάντας ἐπὶ ταύτης, ὡς τροφοῦ καὶ μητρὸς ἡμῶν, κλινομένους, ὑμνεῖν καὶ φιλοστοργεῖν, ὡς τεκοῦσαν. οὕτως γὰρ τῆς τοῦ βίου καταστροφῆς τυχόντες, πάλιν ἀξιωθείημεν ἂν εἰς οὐρανὸν τὸ σύμπαν γένος τῶν ἐν οὐρανῷ θεῶν. οὓς νῦν ὁρῶντας τιμᾶν τούτους, ὧν συναίτιοι καρπῶν ἡμῖν εἰσιν. ἀπαρχομένους μὲν, τῶν ὑπαρχόντων καρπῶν καὶ πάντας οὐκ ἀξιοχρέως δ᾽ εἰς τὸ θύειν θεοῖς πάντας ἡμᾶς ἡγουμένους. καθάπερ γὰρ οὐ πᾶν θυτέον αὐτοῖς. οὕτως οὐδ᾽ ὑπὸ παντὸς ἴσως κεχάρισται τοῖς θεοῖς. τὰ μὲν δὴ κεφάλαια τοῦ μὴ δεῖν θύειν ζῷα, χωρὶς τῶν ἐμβεβλημένων μύθων· ὀλίγων τε τῶν ὑφ᾽ ἡμῶν προσκειμένων καὶ συντετμημένων ἐστὶ τῶν Θεοφράστου ταῦτα.

ἐγὼ δὲ τὰ μὲν κεκρατηκότα παρ᾽ ἑκάστοις νόμιμα λύσων οὐκ ἔρχομαι. οὐ γάρ μοι περὶ πολιτείας νῦν πρόκειται λέγειν· δεδωκότων δὲ τῶν νόμων, ἐν οἷς πολιτευόμεθα, καὶ διὰ τῶν λιτοτάτων καὶ ἀψύχων γεραίρειν τὸ θεῖον, τὸ λιτότατον αἱρούμενοι, νόμῳ τε πόλεως θύσομεν καὶ αὐτοὶ σπουδάσομεν, τὴν προσήκουσαν θυσίαν ποιεῖσθαι, καθαροὶ πανταχόθεν τοῖς θεοῖς προσιόντες. ὅλως δ᾽ εἰ τὸ τῆς θυσίας ἀπαρχῆς ἔχει ἀξίαν καὶ εὐχαριστίαν, ὧν παρὰ θεῶν ἔχομεν εἰς τὰς χρείας, ἀλογώτατον αὖ ἐν αὐτοὺς ἀπεχομένους τῶν ἐμψύχων, τοῖς θεοῖς τούτων ἀπάρχεσθαι· οὔτε γὰρ χείροις ἡμῶν οἱ θεοὶ εἶναι τούτων αὐτῶν δέονται· ἡμῶν, μὴ δεομένων· οὔτε ὅσιον ἀπαρχὴν διδόναι, ἧς ἡμεῖς ἀπεχόμεθα, τροφῆς. ἐπεὶ καὶ τὸ ἔθος τοιοῦτο κατειλήφαμεν τῶν ἀνθρώπων. ὅτε μὲν οὐχ ἥπτοντο ἐμψύχου βορᾶς, οὐδ᾽ ἀπαρξαμένων ἀπὸ τῶν ζῴων· ἀφ᾽ οὗ δ᾽ ἐγεύσαντο καὶ θεοῖς ἀπαρξαμένων· ὥστε καὶ νῦν καθήκει δήπου τὸν ἀποσχόμενον ἐκείνων ἀπάρχεσθαι, ὧν καὶ θιγγάνῃ. θύσομεν τοίνυν καὶ ἡμεῖς· ἀλλὰ θύσομεν, ὡς προσήκει, διαφόρους τὰς θυσίας, ὡς ἂν διαφόροις δυνάμεσι προσάγοντες. θεῷ μὲν τῷ ἐπὶ πᾶσιν, ὥς τις ἀνὴρ σοφὸς ἔφη, μηδὲν τῶν αἰσθητῶν, μήτε θυμιῶντες, μήτε ἐπονομάζοντες· οὐδὲν γάρ ἐστιν ἔνυλον, ὃ μὴ τῷ ἀΰλῳ εὐθύς ἐστιν ἀκάθαρτον. διὸ οὐδὲ λόγος τούτῳ, ὁ κατὰ φωνὴν οἰκεῖος· οὐδ᾽ ὁ ἔνδον, ὅταν πάθει ψυχῆς ᾖ μεμολυσμένος. διὰ δὲ σιγῆς καθαρᾶς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύομεν αὐτόν. δεῖ ἄρα συναφθέντας, καὶ ὁμοιωθέντας αὐτῷ, τὴν αὐτῶν ἀναγωγὴν, θυσίαν ἱερὰν, προσαγαγεῖν τῷ θεῷ. τὴν αὐτὴν δὲ καὶ ὕμνον οὖσαν καὶ ἡμῶν σωτηρίαν·

ἐν ἀπαθεῖ ἄρα τῆς ψυχῆς, τοῦ δὲ τοῦ θεοῦ θεωρίᾳ, ἡ θυσία αὕτη τελεῖται. τοῖς δὲ αὐτοῦ ἐγγόνοις, νοητοῖς δὲ θεοῖς, ἤδη καὶ τὴν ἐκ τοῦ λόγου ὑμνῳδίαν προστιθέον. ἀπαρχὴ γὰρ ἑκάστῳ ὧν δέδωκεν ἡ θυσία, καὶ δι' ὧν ἡμῶν τρέφει, καὶ εἰς τὸ εἶναι συνέχει τὴν οὐσίαν. ὡς οὖν γεωργὸς δραγμάτων ἀπάρχεται καὶ τῶν ἀκροδρύων, οὕτως ἡμεῖς ἀπαρξόμεθα αὐτοῖς ἐννοιῶν καὶ τῶν περὶ αὐτῶν καλῶν, εὐχαριστοῦντες ὧν ἡμῖν δεδώκασι τὴν θεωρίαν, καὶ ὅτι ἡμᾶς διὰ τῆς αὑτῶν θέας ἀληθινῶς τρέφουσι, συνόντες καὶ φαινόμενοι καὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ ἐπιλάμποντες. νῦν δὲ τοῦτο μὲν ποιεῖν ὀκνοῦσι καὶ πολλοὶ τῶν φιλοσοφεῖν ἐσπουδακότων· δοξοποιοῦντες δὲ μᾶλλον ἢ τὸ θεῖον τιμῶντες, περὶ τὰ ἀφιδρύματα στρέφονται. οὐδὲ πῇ ἀπαντητέον, ἢ μὴ, ἐπεσκεμμένοι· οὐδὲ παρὰ τῶν θεοσόφων μαθεῖν σπουδάζοντες, ἄχρι τινὸς καὶ πόσον κατὰ ταῦτα παραβλητέον. ἀλλ' ἡμεῖς, οὐδὲν διοισόμεθα τούτοις. μή τι δὲ καὶ αὐτοὶ τοιοῦτον σπουδάσομεν διαγιγνώσκειν, καὶ τοὺς ὁσίους καὶ παλαιοὺς ἐκμιμησόμεθα, τὸ πλέον ἀπαρχόμενοι ἐκ τῆς θεωρίας, ἧς ἡμῖν αὐτοὶ δεδώκασιν, καὶ ἧς ἐν χρείᾳ πρὸς τὴν ὄντως σωτηρίαν καθεστήκαμεν. οἱ γοῦν Πυθαγόρειοι περὶ τοὺς ἀριθμοὺς, καὶ τὰς γραμμὰς σπουδάζοντες, ἀπὸ τούτων τὸ πλέον τοῖς θεοῖς ἀπήρχοντο. τὸν μέν τινα ἀριθμὸν, Ἀθηνᾶν καλοῦντες· τὸν δέ τινα, Ἄρτεμιν. ὥσπερ αὖ ἄλλον, Ἀπόλλωνα καὶ πάλιν, ἄλλον μὲν, δικαιοσύνην· ἄλλον δὲ, σωφροσύνην. καὶ ἐπὶ τῶν διαγραμμάτων, ὁμοίως. καὶ οὕτως ἠρέσκοντο τοῖς θεοῖς τὰς τοιαύτας ἀπαρχὰς, ὡς καὶ τυγχάνειν αὐτῶν καλοῦντας ἕκαστον τοῖς ἀναθήμασιν. καὶ κεχρῆσθαι πολλάκις πρὸς μαντείαν, καὶ εἴ τινος πρὸς ἐξέτασιν δέοιντο. θεοῖς γε μὴν τοῖς ἐντὸς οὐρανοῦ, πλανωμένοις τε καὶ ἀπλανέσιν, ὧν ἡγεῖσθαι θετέον ἥλιον πάντων· σελήνην τε δευτέραν, πῦρ τε ἤδη ξυγγενὲς ἀνάπτοιμεν ἂν, ἅτε φησὶν ὁ θεόλογος ποιήσομεν. φησὶ δὲ ἔμψυχον οὕτως θύειν μηδὲ ἕν, ἀλλ' ἄχρις ἀλφίτων, καὶ μέλιτος, καὶ τῶν ἐκ γῆς ἀκροδρύων τῶν τε ἄλλων ἀνθέων ἀπάρχεσθαι. μηδὲ ἀφ' ᾑμαγμένης ἐσχάρας ἔστω τὸ πῦρ, καὶ ὅσα φησὶν ἐκεῖνος. τί γὰρ δεῖ μεταγράφειν ταῦτα. οἶδεν δὲ ὅτι εὐσεβείας φροντίζων, ὡς θεοῖς μὲν οὐ θύεται ἔμψυχον οὐδὲν· δαίμοσι δὲ καὶ ἄλλοις ἤτοι ἀγαθοῖς, ἢ καὶ φαύλοις. καὶ τίνων τὸ θύειν τούτοις. καὶ τῶν ἄχρι τινὸς αὐτοῦ δεομένων. ἐμοὶ δὲ τὰ μὲν ἄλλα, εὔστομα κείσθω. ἃ δ' οὖν τῶν Πλατωνικῶν τινὲς ἐδημοσίευσαν, ταῦτα ἀνὰ μέσον παρατεθέντα τοῖς εὐξυνέτοις, μηνύειν τὰ προκείμενα· λέγουσι δὲ ὧδε. Ὁ μὲν πρῶτος θεὸς ἀσώματός τε ὢν καὶ ἀκίνητος καὶ ἀμέριστος καὶ οὐδὲ ἔν τινι ὢν, οὔτε ἐνδεδεμένος εἰς ἑαυτὸν, χρῄζει οὐδενὸς τῶν ἔξωθεν, ὥσπερ εἴρηται· οὐ μὴν οὐδ' ἡ τοῦ κόσμου ψυχή. ἔχουσα μὲν τὸ τριχῇ διαστατὸν καὶ αὐτοκίνητον ἐκ φύσεως, προαιρεῖσθαι δὲ πεφυκυῖα τοῦ καλῶς καὶ εὐτάκτως κινεῖσθαι καὶ κινεῖν τὸ σῶμα τοῦ κόσμου κατὰ τοὺς ἀρίστους λόγους. δέδεκται δὲ τὸ σῶμα εἰς ἑαυτὴν καὶ περιείληφε καίπερ ἀσώματος οὖσα καὶ παντὸς πάθους ἀμέτοχος. τοῖς τε λοιποῖς θεοῖς, τῷ τε κόσμῳ καὶ τοῖς ἀπλανέσι καὶ πλανωμένοις, ἔκ τε ψυχῆς καὶ σώματος οὖσιν ὁρατοῖς θεοῖς ἀντευχαριστητέον τὸν εἰρημένον τρόπον, διὰ τῶν θυσιῶν τῶν ἀψύχων. λοιπὸν οὖν ἡμῖν ἐστὶ τὸ τῶν ἀοράτων πλῆθος. οὓς δαίμονας ἀδιαστόλως εἴρηκε Πλάτων. τούτων δὲ, οἱ μὲν κατονομασθέντες ὑπὸ τῶν ἀνθρώπων, παρ' ἑκάστοις τυγχάνουσι τιμῶν ἰσοθέων καὶ τῆς ἄλλης θεραπείας· οἱ δὲ ὡς τὸ πολὺ μὲν, οὐ πάνυ τι κατωνομάσθησαν. ὑπ' ἐνίων δὲ κατὰ κώμας ἤ τινας πόλεις ὀνόματός τε καὶ θρησκείας ἀφανῶς τυγχάνουσιν. τὸ δὲ ἄλλο πλῆθος, οὕτω μὲν κοινῶς προσαγορεύεται τῷ τῶν δαιμόνων ὀνόματι. πεῖσμα δὲ περὶ πάντων, τοιοῦτόν ἐστιν. ὡς ἄρα καὶ βλάπτοιεν εἰ χολωθεῖεν, ἐπὶ τῷ παρορᾶσθαι καὶ μὴ τυγχάνειν τῆς νενομισμένης θεραπείας, καὶ πάλιν εὐεργετοῖεν ἂν τοὺς εὐχαῖς τε αὐτοὺς καὶ λιτανείαις, θυσίαις τε καὶ τοῖς ἀκολούθοις ἐξευμενιζομένους· συγκεχυμένης δὲ τῆς περὶ αὐτῶν ἐννοίας, καὶ εἰς πολλὴν διαβολὴν χωρούσης, ἀναγκαῖον διαστεῖλαι λόγῳ τὴν φύσιν αὐτῶν. ἴσως γὰρ ἀναγκαῖον φασὶν ὅθεν ἡ πλάνη γέγονεν τοῖς ἀνθρώποις, περὶ αὐτῶν ἀναφαίνειν. διαιρετέον δὴ τὸν τρόπον τοῦτον. Ὅσαι δὴ οὖν ψυχαὶ τῆς ὅλης ἐκπεφυκυῖαι μεγάλα μέρη διοικοῦσι τοῦ ὑπὸ σελήνην τόπου, ἀντερειδόμεναι δὴ πνεύμα-

τι· κρατοῦσαι δὲ αὐτοῦ κατὰ λόγον, ταύτας δαίμονάς τε ἀγαθοὺς νομιστέον καὶ ἐπ᾿ ὠφελείᾳ τῶν ἐρχομένων πάντα πραγματεύεσθαι. εἴτε τινῶν ἀφηγοῖντο ζώων, εἴτε καρπῶν ἀποτεταγμένων. εἴτε καὶ τῶν ἕνεκα τούτων. οἷον ὄμβρων, πνευμάτων μετρίων, εὐδιῶν, τῶν τε ἄλλων, ἃ τούτοις συνεργεῖ· εὐκρασίας τε ὡρῶν τοῦ ἔτους. ἡμῖν αὖ τε χρῶνται καὶ τῆς κατὰ μουσικήν. παιδείας τε συμπάσης. ἰατρικῆς τε καὶ γυμναστικῆς, ἤ τινος τούτοις ὁμοίας. τούτους γὰρ ἀδύνατον ἐστὶ καὶ τὰς ὠφελείας ἐκπορίζειν. καὶ πάλιν αὖ βλάβης ἐν τοῖς αὐτοῖς αἰτίους γίγνεσθαι. ἐν δὲ τούτοις ἀριθμητέον καὶ τοὺς πορθμεύοντας, ὥς φησι Πλάτων καὶ διαγγέλλοντας τὰ παρ᾿ ἀνθρώπων θεοῖς καὶ τὰ παρὰ θεῶν ἀνθρώποις. τὰς μὲν παρ᾿ ἡμῶν εὐχὰς ὡς πρὸς δικαστάς, ἀναφέροντας τοὺς θεούς. τὰς δὲ ἐκείνων παραινέσεις καὶ νουθεσίας, μετὰ μαντειῶν ἐκφέροντας ἡμῖν. ὅσαι δὲ ψυχαὶ τοῦ συνεχοῦς πνεύματος οὐ κρατοῦσιν· ἀλλ᾿ ὡς τὸ πολὺ καὶ κρατοῦνται, δι᾿ αὐτὸ τοῦτο ἄγονταί τε καὶ φέρονται λίαν, ὅταν αἱ τοῦ πνεύματος ὀργαί τε καὶ ἐπιθυμίαι τὴν ὁρμὴν λάβωσιν. αὗται δὲ αἱ ψυχαί, δαίμονες μὲν καὶ αὗται· κακοεργοὶ δ᾿ ἂν εἰκότως λέγοιντο. καὶ εἰσὶν οἱ σύμπαντες οὗτοί τε καὶ οἱ τῆς ἐναντίας δυνάμεως, ἀόρατοι. καὶ τελέως ἀναίσθητοι, αἰσθήσεσιν ἀνθρωπίναις· οὐ γὰρ στερεὸν σῶμα περιβέβληνται. οὐδὲ μορφὴν πάντες μίαν, ἀλλ᾿ ἐν σχήμασι πλείοσιν ἐκτυπούμεναι αἱ δὲ χαρακτηρίζουσαι τὸ πνεῦμα αὐτῶν μορφαί· τοτὲ μέν, ἐπιφαίνονται· τοτὲ δέ, ἀφανεῖς εἰσιν. ἐνίοτε δὲ καὶ μεταβάλλουσι τὰς μορφάς, οἵ γε χείρους. τὸ δὲ πνεῦμα, ᾗ μέν ἐστι σωματικόν, παθητικόν ἐστι καὶ φθαρτόν· τῷ δὲ ὑπὸ τῶν ψυχῶν οὕτως δεδέσθαι, ὥστε τὸ εἶδος αὐτῶν διαμένειν πλείω χρόνον, οὐ μήν ἐστιν αἰώνιον. καὶ γὰρ ἀπορρεῖν αὐτοῦ τι συνεχῶς, εἰκός ἐστι καὶ τρέφεσθαι. ἐν συμμετρίᾳ μὲν οὖν τὸ τῶν ἀγαθῶν ὡς καὶ τὰ σώματα τῶν φαινομένων. τῶν δὲ κακοποιῶν ἀσύμμετρα, οἳ πλεῖον τῷ παθητικῷ νέμοντες τὸν περίγειον τόπον. οὐδὲν οὖν τῶν κακῶν οὐκ ἐπιχειροῦσι δρᾶν· βίαιον γὰρ ὅλως καὶ ὕπουλον ἔχοντες ἦθος. ἐστερημένοι τε τῆς φυλακῆς τῆς ἀπὸ τοῦ κρείττονος δαιμονίου, σφοδρὰς καὶ αἰφνιδίους οἷον ἐνέδρας ὡς τὸ πολὺ ποιοῦνται τὰς ἐμπτώσεις· πῇ μέν, λανθάνειν πειρώμενοι· πῇ δέ, βιαζόμενοι. ὅθεν ὀξέα μὲν τὰ ἀπ᾿ ἐκείνων πάθη· αἱ δ᾿ ἀκέσεις καὶ αἱ κατορθώσεις, αἱ ἀπὸ τῶν κρειττόνων δαιμόνων βραδύτεραι δοκοῦσιν· πᾶν γὰρ τὸ ἀγαθὸν εὐήνιόν τε ὂν καὶ ὁμαλόν, τάξει πρόεισι καὶ τὸ δέον οὐχ ὑπερβαίνει. οὕτως δέ σοι δοξάζοντι, οὐδέποτ᾿ ἂν εἰς τὸ ἀτοπώτατον ἐμπεσεῖν ἔνεστι. τὸ περὶ τῶν ἀγαθῶν τὰ κακὰ ὑπολαμβάνειν, καὶ τὸ περὶ τῶν κακῶν τὰ ἀγαθά. οὐ γὰρ ταύτῃ μόνον ὁ λόγος ἄτοπός ἐστιν, ἀλλὰ καὶ τὰς περὶ τῶν θεῶν φαυλοτάτας ὑπολήψεις λαμβάνοντες οἱ πολλοί, διαδιδόασι καὶ εἰς τοὺς λοιποὺς ἀνθρώπους. ἓν γὰρ δὴ καὶ τοῦτο τῆς μεγίστης βλάβης, τῆς ἀπὸ τῶν κακοεργῶν δαιμόνων, θετέον. ὅτι αὐτοὶ αἴτιοι γινόμενοι τῶν περὶ τὴν γῆν παθημάτων οἷον, λοιμῶν, ἀφοριῶν, σεισμῶν, αὐχμῶν καὶ τῶν ὁμοίων, ἀναπείθουσιν ἡμᾶς, ὡς ἄρα τούτων αἴτιοί εἰσιν, οἵπερ καὶ τῶν ἐναντιωτάτων. τουτέστι τῶν εὐφοριῶν ἑαυτοὺς ἐξαιροῦντες τῆς αἰτίας, καὶ αὐτὸ τοῦτο πραγματευόμενοι. πρῶτον τὸ λανθάνειν ἀδικοῦντες. τρέπουσί τε μετὰ τοῦτο ἐπὶ λιτανείας ἡμᾶς, καὶ θυσίας τῶν ἀγαθοεργῶν θεῶν ὡς ὠργισμένων· ταῦτα δὲ καὶ τὰ ὅμοια ποιοῦσιν, μεταστῆσαι ἡμᾶς ἐθέλοντες ἀπὸ τῆς ὀρθῆς ἐννοίας τῶν θεῶν. καὶ ἐπ᾿ αὐτοὺς ἐπιστρέψαι. πᾶσι γὰρ τοῖς οὕτως ἀνομολόγως καὶ ἀκαταλλήλως γινομένοις, αὐτοὶ χαίρουσι καὶ ὥσπερ ὑποδύντες τὰ τῶν ἄλλων θεῶν πρόσωπα, τῆς ἡμετέρας ἀβουλίας ἀπολαύουσιν, προσεταιριζόμενοι τὰ πλήθη, διὰ τὸ τὰς τοιαύτας ἐπιθυμίας τῶν ἀνθρώπων ἐκκαίειν, ἔρωσι καὶ πόθοις πλούτων καὶ δυναστειῶν καὶ ἡδονῶν· ἐκ κενοδοξίας τε, ἀφ᾿ ὧν στάσεις, καὶ πόλεμοι φύονται, καὶ τὰ συγγενῆ τούτων. τὸ δὲ πάντων δεινότατον, ἐπαναβαίνουσιν ἐκ τῶνδε. καὶ τὰ ὅμοια πείθουσι καὶ τὰ περὶ τῶν μεγίστων θεῶν μέχρι καὶ τὸν ἄριστον θεὸν τούτοις τοῖς ἐγκλήμασιν ὑπάγειν· ὃ δὴ καὶ τετάραχθαι φασὶ πάντ᾿ ἄνω κάτω· πεπόνθασι δὲ τοῦτο οὐχ ἰδιῶται μόνον, ἀλλὰ καὶ τῶν ἐν φιλοσοφίᾳ διατριβόντων οὐκ ὀλίγοι. ἡ δὲ αἰτία δι᾿ ἀλλήλων γέγονε· καὶ γὰρ τῶν φιλοσοφούντων, οἱ μὴ ἀποστάντες τῆς κοινῆς φορᾶς, εἰς τὰ αὐτὰ τοῖς

πλήθεσι συνέζησαν. καὶ πάλιν αὐτὰ πλήθη σύμφωνα ταῖς ἑαυτῶν δόξαις παρὰ τῶν δοκούντων ἀκούοντα, ἐπερρώσθη φρονεῖν ἔτι μᾶλλον περὶ τὰ τῶν θεῶν τὰ τοιαῦτα. τὸ μὲν γὰρ ποιητικὸν καὶ προσεξέκαυσε τὰς ὑπολήψεις τῶν ἀνθρώπων, τῷ χρῆσθαι φράσει πρὸς ἔκπληξιν καὶ γοητείαν πεποιημένῃ. κήλησίν τε ἐμποιοῦσαι καὶ πίστιν περὶ τῶν ἀδυνατωτάτων δυναμένῃ. δέον ἐμπέδως πεπεῖσθαι. ὅτι οὔτε τὸ ἀγαθὸν βλάπτει ποτὲ· οὔτε τὸ κακὸν ὠφελεῖ· οὐ γὰρ θερμότητος ὥς φησι Πλάτων τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου· οὕτως οὐδὲ τοῦ δικαίου τὸ βλάπτειν· δικαιότατον δὲ δήπου φύσει πάντων τὸ θεῖον, ἐπεὶ οὐδὲν ἂν ἦν θεῖον. οὐκοῦν ἀποτετμῆσθαι δεῖ ταύτην τὴν δύναμιν καὶ μοῖραν τῶν δαιμόνων τῶν ἀγαθοεργῶν. ἡ γὰρ βλάπτειν πεφυκυῖα τε καὶ βουλομένη ἐναντία τῇ ἀγαθοεργῷ. τὰ δ' ἐναντία περὶ τὸ αὐτὸ οὐκ ἄν ποτε γένοιτο. τούτων δὲ κατὰ πολλὰ μέρη λυμαινομένων τὸ θνητὸν, ἐνίοτε δὲ καὶ κατὰ μεγάλα. καθ' ἕνα μὲν γὰρ, οὐκ ἔσθ' ὅτε οὐχὶ οἱ ἀγαθοὶ οὐκ ἀνιᾶσι τὰ καθ' αὑτόν. ἀλλὰ καὶ προσημαίνουσιν εἰς δύναμιν, τοὺς ἐπηρτημένους ἀπὸ τῶν κακοεργῶν κινδύνους. καὶ δι' ὀνειράτων ἐμφαίνοντες καὶ διὰ ἐνθέου ψυχῆς ἄλλων τε πολλῶν. καὶ εἰ ἱκανός τις εἴη τὰ σημαινόμενα διαιρεῖσθαι, πάντα γινώσκειν καὶ προφυλάττοιτο· πᾶσι γὰρ σημαίνουσιν, οὐ πᾶς δὲ ξυνίησι τὰ σημαινόμενα. οὐδὲ πᾶς τὰ γεγραμμένα δύναται ἀναγινώσκειν, ἀλλ' ὁ μαθὼν γράμματα. διὰ μέντοι τῶν ἐναντίων καὶ ἡ πᾶσα γοητεία ἐκτελεῖται· τούτους γὰρ μάλιστα καὶ τὸν προεστῶτα αὐτῶν ἐκτιμῶσιν, οἱ τὰ κακὰ διὰ τῶν γοητειῶν διαπραττόμενοι. πλήρεις γὰρ πάσης φαντασίας οὗτοι καὶ ἀπατῆσαι ἱκανοὶ διὰ τῆς τερατουργίας. διὰ τούτων φίλτρα καὶ ἐρωτικὰ κατασκευάζουσιν οἱ κακοδαίμονες· πᾶσα γὰρ ἀκολασία καὶ πλούτων ἐλπὶς καὶ δόξης διὰ τούτων καὶ μάλιστα ἡ ἀπάτη· τὸ γὰρ ψεῦδος, τούτοις οἰκεῖον· βούλονται γὰρ εἶναι θεοὶ καὶ ἡ προεστῶσα αὐτῶν δύναμις δοκεῖν θεὸς εἶναι ὁ μέγιστος. οὗτοι οἱ χαίροντες, λοιβῇ τε κνίσῃ τε, δι' ὧν αὐτῶν τὸ πνευματικὸν πιαίνεται· ζῇ γὰρ τοῦτο ἀτμοῖς καὶ ἀναθυμιάσεσι καὶ ποικίλως διὰ τῶν ποικίλων καὶ δυναμοῦται ταῖς ἐκ τῶν αἱμάτων καὶ σαρκῶν κνίσαις. διὸ συνετὸς ἀνὴρ καὶ σώφρων εὐλαβήσεται τοιαύταις χρῆσθαι θυσίαις, δι' ὧν ἐπισπάσεται πρὸς ἑαυτὸν τοὺς τοιούτους. σπουδάσει δὲ, καθαίρειν τὴν ψυχὴν παντοίως. καθαρᾷ γὰρ ψυχῇ οὐκ ἐπιτίθενται· διὰ τὸ αὐτοῖς ἀνόμοιον. εἰ δὲ ταῖς πόλεσιν ἀναγκαῖον καὶ τούτους ἀπομειλίττεσθαι, οὐδὲν πρὸς ἡμᾶς· ταύταις γὰρ καὶ πλοῦτοι, καὶ τὰ ἐκτὸς, καὶ τὰ σωματικὰ, ἀγαθὰ εἶναι νενόμισται, καὶ τὰ ἐναντία κακά· ὀλίγιστον δ' ἐν αὐταῖς τὸ τῆς ψυχῆς ἐπιμελούμενον· ἡμεῖς δὲ κατὰ δύναμιν οὐδὲν δεησόμεθα ὧν οὗτοι παρέχουσιν, ἀλλ' ἔκ τε ψυχῆς· ἔκ τε τῶν ἐκτὸς, πᾶσαν σπουδὴν ποιούμεθα, θεῷ μὲν καὶ τοῖς ἀμφ' αὐτὸν, ὁμοιοῦσθαι· ὃ γίνεται δι' ἀπαθείας καὶ τῆς περὶ τῶν ὄντως ὄντων διηρθρωμένης διαλήψεως καὶ τῆς πρὸς αὐτὰ ταῦτα ζωῆς. πονηροῖς δὲ ἀνθρώποις καὶ δαίμοσι καὶ ὅλως παντὶ τῷ χαίροντι τῷ θνητῷ τε καὶ ὑλικῷ, ἀνομοιοῦσθαι. ὥστε κατὰ τὰ εἰρημένα τῷ Θεοφράστῳ θύσομεν καὶ ἡμεῖς ὡς καὶ οἱ θεολόγοι συνεφάνησαν. εἰδότες ὡς καθ' ὅσον τῆς τῶν παθῶν ἐξαιρέσεως ἀμελοῦμεν τῆς ψυχῆς, κατὰ τοσοῦτον τῇ πονηρᾷ δυνάμει συναπτόμεθα καὶ δεήσει καὶ ταύτην ἀπομειλίττεσθαι· ὡς γὰρ φασὶν οἱ θεολόγοι τοῖς δεομένοις ὑπὸ τῶν ἐκτὸς καὶ μηδέπω κρατοῦσι τῶν παθῶν, ἀναγκαῖον ἀποτρέπεσθαι καὶ ταύτην τὴν δύναμιν. εἰ δὲ μήγε, πόνων οὐ λήξουσιν. μέχρι δὴ τούτων τὰ περὶ τῶν θυσιῶν δεδηλώσθω, πλὴν ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, μὴ εἶναι ἀναγκαῖον ὡς εἰ θυτέον ζῷα καὶ βρωτέον πάντως, νῦν ἐξ ἀνάγκης τὸ μηδὲν ἐσθίειν, ἐπεὶ καὶ θύειν ἀνάγκη ποτὲ ἐπιδέδεικται· πάντες γὰρ ἐν τούτῳ ὡμολογήκασιν οἱ θεολόγοι ὡς οὔτε ἁπτέον ἐν ταῖς ἀποτροπαίοις θυσίαις τῶν θυομένων, καθαρσίοις τε χρηστέον. μὴ γὰρ ἴοι τις εἰς ἄστυ, μηδ' εἰς οἶκον ἴδιον, μὴ πρότερον ἐσθῆτα καὶ σῶμα ποταμοῖς ἢ πηγῇ ἀποκαθήρας φασίν. ὥστε καὶ οἷς ἐπιτέτραπται θύειν, ἀπέχεσθαι τῶν θυομένων τούτοις παρήγγειλαν, προαγνεύσαντες ἀποσιτίαις καὶ μάλιστα ταῖς ἀποχαῖς τῶν ἐμψύχων. εἶναι γὰρ τὴν ἁγνείαν φυλακὴν πρὸς εὐλάβειαν, οἷον σύμβολον ἢ σφραγῖδα θείαν περὶ τοῦ μηδὲν παθεῖν ὑπ' ἐκείνων. οἷς πρόσεισιν καὶ ἀπομειλίττεται· ἐναντίως γὰρ διακείμενος ἢ οἷς δρᾷ καὶ θειοτέρως ὅτι καὶ καθαρωτέρως καὶ κατὰ σῶμα, καὶ κατὰ τὰ πάθη τῆς ψυχῆς, μένει ἀβλαβής. οἷον ἔρυμα περιβεβλημένος τὴν

ἁγνείαν

ἁγνείαν. διὸ καὶ ἄχρι τῶν γοήτων ἀναγκαία ἔδοξεν ἡ τοιαύτη προφυλακή. οὐ δυνάμεως μέντοι δὴ πάντως· ἀσελγείας γὰρ ἕνεκα ἐνοχλοῦσι δαίμονας πονηρούς. ὥστε οὐ γοήτων μὲν ἡ ἁγνεία, ἀλλὰ θείων καὶ θεοσόφων ἀνδρῶν· φυλακὴν δὲ φέρουσα πανταχοῦ τοῖς χρωμένοις, τὴν πρὸς τὸ θεῖον οἰκείωσιν. ὡς εἴθε δὴ παντὸς αὐτῇ καὶ γόητες ἐχρῶντο καὶ οὐκ ἂν γοητεύειν προυθυμήθησαν, ἀποκεκλεισμένοι ἀπὸ ταύτης ἀπολαύειν, ὧν ἕνεκα ἀσεβοῦσιν. ὅθεν παθῶν ὄντες πλήρεις, καὶ τῆς ὀλίγον ἀπεχόμενοι τῶν ἀκαθάρτων βρώσεων, μεστοὶ ὄντες ἀκαθαρσίας, δίκας τίνουσι τῆς εἰς τὰ ὅλα παρανομίας τὰ μὲν ὑπ' αὐτῶν ὧν ἐρεθίζουσι· τὰ δὲ καὶ ὑπὸ τῆς πάντ' ἐφορώσης τὰ θνητά, καὶ ἔργα καὶ διανοήματα, δίκης. ἀνδρὸς ἄρα θείου ἡ ἔσω καὶ ἡ ἐκτὸς ἁγνεία. ἀποσίτου μὲν ἐκ παθῶν ψυχῆς σπουδάζοντος εἶναι· ἀποσίτου δὲ καὶ βρώσεων, αἳ τὰ πάθη κινοῦσι. σιτουμένου δέ, θεοσοφίαν καὶ ὁμοιουμένου τοῖς περὶ τοῦ θείου ὀρθαῖς διανοίαις καὶ ἀφιερουμένου τῇ νοερᾷ θυσίᾳ καὶ μετὰ λευκῆς ἐσθῆτος καὶ καθαρᾶς τῷ ὄντι τῆς ψυχικῆς ἀπαθείας καὶ τῆς κουφότητος σώματος προσιόντος τῷ θεῷ, οὐκ ἐξ ἀλλοτρίων καὶ ὀθνείων χυμῶν καὶ παθῶν ψυχικῶν βεβαρυμένου· οὐ γὰρ δὴ ἐν μὲν ἱεροῖς ὑπ' ἀνθρώπων θεοῖς ἀφωρισμένοις καὶ τὰ ἐν ποσὶ καθαρὰ δεῖ εἶναι καὶ ἀκηλίδωτα πέδιλα. ἐν δὲ τῷ ναῷ τοῦ πατρός, τῷ κόσμῳ τούτῳ, τὸν ἔσχατον καὶ ἐκτὸς ἡμῶν χιτῶνα τὸν δερμάτινον, οὐχ ἁγνὸν προσήκει διατηρεῖν καὶ μεθ' ἁγνοῦ διατρίβειν ἐν τῷ ναῷ τοῦ πατρός· εἰ μὲν γὰρ ἐν τῷ μεμολύνθαι αὐτὸν μόνον ὁ κίνδυνος ἔκειτο, εἶχεν παριδεῖν ἴσως καὶ καταραθυμῆσαι. νῦν δὲ παντὸς τοῦ αἰσθητοῦ σώματος ἀπορροίας φέροντος δαιμονίων ὑλικῶν, ἅμα τῇ ἀκαθαρσίᾳ τῇ ἐκ σαρκῶν καὶ αἱμάτων, πάρεστιν ἡ ταύτῃ φίλη καὶ προσήγορος δύναμις δι' ὁμοιότητα καὶ οἰκειότητα. ὅθεν ὀρθῶς οἱ θεολόγοι τῆς ἀποχῆς ἐπεμέλοντο. καὶ ὁ αἰγύπτιος ταῦθ' ἡμῖν ἐμήνυσεν. αἰτίαν ἀποδιδοὺς φυσικωτάτην ἣν ἐκ τῆς πείρας ἐδοκίμασεν. ἐπεὶ γὰρ ψυχὴ φαύλη καὶ ἄλογος ἡ τὸ σῶμα ἀπολείπει βίᾳ συλληφθεῖσα προσμένει τούτῳ· ὅπου γε καὶ τῶν ἀνθρώπων, αἱ τῶν βίᾳ ἀποθανόντων, καὶ κατέχονται πρὸς τῷ σώματι. ὃ καὶ τοῦ μὴ βίᾳ ἑαυτὸν ἐξάγειν ἦν κώλυμα. ἐπεὶ οὖν τῶν ζώων αἱ βίαιοι σφαγαί, ἐμφιληδεῖν τὰς ψυχὰς οἷς ἀπολείπουσιν ἀναγκάζουσιν· διείργεται δὲ οὐδαμῶς ψυχὴ ἐκεῖ εἶναι, ὅπου τὸ συγγενὲς καθέλκει αὐτήν. ὅθεν καὶ ὀδυρόμεναι ὤφθησαν πολλαί. καὶ αἱ τῶν ἀτάφων παραμένουσι τοῖς σώμασιν. αἷς καὶ οἱ γόητες καταχρῶνται πρὸς αὐτῶν ὑπηρεσίαν, βιαζόμενοι τῇ τοῦ σώματος ἢ μέρους τοῦ σώματος κατοχῇ. ἐπεὶ οὖν ταῦτα ἱστόρησεν καὶ φύσιν ψυχῆς φαύλης καὶ συγγένειαν καὶ ἡδονὴν ἔχει πρὸς τὰ σώματα, ἐξ ὧν ἀπεσπάσθη, εἰκότως ἐφυλάξαντο τὴν τῶν σαρκῶν βοράν, ἵνα ἀλλοτρίαις ψυχαῖς βιαίοις καὶ ἀκαθάρτοις πρὸς τὸ συγγενὲς ἑλκομέναις, μὴ ἐνοχλοῖντο· μηδὲ ἐμποδίζοιντο προσέρχεσθαι μόνοι τῷ θεῷ, δαιμόνων τῇ παρουσίᾳ ἐνοχλούντων. ὅτι γὰρ ὁλκὸν τῆς ψυχῆς ἡ τοῦ συγγενοῦς σώματος φύσις, ἡ πεῖρα τούτους ἐδίδαξε δή. πλειόνων οἱ γοῦν ζώων μαντικῶν ψυχὰς δέξασθαι βουλόμενοι εἰς ἑαυτούς, τὰ κυριώτατα μόρια καταπιόντες, οἷον καρδίας κοράκων, ἢ ἀσπαλάκων, ἢ ἱεράκων, ἔχουσιν παροῦσαν τὴν ψυχὴν χρηματίζουσαν ὡς θεὸν καὶ εἰσιοῦσαν εἰς ἑαυτοὺς ἅμα τῇ ἐνθέσει τοῦ σώματος. εἰκότως ἄρα ὁ φιλόσοφος καὶ θεοῦ, τοῦ ἐπὶ πᾶσιν, ἱερεύς, πάσης ἀπέχεται ἐμψύχου βορᾶς. μόνος μόνῳ διὰ τοῦ ἑαυτοῦ θεῷ προσιέναι σπουδάζων, ἀνὰ τῆς τῶν παρομαρτούντων ἐνοχλήσεως. καὶ ἔστιν εὐλαβὴς τὰς τῆς φύσεως ἀνάγκας ἐξιστορικῶς· ὥσπερ γὰρ πολλῶν ὄντως φιλόσοφος καὶ σημειωτικός, καὶ καταληπτικὸς τῶν τῆς φύσεως πραγμάτων, καὶ σώφρων, καὶ κόσμιος, καὶ μέτριος, πανταχόθεν σώζων ἑαυτὸν καὶ ὥσπερ ὁ τινὸς τῶν κατὰ μέρος ἱερεύς, ἔμπειρος τῆς ἱδρύσεως τῶν ἀγαλμάτων αὐτοῦ. τῶν τε ὀργιασμῶν καὶ τελετῶν καθάρσεών τε, καὶ τῶν ὁμοίων, οὕτως ὁ τοῦ ἐπὶ πᾶσιν θεοῦ ἱερεύς, ἔμπειρος τῆς αὐτοῦ ἀγαλματοποιίας. καθάρσεών τε καὶ τῶν ἄλλων, δι' ὧν συνάπτεται τῷ θεῷ. εἰ δὲ οἱ τῶν τῇδε ἱερεῖς καὶ ἱεροσκόποι καὶ ταφῶν ἀπέχεσθαι κελεύουσιν ἑαυτοῖς τε, καὶ τοῖς ἄλλοις, καὶ ἀνδρῶν ἀνοσίων, καὶ ἐμμήνων, καὶ συνουσιῶν, καὶ θέας ἤδη αἰσχρᾶς, καὶ πενθικῆς, καὶ ἀκροάσεως πάθος ἐγειρούσης, ἐπεὶ πολλάκις φαίνεται, καὶ διὰ τοὺς παρόντας ἀκαθάρτους, ὃ ταράττει τὸν ἱεροσκόπον· διὸ καὶ τὸ θύειν ἀκαίρως καὶ βλάβην μείζονα φέρειν ἢ κέρδος φασίν. ἦπου γε ὁ τοῦ πατρὸς ἱερεὺς

αὐτὸς τάφος γίνεσθαι νεκρῶν σωμάτων ἐπιμελεῖ· αὐτὸς μιασμάτων πλήρης, ὁμιλητὴς σπουδάζων γενέσθαι τῷ κρείττονι. ἀρκεῖ ὅτι τὰ τοῦ θανάτου μέρη περὶ τὴν καρπῶν εἰς τὴν ἐν τούτοις ἡμῶν ζωὴν παραλαμβάνομεν. ἀλλὰ μή πω περὶ τούτων. ἔτι δὲ τὰ περὶ τῶν θυσιῶν διακριτέον. φαίη γὰρ ἄν τις, ὅτι πολὺ μέρος ἀναιροῦμεν μαντείας, τῆς διὰ σπλάγχνων, ἀπεχόμενοι τῆς τῶν ζώων ἀναιρέσεως. οὐκοῦν ὁ τοιοῦτος ἀναιρείτω καὶ τοὺς ἀνθρώπους· ἐμφαίνεται γὰρ μᾶλλον ὥς φασι, τοῖς τούτων σπλάγχνοις τὰ μέλλοντα. καὶ πολλοί γε τῶν βαρβάρων δι' ἀνθρώπων σπλαγχνεύονται. ἀλλ' ὥσπερ ἀδικίας καὶ πλεονεξίας ἦν τὸ ἕνεκα μαντείας ἀναιρεῖν τὸν ὁμόφυλον, οὕτω καὶ τὸ ἄλογον ζῶον σφάττειν μαντείας ἕνεκα, ἄδικον· πότερα δὲ τὰ σημεῖα οἱ θεοὶ ἐπιφαίνουσιν ἢ δαίμονες, ἢ ψυχὴ ἀπαλλαττομένη τοῦ ζώου πρὸς τὴν πεῦσιν ἀποκρίνεται διὰ τῶν ἐν τοῖς σπλάγχνοις σημείων, οὐκ ἔστι τοῦ παρόντος λόγου ἑρμηνεῦσαι. οἷς μέντοι ὁ βίος ἔξω κυλίεται, τούτοις ἐπιτρέπομεν ἅπαξ ἀποβᾶσιν εἰς ἑαυτοὺς φέρεσθαι ἧπερ καὶ φέρονται· ὃν δ' ἡμεῖς ὑπογράφομεν φιλόσοφον, ἀφιστάμενον τῶν ἐκτὸς, εἰκότως φαμὲν μὴ ἐνοχλήσειν δαίμοσι, μηδὲ μάντεων δεήσεσθαι. μηδὲ σπλάγχνων ζώων· ὧν γὰρ ἕνεκα αἱ μαντεῖαι, τούτων οὗτος μεμελέτηκεν ἀφίστασθαι· οὐ γὰρ εἰς γάμον καθίησιν, ἵνα περὶ γάμου τὸν μάντιν ἐνοχλήσῃ· οὐκ εἰς ἐμπορίαν, οὐ περὶ οἰκέτου, οὐ περὶ προκοπῆς καὶ τῆς ἄλλης παρ' ἀνθρώποις δοξοκοπίας. περὶ ὧν δὲ ζητεῖ, μάντις μὲν οὐδεὶς, οὐδὲ σπλάγχνα ζώων μηνύσει τὸ σαφές· αὐτὸς δὲ δι' ἑαυτοῦ ὥς λέγομεν, προσιὼν τῷ θεῷ, ὃς ἐν τοῖς ἀληθινοῖς αὐτοῦ σπλάγχνοις ἵδρυται, περὶ τοῦ αἰωνίου βίου λήψεται τὰς ὑποθήκας, ὅλος ἐκεῖ συρρεύσας καὶ αὐτὸ μάντεως, Διὸς μεγάλου ὀαριστὺς εὐχόμενος γενέσθαι. εἰ δ' ἄρα καὶ ἐπείξειέ τι τῶν τῆς ἀνάγκης, ἔστιν οἷς οὕτω ζῶντι τῷ οἰκέτῃ τοῦ θεοῦ καὶ δι' ὀνειράτων καὶ συμβόλων, καὶ δι' ὅτι τις ἀγαθοὶ δαίμονες προτρέχοντες καὶ μηνύοντες τὸ ἀποβησόμενον, καὶ ὃ ἀναγκαῖον φυλάξασθαι· μόνον γὰρ ἀποστῆναι δεῖ τοῦ κακοῦ καὶ ἐπιγνῶναι τὸ ἐν τοῖς ὅλοις τιμιώτατον. καὶ πᾶν τὸ ἐν τῷ ὅλῳ ἀγαθὸν φίλον καὶ προσήγορον. ἀλλὰ δεινή τις ἡ κακία καὶ τῶν θείων ἀμαθία, καταφρονεῖν ὧν οὐκ οἶδεν καὶ ἐπισύρειν. ἐπειδὴ ταῦτα οὐ φωναῖς ἐξακούσεις, ἡ φύσις βοᾷ. νοερὰ δὲ ὄντα, διὰ νοῦ μυσταγωγεῖ τοὺς τ' αὐτὴν σέβοντας. κἂν μέντοι τις θυτικὴν παραδέξηται προγνώσεως ἕνεκα τοῦ μέλλοντος, οὐχ ἕπεται ταύτῃ καὶ τὸ ἐσθίειν δεῖν ἐξ ἀνάγκης καὶ σάρκας παραδέχεσθαι· καθάπερ οὐδὲ τὸ θύειν ὁπωσοῦν τοῖς θεοῖς ἢ δαίμοσιν, εἰσηγεῖται τὴν βρῶσιν. ἡ γοῦν ἱστορία, οὐ μόνον ὧν Θεόφραστος ἐμνήσθη, ἀλλὰ καὶ ἄλλων πλειόνων τὴν μνήμην παρέδωκεν, ὡς καὶ ἀνθρώπους θυόντων τῶν πάλαι, καὶ οὐ δήπου δὴ ὥσπερ καὶ βρωτέον ἀνθρώπους. καὶ ὅτι ταῦτα οὐχ ἁπλῶς, ἀλλὰ πλήρους οὔσης τῆς ἱστορίας λέγομεν, αὐτάρκη καὶ ταῦτα παραστῆσαι. ἐθύετο γὰρ καὶ ἐν Ῥόδῳ μηνὶ μεταγειτνιῶνι ἕκτῃ ἱσταμένου, ἄνθρωπος τῷ Κρόνῳ. ὃ δὴ ἐπὶ πολὺ κρατῆσαν ἔθος, μετεβλήθη· ἕνα γὰρ τῶν ἐπὶ θανάτῳ δημοσίᾳ κατακριθέντων μέχρι μὲν τῶν κρονίων συνεῖχον· ἐνστάσης δὲ τῆς ἑορτῆς προαγαγόντες τὸν ἄνθρωπον ἔξω πυλῶν ἀντικρὺς τοῦ Ἀριστοβούλης ἕδους, οἴνῳ ποτίσαντες, ἔσφαττον. ἐν δὲ τῇ νῦν Σαλαμῖνι· πρότερον δὲ, Κορωνίδι ὀνομαζομένῃ μηνὶ κατὰ Κυπρίους Ἀφροδισίῳ, ἐθύετο ἄνθρωπος τῇ Ἀγραύλῳ τῇ Κέκροπος καὶ νύμφης Ἀγραυλίδος. καὶ διέμενε τὸ ἔθος, ἄχρι τῶν Διομήδους χρόνων. εἶτα μετέβαλεν ὥστε τῷ Διομήδει τὸν ἄνθρωπον θύεσθαι· ὑφ' ἕνα δὲ περίβολον, ὅ τε τῆς Ἀθηνᾶς νεὼς καὶ ὁ τῆς Ἀγραύλου καὶ Διομήδους. ὁ δὲ σφαγιαζόμενος ὑπὸ τῶν ἐφήβων ἀγόμενος, τρὶς περιέθει τὸν βωμόν. ἔπειτα ὁ ἱερεὺς αὐτὸν λόγχῃ ἔπαιεν κατὰ τοῦ στομάχου· καὶ οὕτως αὐτὸν ἐπὶ τὴν νηθεῖσαν πυρὰν ὡλοκαύτιζεν. τοῦτον δὲ τὸν θεσμόν, Δίφιλος ὁ τῆς Κύπρου βασιλεὺς κατέλυσε, κατὰ τοὺς Σελεύκου χρόνους τοῦ θεολόγου γενόμενος, τὸ ἔθος εἰς βουθυσίαν μεταστήσας· προσήκατο δ' ὁ δαίμων ἀντὶ τοῦ ἀνθρώπου, τὸν βοῦν οὕτως ἰσάξιον ὄντα τὸ δρώμενον. κατέλυσε δὲ ἐν Ἡλίου πόλει τῆς Αἰγύπτου τὸν τῆς ἀνθρωποκτονίας νόμον, Ἄμωσις. ὡς μαρτυρεῖ Μανεθὼς ἐν τῷ περὶ ἀρχαϊσμοῦ καὶ εὐσεβείας· ἐθύοντο δὲ τῇ Ἥρᾳ καὶ ἐδοκιμάζοντο, καθάπερ οἱ ζητούμενοι καθαροὶ μόσχοι καὶ συσφραγιζόμενοι. ἐθύοντο δὲ τῆς ἡμέρας τρεῖς, ἀνθ' ὧν κηρίνους ἐκέλευσεν ὁ Ἄμωσις τοὺς ἴσους ἐπιτίθεσθαι. ἐθύοντο δὲ καὶ ἐν Χίῳ τῷ ὠμαδίῳ Διονύσῳ ἄνθρωπον διασπῶντες καὶ ἐν Τενέδῳ ὥς φησιν Εὐέλπις ὁ Καρύστιος. ἐπεὶ καὶ Λακεδαιμονί-

οὕς φησιν ὁ Ἀπολλόδωρος τῷ Ἄρει θύειν ἄνθρωπον. Φοίνικες δὲ ἐν ταῖς μεγάλαις συμφοραῖς, ἢ πολέμων, ἢ αὐχμῶν, ἢ λοιμῶν, ἐθύοντο τῶν φιλτάτων τινὰ ἐπιψηφίζοντες κρόνῳ· καὶ πλήρης δὲ ἡ Φοινικικὴ ἱστορία τῶν θυσάντων, ἣν Σαγχουνιάθων μὲν, τῇ Φοινίκων γλώττῃ συνέγραψεν. Φίλων δὲ ὁ Βύβλιος, εἰς τὴν Ἑλλάδα γλῶσσαν δι' ὀκτὼ βιβλίων ἡρμήνευσεν. Ἴστρος δὲ ἐν τῇ συναγωγῇ τῶν Κρητικῶν θυσιῶν, φησὶ τοὺς Κουρῆτας τὸ παλαιὸν τῷ Κρόνῳ θύειν παῖδας· καταλυθῆναι δὲ τὰς ἀνθρωποθυσίας σχεδὸν τὰς παρὰ πᾶσι φησὶ Πάλλας, ὁ ἄριστα τὰ περὶ τῶν τοῦ Μίθρα συναγαγὼν μυστηρίων, ἐφ' Ἀδριανοῦ τοῦ αὐτοκράτορος. ἐθύετο γὰρ καὶ ἐν Λαοδικείᾳ τῇ κατὰ Συρίαν, τῇ Ἀθηνᾷ κατ' ἔτος παρθένος. νῦν δ' ἔλαφος. καὶ μὴν, καὶ οἱ ἐν Λιβύῃ Καρχηδόνιοι ἐποίουν τὴν θυσίαν ἣν Ἰφικράτης ἔπαυσεν. καὶ Δουματηνοὶ δὲ τῆς Ἀραβίας κατ' ἔτος ἕκαστον ἔθυον παῖδα· ὃν ὑπὸ βωμὸν ἔθαπτον, ᾧ χρῶνται ὡς ξοάνῳ· Φύλαρχος δὲ κοινῶς πάντας τοὺς Ἕλληνας πρὶν ἐπὶ πολεμίους ἐξιέναι ἀνθρωποκτονεῖν ἱστορεῖ, καὶ παρίημι Θρᾷκας καὶ Σκύθας. καὶ ὡς Ἀθηναῖοι τὴν Ἐρεχθέως καὶ Πραξιθέας θυγατέρα ἀνεῖλον. ἀλλ' ἔτι καὶ νῦν, τίς ἀγνοεῖ κατὰ τὴν μεγάλην πόλιν τῇ τοῦ Λατιαρίου Διὸς ἑορτῇ, σφαζόμενον ἄνθρωπον. καὶ οὐ δήπου τούτου ἕνεκα βρωτέον καὶ σάρκας ἀνθρώπων, ἐπειδήπερ διά τινα ἀνάγκην εἰς θυσίαν ἄνθρωπος παρελήφθη. καὶ γὰρ ἐν λιμοῖς πολιορκούμενοί τινες, ἀλλήλων ἐγεύσαντο καὶ ὅμως ἐναγεῖς οὗτοι ἐνομίσθησαν, καὶ τὸ πρᾶγμα ἀσεβές. καὶ μετὰ γε τὸν πρῶτον πόλεμον τὸν γενόμενον Ῥωμαίοις περὶ Σικελίας τοὺς Καρχηδονίους ἀποστάντων τῶν Φοινίκων μισθοφόρων καὶ συναποστησάντων τοὺς Λίβυας, Ἀμίλκας ὁ Βάρκας ἐπικαλούμενος, ἐπιστρατεύσας αὐτοῖς εἰς λιμὸν οὕτω περιέστησεν, ὡς τὸ μὲν πρῶτον τοὺς πίπτοντας ἐν ταῖς μάχαις ἐσθίειν· ἐπιλειπόντων πάντων, δεύτερον τοὺς αἰχμαλώτους, τρίτον τοὺς οἰκέτας. ὕστερον δὲ καὶ ἐπ' ἀλλήλους ὁρμῆσαι καὶ κλήρῳ τοὺς συστρατιώτας ἐσθίειν. ἀλλ' ὅγε Ἀμίλκας λαβὼν ὑποχειρίους, διὰ τῶν ἐλεφάντων συνεπάτησεν. ὡς οὐχ ὅσιον ἔτι τοῖς λοιποῖς ἀνθρώποις αὐτοὺς ἐπιμίγνυσθαι· καὶ οὔτε αὐτὸς παρεδέξατο δὴ τὸ τολμῆσαί τινας τὴν ἀνθρωποφαγίαν, οὔθ' ὁ υἱὸς αὐτοῦ Ἀννίβας· ᾧ συνεβούλευέ τις εἰς τὴν Ἰταλίαν στρατεύοντι, ἐθίσαι ἀνθρωποφαγεῖν τὸν στρατὸν, ὡς μὴ τροφῆς ἀποροῖεν. οὐ τοίνυν ἐπεὶ λιμοὶ καὶ πόλεμοι αἴτιοι τῆς τῶν ἄλλων ζώων βρώσεως γεγόνασιν, ἐχρῆν ταύτην καὶ δι' ἡδονὴν παραδέξασθαι. καθάπερ οὐδὲ τὴν ἀνθρωποφαγίαν προσηκάμεθα. οὐδὲ ἐπεὶ ἔθυσαν τισὶ δυνάμεσι ζῶα, ἐχρῆν καὶ ἐσθίειν αὐτά· οὐδὲ γὰρ ἀνθρώπους θύσαντες, ἐγεύσαντο τούτου γε ἕνεκα, σαρκῶν ἀνθρωπίνων. ἀλλ' ὅτι μὲν τῷ θύειν, οὐχ ἕπεται τὸ καὶ ἐσθίειν πάντως τὰ ζῶα, διὰ τούτων ἀποδέδεικται. ὅτι δὲ οὐδὲ θεοῖς, ἀλλὰ δαίμοσι τὰς θυσίας, τὰς διὰ τῶν αἱμάτων προσῆγον οἱ τὰς ἐν τῷ παντὶ δυνάμεις καταμαθόντες, καὶ τοῦτο πεπίστωται παρ' αὐτῶν τῶν θεολόγων. καὶ μὴν ὅτι τούτων οἱ μὲν, κακοποιοί· οἱ δὲ, ἀγαθοί· οἳ οὐκ ἐνοχλήσουσιν ἡμῖν ἀπαρχομένοις ἐκ μόνων ὧν ἐσθίομεν καὶ τρέφομεν, ἢ τὸ σῶμα, ἢ τὴν ψυχὴν, καὶ τούτου μέμνηται. ὀλίγα δ' ἔτι προσθέντες, ὡς καὶ αἱ ἀδιάστροφοι ἔννοιαι τῶν πολλῶν ἐπιβάλλουσι τῇ ὀρθότητι περὶ τῶν θεῶν ὑπολήψει, τὸ βιβλίον περιγράψομεν· λέγουσι γοῦν καὶ τῶν ποιητῶν οἱ ἐπ' ὀλίγον σωφρονοῦντες.

» Τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος.
» Εὔπιστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς.
» Ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης.
» Ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα.
» Χαίρειν ἅπαντας καὶ γέρας λαχεῖν τόδε. ἄλλος δέ φησιν.
» Ψαιστὰ, λιβανωτὸν μόνα τ' αὐτὸν ἥσομαι.
» Οὐ τοῖς φίλοις θύω γὰρ, ἀλλὰ τοῖς θεοῖς τανῦν.

Ἐπεὶ καὶ Ἀπόλλων παραινῶν θύειν κατὰ τὰ πάτρια. τουτέστιν κατὰ τὸ ἔθος τῶν πατέρων, ἅπαν ἄγειν ἔοικεν εἰς τὸ παλαιὸν ἔθος. τὸ δὲ παλαιὸν διὰ τῶν ποπάνων καὶ τῶν καρπῶν ἦν, ὡς ἀπεδείξαμεν. ὅθεν καὶ θυσίαι, καὶ θυηλαὶ, καὶ θυμέλαι ἐκαλοῦντο. καὶ αὐτὸ τὸ θύειν τὴν θυμιᾶν εἶχε, καὶ τὴν νῦν παρ' ἡμῖν λεγομένην ἐπιθύειν· ὃ γὰρ ἡμεῖς νῦν θύειν λέγομεν, ἔρδειν ἔλεγον.

» Ἔρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας.

» Ταύρων ἢ δ' αἰγῶν. ἀγνοοῦσι δὲ οἱ τὴν πολυτέλειαν εἰσαγαγόντες εἰς τὰς θυσίας, ὅπως ἅμα ταύτῃ ἑσμὸν κακῶν εἰσήγαγον. δεισιδαιμονίαν, τρυφὴν, ὑπόληψιν τοῦ δεκάζειν δύνασθαι τὸ θεῖον καὶ θυσίαις ἀκεῖσθαι τὴν ἀδικίαν. ἢ πόθεν οἱ μὲν, τριττύας χρυσοκέρως, οἱ δ', ἑκατόμβας. Ὀλυμπιὰς δ' ἡ Ἀλεξάνδρου μήτηρ πάντα χίλια ἔθυεν. ἅπαξ τῆς πολυτελείας ὑπὸ τὴν δεισιδαιμονίαν προαγούσης. ὅταν δὲ νέος θεοὺς χαίρειν πολυτελείαις γνῷ, καὶ ὥς φασι, τοῖς τῶν βοῶν καὶ τοῖς τῶν ἄλλων ζώων θοίναις, πάντ' ἂν ἑκὼν σωφρονήσειεν. πῶς δὲ κεχαρισμένα θύειν ἡγούμενος τοῖς θεοῖς ταῦτα, οὐκ ἐξεῖναι ἀδικεῖν οἰήσεται αὐτῷ, μέλλοντι δὴ ταῖς θυσίαις ἐξωνεῖσθαι τὴν ἁμαρτίαν; πεισθεὶς δὲ, ὅτι τούτων χρείαν οὐκ ἔχουσιν οἱ θεοὶ, εἰς δὲ τὸ ἦθος ἀποβλέπουσι τῶν προσιόντων, μεγίστην θυσίαν λαμβάνοντες τὴν ὀρθὴν περὶ αὐτῶν τε καὶ τῶν πραγμάτων διάληψιν, πῶς οὐ σώφρων, καὶ ὅσιος, καὶ δίκαιος ἔσται. θεοῖς δὲ ἀρίστη μὲν ἀπαρχὴ, νοῦς καθαρὸς καὶ ψυχὴ ἀπαθὴς, οἰκεῖον δὲ καὶ τὸ μετρίων μὲν ἀπάρχεσθαι τῶν ἄλλων: μὴ παρέργως δὲ, ἀλλὰ σὺν πάσῃ προθυμίᾳ: ἐοικέναι γὰρ δὴ τὰς τιμὰς, ταῖς ὑπὸ τῶν ἀγαθῶν προεδρίαις: ἐπαναστάσεσί τε καὶ κατακλίσεσιν, οὐ συντάξεων δόσεσιν: οὐ γὰρ δὴ ἄνθρωπος μὲν ἐρεῖ.

» Εἰ μνημονεύεις, σὺ παθὼν: φιλεῖς τέ με.

» Ἀπέχω πάλαι φιλεῖν: ἐπαλλάσσου χάριν.

» Τούτου γὰρ αὐτὴν ἕνεκεν παρὰ σὲ κατεθέμην.

Θεὸς δὲ οὐκ ἀρκεῖται τούτοις. διόπερ ὁ Πλάτων τῷ μὲν ἀγαθῷ θύειν φησὶν προσήκει καὶ προσομιλεῖν ἀεὶ τοῖς θεοῖς εὐχαῖς καὶ ἀναθήμασι, καὶ θυσίαις, καὶ τῇ πάσῃ θεραπείᾳ: τῷ δὲ κακῷ μάτην περὶ θεοὺς τὸν πολὺν εἶναι πόνον. ὁ γὰρ ἀγαθὸς οἶδεν ἃ θυτέον, καὶ ὧν ἀφεκτέον καὶ τίνα προσενεκτέον, καὶ τίνων ἀπαρκτέον: ὁ δὲ φαῦλος ἐκ τῆς οἰκείας διαθέσεως καὶ ἂν αὐτὸς ἑαυτῷ δέδωκεν, προσάγων τοῖς θεοῖς τὰς τιμὰς, ἀσεβεῖ μᾶλλον ἢ εὐσεβεῖ: διὸ οὐδ' οἴεται δεῖν τοῖς φαύλοις ὁ Πλάτων ἐθισμοῖς συμπεριφέρεσθαι τὸν φιλόσοφον: οὔτε γὰρ τοῖς θεοῖς ἐστὶ φίλον, οὔτε τοῖς ἀνθρώποις συμφέρον, ἀλλὰ μεταβάλλειν μὲν πειρᾶσθαι εἰς τὸ ἄμεινον: εἰ δὲ μὴ, αὐτὸν περὶ αὐτὰ μὴ μεταβάλλεσθαι. μετιέναι δὲ τὴν ὀρθὴν ὁδὸν αὐτὸν πορευόμενον μήτε κινδύνους τοὺς ἀπὸ τῶν πολλῶν εὐλαβούμενον: μήτε τὴν ἄλλην, εἴ τις γίγνοιτο βλασφημία καὶ τὸ δεινὸν ἂν εἴη, Σύρους μὲν τῶν ἰχθύων μὴ ἂν γεύσασθαι: μηδὲ τοὺς Ἑβραίους συῶν: Φοινίκων δὲ τοὺς πολλοὺς καὶ Αἰγυπτίων βοῶν θηλειῶν, ἀλλὰ καὶ βασιλέων πολλῶν μεταβαλεῖν αὐτοὺς σπουδασάντων, θάνατον ὑπομεῖναι μᾶλλον, ἢ τὴν τοῦ νόμου παράβασιν. ἡμᾶς δὲ τοὺς τῆς φύσεως νόμους καὶ τὰς θείας παραγγελίας φόβων ἕνεκα ἀνθρωπίνων ἤ τινος βλασφημίας, τῆς ἀπὸ τούτων αἱρεῖσθαι παραβαίνειν, ἦ μέγα ὁ θεῖος χορὸς χλευάσειεν ἂν, θεῶν τε ὁμοῦ καὶ ἀνδρῶν θείων, τὰς ἀνθρώπων φαύλων δόξας ὁρῶν ἡμᾶς κεχηνότας. καὶ τὸν παρὰ τούτων φόβον ὑφορωμένους, οἱ καθ' ἡμέραν μελέτην ἐν τῷ βίῳ, τὸ ἀποθνήσκειν τοῖς ἄλλοις πεποιήμεθα.

Τέλος τοῦ δευτέρου περὶ ἀποχῆς ἐμψύχων.

ΠΟΡΦΥΡΙΟΥ ΦΙΛΟΣΟΦΟΥ
ΠΕΡΙ ΑΠΟΧΗΣ ΕΜΨΥΧΩΝ
ΒΙΒΛΙΟΝ. Γ'.

ΣΜεὶ οὔτε πρὸς σωφροσύνην καὶ λιτότητα· οὔτε πρὸς εὐσέβειαν, αἳ μάλιστα πρὸς τὸν θεωρητικὸν συντείνουσι βίον, ἡ τῶν ἐμψύχων βρῶσις συμβάλλεται, ἀλλὰ μᾶλλον ἐναντιοῦται διὰ τῶν φθασάντων ὦ Φίρμε Καστρίκιε δυεῖν βιβλίων ἀπεδείξαμεν. τῆς δὲ δικαιοσύνης τὸ κάλλιστον ἐν τῇ πρὸς τοὺς θεοὺς εὐσεβείᾳ κεκτημένης· ταύτης δὲ ὡς ἔνι μάλιστα διὰ τῆς ἀποχῆς συνισταμένης, οὐ δέος ἐστὶ περὶ τοῦ πρὸς ἀνθρώπους δικαίου. μή πη τοῦτο παρασαλεύσωμεν, τήν γε πρὸς τοὺς θεοὺς ὁσιότητα διασώζοντες. Σωκράτης μὲν οὖν πρὸς τοὺς περὶ ἡδονῆς διαμφισβητοῦντας εἶναι τὸ τέλος, οὐδ' ἂν πάντες ἔφη σύες καὶ τράγοι τούτῳ συναινοῖεν, πεισθήσεσθαι ἂν ἐν τῷ ἥδεσθαι τὸ εὔδαιμον ἡμῶν κεῖσθαι, ἕστ' ἂν νοῦς ἐν τοῖς πᾶσι κρατῇ. ἡμεῖς δὲ οὐδ' ἂν πάντες λύκοι ἢ γῦπες τὴν κρεοφαγίαν δοκιμάζωσιν, οὐ συγχωρήσομεν τούτοις δίκαια λέγειν, ἕστ' ἂν ὁ ἄνθρωπος ἀβλαβὴς ᾖ φύσει καὶ ἀφεκτικὸς τοῦ διὰ τῆς ἄλλων βλάβης, αὑτῷ τὰς ἡδονὰς πορίζεσθαι. ὅθεν τὸν περὶ τῆς δικαιοσύνης λόγον μεταβαίνοντες, ἐπείπερ ταύτην πρὸς τὰ ὅμοια δεῖν μόνα παρατείνειν εἰρήκασιν οἱ ἀντιλέγοντες· καὶ διὰ τοῦτο τὰ ἄλογα διαγράφουσι τῶν ζώων, φέρε ἡμεῖς τὴν ἀληθῆ τε ὁμοῦ καὶ Πυθαγόρειον δόξαν παραστήσωμεν, πᾶσαν ψυχήν, ᾗ μέτεστιν αἰσθήσεως καὶ μνήμης, λογικὴν εἶναι ἐπιδεικνύντες· τούτου γὰρ ἀποδειχθέντος, εἰκότως ἂν καὶ κατὰ τούτους πρὸς πᾶν ζῶον τὸ δίκαιον παρατείνοιμεν· ἐροῦμεν δὲ τὰ παρὰ τοῖς παλαιοῖς συντόμως ἐπιτέμνοντες. Διττοῦ δὴ λόγου κατὰ τοὺς ἀπὸ τῆς στοᾶς ὄντος· τοῦ μὲν, ἐνδιαθέτου, τοῦ δὲ προφορικοῦ. καὶ πάλιν τοῦ μὲν κατορθουμένου· τοῦ δὲ, ἡμαρτημένου, πότερον ἀποστεροῦσι τὰ ζῶα, διαρθρῶσαι προσήκει· ἆρά γε τοῦ ὀρθοῦ μόνου· οὐχ ἁπλῶς δὲ τοῦ λόγου; ἢ παντελῶς παντὸς τοῦ τε ἔσω καὶ τοῦ ἔξω προϊόντος; ἐοίκασι δὴ τὴν παντελῆ στέρησιν αὐτῶν κατηγορεῖν. οὐ τὴν τοῦ κατορθουμένου μόνον. οὕτω γὰρ ἂν οὐκ ἄλογα, λογικὰ δὲ ἦν ἔτι τὰ ζῶα, καθάπερ σχεδὸν πάντες κατ' αὐτοὺς οἱ ἄνθρωποι. σοφὸς μὲν γὰρ ἢ εἷς ἢ καὶ δύο κατ' αὐτοὺς γεγόνασιν· ἐν οἷς μόνοις ὁ λόγος κατώρθωται. οἱ δὲ ἄλλοι φαῦλοι πάντες, κἂν οἱ μὲν ὦσι προκόπτοντες· οἱ δὲ χύσιν τῆς φαυλότητος ἔχοντες. εἰ καὶ πάντες ὁμοίως λογικοί. ὑπὸ δὴ τῆς φιλαυτίας προαγόμενοι, ἄλογα φασὶ τὰ ζῶα ἐφεξῆς τὰ ἄλλα σύμπαντα, τὴν παντελῆ στέρησιν τοῦ λόγου διὰ τῆς ἀλογίας μηνύειν ἐθέλοντες· καίτοι εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐ μόνον ἁπλῶς ὁ λόγος ἐν πᾶσι τοῖς ζώοις θεωρεῖται. ἐν πολλοῖς δὲ αὐτῶν καὶ ἀφορμὰς ἔχων πρὸς τὸ τέλειον. ἐπεὶ τοίνυν διττὸς ἦν· ὁ μὲν, ἐν τῇ προφορᾷ· ὁ δὲ, ἐν τῇ διαθέσει, ἀρξώμεθα πρότερον ἀπὸ τοῦ προφορικοῦ καὶ τοῦ κατὰ τὴν φωνὴν τεταγμένου. Εἰ δὴ προφορικός ἐστι λόγος φωνὴ διὰ γλώττης σημαντικὴ τῶν ἔνδον καὶ κατὰ ψυχὴν παθῶν· κοινοτάτη γὰρ ἡ ἀπόδοσις αὕτη καὶ αἱρέσεως οὐδέπω ἐχομένη, ἀλλὰ μόνον τῆς τοῦ λόγου ἐννοίας, τί τούτου ἄπεστι τῶν ζώων ὅσα φθέγγεται· τί δὲ οὐχὶ καὶ ἃ πάσχει τὶ πρότερον, καὶ πρὶν εἰπεῖν ὃ μέλλει διενοήθη· λέγω δὴ διάνοιαν τὸ ἐν τῇ ψυχῇ κατὰ σιγὴν φανόμενον. τοῦ τοίνυν ὑπὸ τῆς γλώττης φωνηθέντος, ὅπως ἂν καὶ φωνηθῇ, εἴτε βαρβάρως, εἴτε ἑλληνικῶς, εἴτε κυνικῶς, ἢ βοϊκῶς λόγου γε ὄντος, μέτοχα τὰ ζῶα φωνητικά. τῶν μὲν ἀνθρώπων, κατὰ νόμους τοὺς ἀνθρωπείους φθεγγομένων· τῶν δὲ ζώων, κατὰ νόμους, οὓς παρὰ τῶν θεῶν, καὶ τῆς φύσεως εἴληχεν ἕκαστον. εἰ δὲ μὴ ἡμεῖς ξυνίεμεν, τί τοῦτο; οὐδὲ γὰρ τῆς Ἰνδῶν, οἱ Ἕλληνες· οὐδὲ τῆς Σκυθῶν, ἢ Θρᾳκῶν, ἢ Σύρων, οἱ ἐν τῇ Ἀττικῇ τραφέντες· ἀλλ' ἴσα κλαγγῇ γεράνων, ὁ τῶν ἑτέρων τοῖς ἑτέροις ἦχος προσπίπτει. καίτοι ἐγγράμματος τοῖς ἑτέροις ἡ αὐτῶν καὶ ἔναρθρος, ὡς καὶ ἡμῖν ἡ ἡμετέρα· ἄναρθρος δὲ καὶ ἀγράμματος ἡ τῶν Σύρων φέρε

εἴπερ ἦν ἡ τῶν Περσῶν· ὡς καὶ πᾶσιν, ἡ τῶν ζώων· καθάπερ γὰρ ἡμεῖς ψόφου μόνου ἀντιλαμβανόμεθα καὶ ἤχου, ἀξύνετοι ὄντες τῆς φέρε Σκυθῶν ὁμιλίας καὶ κλαγγάζειν δοκοῦσιν καὶ μηδὲν διαρθροῦν, ἀλλ' ἑνὶ ψόφῳ χρῆσθαι μακροτέρῳ ἢ βραχυτέρῳ· τὸ παρηλλαγμένον δὲ αὐτοῦ εἰς σημασίαν οὐδαμῶς προσπίπτει· ἐκείνοις δὲ εὐσύνετος ἡ φθέγξις καὶ πολὺ τὸ διάφορον ἔχουσα, καθάπερ ἡμῖν ἡ συνήθης· οὕτως καὶ ἐπὶ τῶν ζώων ἡ ξύνεσις μὲν ἐκείνοις κατὰ γένος οἰκείως προσπίπτει. ἡμῖν δὲ ὁ ψόφος μόνος ἐξακούεται τῆς σημασίας ἐκλειπούσης. διὰ τὸ μηδένα διδαχθέντα τὴν ἡμετέραν, διδάξαι ἡμᾶς διὰ τῆς ἡμετέρας τὴν ἑρμηνείαν τῶν λεγομένων παρὰ τοῖς ζώοις. καίτοι εἰ δεῖ πιστεύειν τοῖς παλαιοῖς καὶ τοῖς ἐφ' ἡμῶν καὶ τῶν πατέρων γεγονόσιν, εἰσὶν οἳ λέγονται ἐπακηκοέναι καὶ σύνεσιν ἔχειν τῆς τῶν ζώων φθέγξεως. ὡς ἐπὶ μὲν τῶν παλαιῶν ὁ Μελάμπους, καὶ ὁ Τειρεσίας, καὶ οἱ τοιοῦτοι. οὐ πρὸ πολλοῦ δὲ Ἀπολλώνιος ὁ Τυανεύς· ἐφ' οὗ καὶ λέγεται, ὅτι τοῖς ἑταίροις συνόντος, χελιδόνος ἐπιστάσης καὶ φθεγγομένης, εἶπεν, ὅτι μηνύει ἡ χελιδὼν ταῖς ἄλλαις ὄνον πρὸ τοῦ ἄστεως πεπτωκέναι, σῖτον βαστάζοντα φορτίον· ὃ δὴ κεχύσθαι εἰς τὴν γῆν, τοῦ ἀχθοφοροῦντος πεπτωκότος. ἑταῖρος δὲ ἡμῶν ἐξηγεῖτό τις, οἰκέτου εὐτυχῆσαι παιδός, ὃς πάντα ξυνεῖ τὰ φθέγματα τῶν ὀρνίθων, καὶ ἦν πάντα μαντικὰ, καὶ τοῦ μετ' ὀλίγον μέλλοντος ἀγγελτικά· ἀφαιρεθῆναι δὲ τὴν σύνεσιν τῆς μητρὸς εὐλαβηθείσης μὴ δῶρον αὐτὸν βασιλεῖ πέμψειεν, καὶ καθευδόντος εἰς τὰ ὦτα ἐνουρησάσης. ἀλλ' ἵνα ταῦτα παρῶμεν διὰ τὸ σύμφυτον ἡμῖν πάθος τῆς ἀπιστίας, ἀλλὰ τῶν γε ἐθνῶν ἐς ἔτι καὶ νῦν, ὅτι ὥσπερ τινὰ ξυγγένειαν ἔχει πρός τινων ζώων σύνεσιν τῆς φθέγξεως, οὐδεὶς οἶμαι ἠγνόηκεν. Ἀραβες μὲν, κοράκων ἀκούουσιν· Τυῤῥηνοὶ δ', ἀετῶν· τάχα δ' ἂν καὶ ἡμεῖς καὶ πάντες οἱ ἄνθρωποι συνετοὶ ἦμεν πάντων τῶν ζώων, εἰ καὶ ἡμῶν τὰ ὦτα δράκων ἐξέλειψε. δηλοῖ γε μὴν καὶ τὸ ποικίλον, καὶ διάφορον τῆς φθέγξεως αὐτῶν τὸ σημαντικόν· ἄλλως γοῦν ἀκούεται, ὅταν φοβῆται φθεγγόμενα· ἄλλως, ὅταν καλῇ. ἄλλως, ὅταν εἰς τροφὴν παρακαλῇ· ἄλλως ὅταν φιλοφρονῆται· ἄλλως ὅταν προκαλῆται εἰς μάχην· καὶ τοσοῦτον ἐστὶ τὸ διάφορον, ὡς καὶ σφόδρα δυσπαρατήρητον τὴν παραλλαγὴν εἶναι διὰ τὸ πλῆθος καὶ τοῖς τὸν βίον εἰς τὴν τούτων τήρησιν καταθεμένοις. κορώνης γοῦν καὶ κόρακος οἰωνισταὶ, ἄχρι τινὸς πλήθους τὸ διάφορον σημειωσάμενοι, τὸ λοιπὸν εἰάκασιν. ὡς οὐκ ὂν ἀνθρώπῳ εὐπερίληπτον· ὅταν δὲ μὴ πρὸς ἄλληλα φθέγγηται, φανερά τε καὶ εὔσημα. εἰ καὶ μὴ πᾶσιν ἡμῖν γνώριμα. φαίνονται δὲ καὶ ἡμᾶς μιμούμενα, καὶ τὴν ἑλλάδα γλῶτταν ἐκμανθάνοντα καὶ συνιέντα τῶν ἐφεστώτων. τίς οὕτως ἀναιδὴς, ὡς μὴ συγχωρεῖν εἶναι λογικὰ, διότι αὐτὸς οὐ συνίησιν, ὧν λέγουσιν. κόρακες γοῦν καὶ κίτται· ἐριθακοί τε, καὶ ψιττακοὶ ἀνθρώπους μιμοῦνται, καὶ μέμνηνται, ὧν ἂν ἀκούσωσι, καὶ διδασκόμενοι ὑπακούουσι τῷ διδάσκοντι, καὶ πολλοί γε ἐμήνυσαν, δι' ὧν ἐδιδάχθησαν, καὶ τοὺς ἁμαρτάνοντας κατὰ τὸν οἶκον. ἡ δ' ἰνδικὴ ὕαινα, ἣν κροκότταν οἱ ἐπιχώριοι καλοῦσι, καὶ ἄνευ διδασκάλου οὕτω φθέγγεται ἀνθρωπικῶς, ὡς καὶ ἐπιφοιτᾶν ταῖς οἰκίαις καὶ καλεῖν ὃν ἴδῃ εὐχείρωτον αὐτῇ. καὶ μιμεῖταί γε τοῦ φιλτάτου, καὶ ᾧ ἂν πάντως ὑπακούσειεν ὁ κληθεὶς τὸ φθέγμα· ὡς καὶ παρειδότας τοὺς Ἰνδοὺς διὰ τῆς ὁμοιότητος ἐξαπατᾶσθαι καὶ ἀναλίσκεσθαι ἐξιόντας τε καὶ πρὸς τὸ φθέγμα ὑπακούοντας. εἰ δὲ μὴ πάντα μιμεῖται καὶ μὴ δὲ πάντα εὐμαθεῖ τῆς ἡμετέρας, τί τοῦτο; οὐδὲ γὰρ ἄνθρωπος πᾶς εὐμαθὴς ἢ μιμητικὸς, οὐχ ὅτι τῆς τῶν ζώων, ἀλλ' οὐδὲ πέντε που διαλέκτων τῶν παρ' ἀνθρώποις. τίνα δὲ καὶ τῷ μὴ διδάσκεσθαι ἴσως οὐ φθέγγεται, ἢ καὶ τῷ ὑπὸ τῶν ὀργάνων τῆς φωνῆς ἐμποδίζεσθαι. ἡμεῖς γοῦν κατὰ Καρχηδόνα πέρδικος ἐπιπτάντος ἡμέρου, τρέφοντες τοῦτον τοῦ χρόνου προϊόντος καὶ τῆς συνηθείας εἰς πολλὴν ἡμερότητα αὐτὸν μεταβαλλούσης, οὐ μόνον σαίνοντος καὶ θεραπεύοντος ᾐσθόμεθα καὶ προσπαίζοντος, ἀλλ' ἤδη καὶ ἀντιφθεγγομένου πρὸς τὸ ἡμέτερον φθέγμα, καὶ καθ' ὅσον ἦν δυνατὸν ἀποκρινομένου, ἀλλοίως ἢ καὶ καλεῖν ἀλλήλους εἰώθασιν οἱ πέρδικες, οὔκουν σιωπῶντος· φθεγξαμένου δ' ἀντεφθέγξατο μόνον. ἱστορεῖται δὲ καὶ τῶν ἀφθόγγων, οὕτως ἑτοίμως ὑπακούειν τοῖς δεσπόταις, ὡς οὐκ ἄνθρωπος τῶν συνήθων. ἡ γοῦν Κράσσου τοῦ ῥωμαϊκοῦ μύραινα ὀνόματι καλουμένη, προσῄει τῷ Κράσσῳ, ὃν καὶ οὕτως διέθηκεν, ὡς πενθῆσαι ἀποθανοῦσαν, τριῶν τέκνων ἀποβολὴν πρότερον μετρίως ἐνεγκόντα. καὶ ἐγχέλεις δὲ πολλοὶ ἱστόρησαν τὰς ἐν Ἀρεθούσῃ, καὶ κεστρέ-

δας τοὺς περὶ Μαίανδρον ὑπακούοντας τοῖς καλοῦσιν· οὐκοῦν φαντασία ἡ αὐτὴ τῇ τοῦ λέγοντος, ἐάν δ' ἔχωσι γλῶτταν ἐξηκονημένην, ἐάν τε μή. πῶς οὖν οὐκ ἀγνῶμον, μόνην λόγον τὴν ἀνθρώπου φωνὴν λέγειν, ὅτι ἡμῖν ξυνετή· τὴν δὲ τῶν ἄλλων ζώων, παραιτεῖσθαι· ὅμοιον γὰρ ὡς εἰ κόρακες τὴν σφῶν, μόνην ἠξίουν εἶναι φωνήν. ἡμᾶς δ' εἶναι ἀλόγους. διότι οὐκ αὐτοῖς σημαντικὰ φθεγγόμεθα· ἢ οἱ Ἀττικοὶ, εἰ μόνην τὴν Ἀτθίδα ἔλεγον φωνήν· τοὺς δ' ἄλλους, ἀλόγους ἡγοῖντο· τοὺς λέξεως Ἀττικῆς ἀμοιροῦντας. καίτοι θᾶττον ἂν κόρακος ξυνίεσιν λάβοι ὁ Ἀττικὸς ἢ Σύρου, ἢ Πέρσου· συριάζοντος καὶ περσίζοντος. ἀλλὰ μήποτε ἄτοπον ἐκ τῆς εὐξυνέτου φθέγξεως ἢ μὴ, ἢ τῆς σιγῆς καὶ φωνῆς, τὸ λογικὸν κρίνειν καὶ τὸ ἄλογον· οὕτω γὰρ καὶ τὸν ἐπὶ πᾶσι θεὸν καὶ τοὺς ἄλλους, τῷ δὲ μὴ φθέγγεσθαι, φαίη ἄν τις μὴ εἶναι λογικούς. ἀλλ' οἵ γε θεοὶ σιγῶντες, μηνύουσι· καὶ ξυνιᾶσιν αὐτῶν ὄρνιθες θᾶττον, ἢ ἄνθρωποι καὶ συνιέντες ἀπαγγέλλουσιν ὡς δύνανται, καὶ τοῖς ἀνθρώποις εἰσὶ κήρυκες ἄλλοι, ἄλλων θεῶν. ὧν Διὸς μὲν, ἀετός· Ἀπόλλωνος δὲ, ἱέραξ καὶ κόραξ· Ἥρας δὲ, πελαργός· Ἀθηνᾶς δὲ, αἴθυξ τε, καὶ γλαύξ. καὶ Δήμητρος, γέρανος. ὡς ἄλλων ἄλλο. καὶ μὴν καὶ ἡμῶν οἱ παρατηροῦντες, καὶ οἱ σύντροφοι γιγνώσκουσιν αὐτῶν τὰ φθέγματα. ὁ γοῦν κυνηγέτης ἀπὸ τῆς φωνῆς αἰσθάνεται τοῦ κυνὸς ὑλακτοῦντος, νῦν μὲν, ὅτι ζητεῖ τὸν λαγών. νῦν δὲ, ὅτι εὗρεν. νῦν δὲ, ὅτι διώκει· νῦν δὲ, ὅτι ἔλαβεν. καὶ πλανωμένου, ὅτι πλανᾶται. καὶ ὁ βουκόλος οἶδεν νῦν μὲν, ὅτι ἡ βοῦς πεινῇ, ἢ διψῇ, ἢ κέκμηκεν, ἢ ὀργᾷ, ἢ τὸν μόσχον ζητεῖ. καὶ λέων βρυχώμενος δηλοῖ ὅτι ἀπειλεῖ, καὶ λύκος ὠρυόμενος, ὅτι κακῶς πράσσει, καὶ ὄϊς βληχώμεναι, οὐκ ἔλαθον τὸν ποιμένα, ὅτου δέονται. οὐ τοίνυν οὐδὲ ἐκεῖνα ἔλαθεν ἡ τῶν ἀνθρώπων φωνὴ, οὐκ ὀργιζομένων, οὐ φιλοφρονουμένων, οὐ καλούντων, οὐχ ἡ διωκόντων, οὐχ ἡ αἰτούντων, οὐχ ἡ διδόντων, οὐδεμία ἁπλῶς, ἀλλὰ πάσαις οἰκείως ὑπήκουσαν. ὅπερ ἀδύνατον ποιεῖν μὴ τοῦ ὁμοίου τῇ ξυνέσει τῷ ὁμοίῳ ἐνεργοῦντος· σωφρονίζονται δὲ καὶ μάλιστα, καὶ ἥμεροι ἐξ ἀγρίων γίνονται, ἔλαφοι, καὶ ταῦροι, καὶ ἕτερα ζῷα. διαλεκτικῆς μὲν αὐτοὶ φασὶν, οἱ τὸ ἄλογον αὐτῶν καταψηφιζόμενοι, ἐπειδὰν οἱ κύνες κεχρῆσθαί τι τῷ διὰ πλειόνων διεζευγμένῳ, ἰχνεύοντας, ὅταν εἰς τριόδους ἀφίκωνται. ἤτοι γὰρ ταύτην, ἢ ἐκείνην, ἢ τὴν ἑτέραν, ἀπεληλυθέναι τὸ θηρίον· οὔτε δὲ ταύτην, οὔτε ταύτην· ταύτην ἄρα. καθ' ἣν λοιπὸν καὶ διώκειν. ἀλλ' ἕτοιμον λέγειν, φύσει ταῦτα ποιεῖν, ὅτι μηδεὶς αὐτὰ ἐξεδίδαξεν, ὡς δὴ καὶ ἡμῶν τὸν λόγον οὐ φύσει κεκληρωμένων. εἰ καί τινα τίθεμεν τῶν ὀνομάτων αὐτοὶ δὴ τῷ καὶ πρὸς τοῦτο ἐπιτηδείως ἔχειν κατὰ φύσιν. εἰ μέντοι πιστεύειν δεῖ Ἀριστοτέλει καὶ διδάσκοντα ὤφθη, οὐ μόνον τῶν ἄλλων τι ποιεῖν τὰ τέκνα τὰ ζῷα, ἀλλὰ καὶ φθέγγεσθαι· ὡς ἀηδὼν τὸν νεοττὸν ᾄδειν. καὶ ὡς αὐτός γε φησὶν, πολλὰ μὲν παρ' ἀλλήλων μανθάνει ζῷα· πολλὰ δὲ καὶ παρ' ἀνθρώπων, καὶ πᾶς αὐτῷ ἀληθεύοντι μαρτυρεῖ. πᾶς μὲν ὀρνιθοθήρας. πᾶς δὲ ἱπποκόμος τε, καὶ ἱππεὺς καὶ ἡνίοχος· πᾶς δὲ κυνηγέτης τε, καὶ ἐλεφαντιστὴς, καὶ βουκόλος, καὶ οἱ τῶν θηρίων διδάσκαλοι οἵ τε τῶν ὀρνίθων πάντες. ἀλλ' ὁ μὲν εὐγνώμων, καὶ ἐκ τούτων μεταδίδωσι ξυνέσεως τοῖς ζῴοις· ὁ δὲ ἀγνώμων καὶ ἀνιστόρητος αὐτῶν, φέρεται ξυνηγορῶν αὐτοῦ τῇ εἰς αὐτὰ πλεονεξίᾳ. καὶ πῶς γὰρ οὐκ ἔμελλε κακολογήσειν καὶ διαβαλεῖν, ἃ κατακόπτειν ὡς λίθον, προῄρητο. ἀλλ' Ἀριστοτέλης γε, καὶ Πλάτων· Ἐμπεδοκλῆς τε, καὶ Πυθαγόρας· Δημόκριτός τε, καὶ ὅσοι ἐφρόντισαν τὴν ἀλήθειαν περὶ αὐτῶν ἑλεῖν, ἔγνωσαν τὸ μετέχον τοῦ λόγου. Δεικτέον δὲ καὶ τὸν ἐντὸς αὐτῶν, καὶ ἐνδιάθετον. φαίνεται δὲ ἡ παραλλαγὴ, ὥς φησί που καὶ Ἀριστοτέλης, οὐκ οὐσίᾳ διαλλάττουσα, ἀλλ' ἐν τῷ μᾶλλον καὶ ἧττον θεωρουμένη. καθάπερ πολλοὶ οἴονται καὶ τὴν θεῶν πρὸς ἡμᾶς διηλλάχθαι, οὐ κατ' οὐσίαν οὔσης τῆς διαφορᾶς ταύτης. ἀλλὰ κατὰ τὸ ἀκριβὲς, ἢ μὴ, τοῦ λόγου. καὶ ὅτι μὲν ἄχρι γε αἰσθήσεως τῆς τε ἄλλης ὀργανώσεως τῆς τε κατὰ τὰ αἰσθητήρια, καὶ τῆς κατὰ σάρκα ὁμοίως ἡμῖν διάκειται, πᾶς σχεδὸν συγκεχώρηκε. καὶ γὰρ οὐ μόνον τῶν κατὰ φύσιν παθῶν τε καὶ κινημάτων, τῶν διὰ τούτων, ὁμοίως ἡμῖν κεκοινώνηκεν, ἀλλ' ἤδη καὶ τῶν παρὰ φύσιν, καὶ νοσωδῶν ἐν αὐτοῖς θεωρουμένων. οὐκ ἂν δέ τις εὖ φρονῶν διὰ τὸ ἐξηλλαγμένον τῆς ἕξεως τοῦ σώματος, ἄδεκτα λογικῆς εἴποι διαθέσεως, ὁρῶν καὶ ἐπ' ἀνθρώπων πολλὴν τὴν παραλλαγὴν τῆς ἕξεως κατά γε γένη καὶ ἔθνη, καὶ ὅμως λογικοὺς συγχωρῶν πάντας.

ὄνος μέν γε κατάῤῥῳ ἁλίσκεται, κἂν εἰς πνεύμονα αὐτῷ ἐνσκήψῃ τὸ νόσημα, ἀποθνήσκει ὥσπερ ἄνθρωπος. ἵππος δὲ καὶ ἔμπυος γίνεται καὶ φθίνει, ὥσπερ ἄνθρωπος. καὶ τέτανος λαμβάνει ἵππον, καὶ ποδάγρα, καὶ πυρετὸς, καὶ λύσσα· ὁπότε καὶ κατωπιᾶν λέγεται. καὶ ἡ κύουσα ἵππος, ἐπειδὰν ὀσφρήσηται λύχνου ἀποσβεσμένου, ἀμβλίσκει ὡς ἄνθρωπος. πυρέττει δὲ καὶ βοῦς καὶ μαίνεται, καθάπερ καὶ ὁ κάμηλος· κορώνη δὲ ψωριᾷ, καὶ λεπριᾷ, καὶ κύων. οὗτος μέν γε, καὶ ποδαγριᾷ, καὶ λυσσᾷ. ὗς δὲ βραγχᾷ, καὶ ἔτι μᾶλλον κύων· καὶ τὸ πάθος ἐν ἀνθρώπῳ ἀπὸ τοῦ κυνὸς, κυνάγχη κέκληται. καὶ ταῦτα γνώριμα, ἐπεὶ συνόμα ταῦτα ἡμῖν τὰ ζῶα. τῶν δὲ ἄλλων ἐσμὲν ἄπειροι διὰ τὸ ἀσυνήθες. καὶ εὐνουχιζόμενα δὲ μαλακίζεται. οἱ μέν γε ἀλεκτρυόνες οὐδὲ ᾄδουσιν ἔτι. ἀλλὰ τὴν φωνὴν ἐπὶ τὸ θῆλυ μεταβάλλουσιν, ὥσπερ ἄνθρωποι. βοός τε κέρατα καὶ φωνὴν οὐκ ἔστι διαγνῶναι τομίου, καὶ θήλεος. οἱ δὲ ἔλαφοι οὐκ ἔτι ἀποβάλλουσι τὰ κέρατα, ἀλλὰ συνέχουσιν, ὡς εὐνοῦχοι τὰς τρίχας· μὴ ἔχοντες δὲ, οὐ φύουσιν, ὥσπερ οἱ πρὶν πώγωνα ἐκφῦσαι, ἐκτμηθέντες. οὕτως σχεδὸν ἁπάντων τὰ σώματα ὁμοίως τοῖς ἡμετέροις κατὰ τὰ πάθη. τά γε μὴν τῆς ψυχῆς πάθη ὅρα εἰ μὴ πάντα ὅμοια, καὶ πρῶτά γε τὴν αἴσθησιν· οὐ γὰρ δὴ ἀνθρώπου μὲν ἡ γεῦσις χυμῶν· ἡ δὲ ὄψις χροιῶν, ἢ ὀσμῶν ἡ ὄσφρησις ἀντιλαμβάνεται, ἢ ψόφων ἡ ἀκοή. ἢ θερμῶν, ἢ ψυχρῶν ἡ ἁφὴ, ἢ τῶν ἄλλων ἁπτῶν, οὐχὶ δὲ καὶ τῶν ζώων ἁπάντων ὁμοίως· οὐδὲ ταύτης μὲν ἀφῄρηται τὰ ζῶα, διὰ τὸ μὴ εἶναι ἄνθρωποι· λογικῆς δὲ ἀμοιροῦσι διὰ τοῦτο· ἐπεὶ οὕτω γε καὶ οἱ θεοὶ διὰ τὸ μὴ εἶναι ἄνθρωποι, λογικῆς στερήσονται, ἢ ἡμεῖς, εἴπερ οἱ θεοὶ λογικοί. αἰσθήσεως μέν γε καὶ πλεονεκτεῖν ἔοικε μᾶλλον τὰ ζῶα. τίς μὲν γὰρ ἀνθρώπων τοσοῦτον βλέπει· οὐδὲ γὰρ ὁ μυθευόμενος λυγκεὺς, ὅσον ὁ δράκων· ὅθεν καὶ τὸ βλέπειν δρακεῖν λέγουσιν οἱ ποιηταί· τὸν δὲ ἀετὸν καὶ ὑψόθεν ὄντα, οὐκ ἔλαθε πτώξ. τίς δὲ ὀξυηκοώτερος γεράνων· αἳ ἀπὸ τοσούτων ἀκούουσιν, ὅπως οὐδὲ ἀνθρώπων τις ὁρᾷ· τῇ δὲ γε ὀσφρήσει τοσούτῳ πλεονεκτεῖ σχεδὸν πάντα τὰ ζῶα, ὡς ἐκείνοις προσπίπτειν, τὰ ἡμᾶς λανθάνοντα. καὶ κατὰ γένος ἐπιγινώσκειν ἕκαστον ἤδη καὶ ὑπὸ ἴχνους ὀσφραινόμενα. οἱ δὲ ἄνθρωποι ἡγεμόσι κυσὶ χρῶνται, οἱ διελθεῖν ἐπὶ σῦν ἢ ἔλαφον. καὶ ἡμῶν μὲν, ὀψὲ ἡ τοῦ ἀέρος κατάστασις ἅπτεται· τῶν δὲ ἄλλων ζώων, εὐθύς· ὡς τούτοις τεκμηρίοις χρῆσθαι τοῦ μέλλοντος. τὴν δὲ τῶν χυμῶν διάκρισιν οὕτως οἶδεν ὡς ἐξακριβοῦν, καὶ τὰ νοσερὰ, καὶ τὰ ὑγιεινὰ, καὶ τὰ δηλητήρια, ὡς οὐδὲ ἀνθρώπων οἱ ἰατροί. φρονιμώτερα δέ φησιν ὁ Ἀριστοτέλης εἶναι τὰ εὐαισθητότερα. σωμάτων δὲ παραλλαγαὶ, εὐπαθῆ μὲν ἢ δυσπαθῆ ποιῆσαι δύνανται, καὶ μᾶλλον, καὶ ἧττον πρόχειρον ἔχειν τὸν λόγον. κατ' οὐσίαν δὲ τὴν ψυχὴν ἐξαλλάττειν, οὐ δύνανται· ὅπου γε οὐδὲ τὰς αἰσθήσεις, οὐδὲ τὰ πάθη ἔτρεψεν, οὐδὲ τέλεον ἐκβεβηκυίας ἐποίησεν. εἰ δὴ ἐν τῷ μᾶλλον καὶ ἧττον ἡ διαφορὰ συγχωρείσθω, οὐκ ἐν τῇ τελείᾳ στερήσει· οὐδ' ἐν τῷ καθάπαξ τὸ μὲν, ἔχειν· τὸ δὲ, μή. ἀλλ' ὡς ἐν ἑνὶ γένει τὸ μὲν, ὡς ὑγιεινότερον σῶμα ἐστί· τὸ δὲ, ἧττον. καὶ ἐπὶ νόσου ὁμοίως πολὺ τὸ διάφορον ἔν τε εὐφυΐαις, καὶ ἀφυΐαις, οὕτω καὶ ἐν ψυχαῖς· ἡ μὲν, ἀγαθή· ἡ δὲ, φαύλη. καὶ τῆς φαύλης· ἡ μὲν, μᾶλλον· ἡ δὲ, ἧττον. καὶ τῶν ἀγαθῶν οὐχ ἡ αὐτὴ ἰσότης, οὐδὲ ὁμοίως Σωκράτης ἀγαθὸς καὶ Ἀριστοτέλης, καὶ Πλάτων· οὐδ' ἐν ὁμοδόξοις ἡ ταυτότης. οὐ τοίνυν οὐδ' εἰ μᾶλλον ἡμεῖς νοοῦμεν ἢ τὰ ζῶα, διὰ τοῦτο ἀφαιρετέον τῶν ζώων τὸ νοεῖν· ὥσπερ οὐδὲ τὸ πέτεσθαι τῶν περδίκων, ὅτι μᾶλλον αὐτῶν ἱέρακες πέτονται· οὐδὲ τῶν ἄλλων ἱεράκων, ὅτι καὶ τούτων καὶ τῶν ἄλλων ἁπάντων ὁ φασσοφόνος. συμπάσχειν μὲν οὖν δοίη ἄν τις ψυχὴν σώματι καὶ πάσχειν τι πρὸς αὐτοῦ εὖ ἢ κακῶς διακειμένου. μεταβάλλειν δὲ τὴν αὐτῆς φύσιν, οὐδαμῶς. εἰ δὲ συμπάσχει μόνον, καὶ χρῆται αὐτῷ, ὡς ὀργάνῳ, δράσειε μὲν ἂν δι' αὐτοῦ πολλά. ἀλλοίως ὀργανωμένου ἢ ὡς ἡμῖν· ὧν ἡμεῖς δρᾶν ἀδύνατοι. καὶ συμπάθοι ἄν πως διακειμένου. οὐ μέντοι τὴν αὐτῆς ἐξαλλάξει φύσιν. ὅτι τοίνυν καὶ λογικὰ ἐν αὐτοῖς ἐστι, καὶ οὐκ ἀφῄρηται φρονήσεως, ἐπιδεικτέον. πρῶτον μὲν ἕκαστον οἶδεν εἴτε ἀσθενές ἐστιν, εἴτε ἰσχυρόν. καὶ τὰ μὲν, φυλάττεται· τοῖς δὲ, χρῆται. ὡς πάρδαλις μὲν, ὀδοῦσιν· ὄνυξι δὲ, λέων καὶ ὀδοῦσιν· ἵππος δὲ, ὁπλῇ· καὶ βοῦς, κέρασιν. καὶ ἀλεκτρυὼν μὲν, πλήκτρῳ· σκορπίος δὲ, κέντρῳ· οἱ δ' ἐν Αἰγύπτῳ ὄφεις, πτύσματι. ὅθεν καὶ πτυά-

δες

ὅθεν καλοῦνται· καὶ τυφλοῦσι τὰς ὄψεις τῶν ἐπιόντων· ἄλλο δὲ ἄλλῳ χρῆται, σῶζον ἑαυτὸ ἕκαστον. πάλιν τὰ μὲν ἐκ ποδῶν νέμεται τῶν ἀνθρώπων, ὅσα ἰσχυρά· τὰ δὲ ἀγεννῆ, ἐκ ποδῶν μὲν τῶν ἰσχυροτέρων θηρίων· τοὔμπαλιν δὲ μετὰ τῶν ἀνθρώπων καὶ ἢ πορρωτέρω μέν, ὡς στρουθοὶ ἐν ὀροφαῖς καὶ χελιδόνες, ἢ καὶ συνανθρωποῦνται, ὡς οἱ κύνες· ἀμείβει δὲ καὶ τόπους κατὰ τὰς ὥρας, καὶ πᾶν ὅσον τὸ πρὸς τὸ συμφέρον οἶδεν. ὁμοίως δ' ἄν τις καὶ ἐπὶ ἰχθύων ἴδοι τὸν τοιοῦτον λογισμὸν καὶ ἐπ' ὀρνίθων. ἃ δὴ ἐπὶ πλέον συνῆκται τοῖς παλαιοῖς ἐν τοῖς περὶ ζώων φρονήσεως, τοῦ ταῦτα πολυπραγμονήσαντος ἐπὶ πλέον Ἀριστοτέλους, λέγοντος πᾶσι τοῖς ζώοις μεμηχανῆσθαι πρὸς τὸν βίον καὶ σωτηρίαν αὐτῶν τὴν οἴκησιν. ὁ δὲ φύσει λέγων αὐτοῖς προσεῖναι ταῦτα, ἀγνοεῖ λέγων ὅτι φύσει ἐστὶ λογικά, ἢ ὡς τοῦ λόγου μὴ φύσει ἐν ἡμῖν συνισταμένου καὶ τῆς τελειώσεως μὴ καθὸ πεφύκαμεν τὴν αὔξησιν λαμβανούσης. τὸ μέν γε θεῖον οὐδὲ δὴ μαθήσεως λογικὸν γέγονεν· οὐ γὰρ ἦν ὅτε ἦν ἄλογον, ἀλλ' ἅμα τε ἦν καὶ λογικὸν ἦν, καὶ οὐ κεκώλυται εἶναι λογικόν, ὅτι οὐ δὴ διδασκαλίας ἀνέλαβε τὸν λόγον. καίτοι ἐπὶ τῶν ἄλλων ζώων, καθάπερ ἐπὶ τῶν ἀνθρώπων, τὰ μὲν πολλὰ ἐν αὐτοῖς ἡ φύσις ἐδίδαξεν· τὰ δὲ ἤδη παρέσχε καὶ ἡ μάθησις. διδάσκονται δὲ τὰ μέν, ὑπ' ἀλλήλων· τὰ δέ, ὡς ἔφαμεν ὑπὸ ἀνθρώπων. καὶ ἔχει γε μνήμην, ἥπερ εἰς ἀνάληψιν λογισμοῦ, καὶ φρονήσεως ἐτύγχανεν οὖσα κυριωτάτη· εἰσὶ δὲ καὶ αἱ κακίαι, καὶ οἱ φθόνοι ἐν αὐτοῖς. εἰ καὶ μὴ οὕτω κέχυνται, ὥσπερ ἐν ἀνθρώποις· ἔστι γὰρ αὐτῶν ἡ κακία κουφοτέρα τῆς ἀνθρώπων. αὐτίκα ἀνὴρ μὲν οἰκοδόμος, οἰκίας θεμέλια οὐκ ἂν καταβάλοι, ὅτι μὴ νήφων· οὐδὲ ναυπηγὸς νεὼς τρόπιν, μὴ ὑγιαίνων· οὐδὲ γεωργὸς ἄμπελον φυτεῦσαι, μὴ πρὸς τοῦτο τὸν νοῦν ἔχων. παιδοποιοῦνται δὲ σχεδὸν πάντες μεθύοντες· ἀλλ' οὐ τά γε ζῷα. ζῳογονεῖ δὲ τέκνων ἕνεκα· καὶ τὰ πλεῖστα, ὅταν ἐγκύμονα ποιήσῃ τὴν θήλειαν, οὔτε μὲν αὐτὰ ἐπιβαίνειν ἐπιχειρεῖ· οὔτε τὸ θῆλυ ἀνέχεται. ἡ δὲ ὕβρις ὅση ἐν τούτοις ἡ ἀνθρώπειος καὶ ἀκολασία, δήλη· οἶδεν δὲ ἐπὶ τῶν ζώων τὰς ὠδῖνας ὁ σύνοικος καὶ συνωδίνει γε τὰ πολλά, ὥσπερ καὶ ἀλεκτρυόνες· τὰ δὲ καὶ συνεκλέπει, ὡς τοὺς περιστερᾶς, οἱ ἄρρενες. καὶ τόπου προνοεῖ, ἐν ᾧ μέλλουσι τίκτειν. καὶ γεννήσαν ἕκαστον, ἐκκαθαίρει τὸ γεννώμενον καὶ ἑαυτό. παρατηρήσας δ' ἄν τις, κατίδοι καὶ σὺν τάξει ἰόντα πάντα καὶ διαπαντῶντα μετὰ τοῦ σαίνειν τῷ τρέφοντι καὶ ἐπιγινώσκειν τὸν δεσπότην καὶ μηνύειν τὸν ἐπίβουλον· τὰ δὲ συναγελαστικὰ ὅπως τηρεῖ τὸ δίκαιον τὸ πρὸς ἄλληλα, τίς ἀγνοεῖ; ἔστι μὲν μυρμήκων ἕκαστον· ἔστι δὲ καὶ μελιττῶν, καὶ τῶν ὁμοίων. τίς δὲ σωφροσύνην φαττῶν πρὸς τοὺς συνοίκους· αἳ καὶ μοιχευθεῖσαι, ἀναιροῦσιν, εἰ λάβοιεν, τὸν μοιχεύσαντα. ἢ τῆς τῶν πελαργῶν δικαιοσύνης πρὸς τοὺς τεκόντας ἀνήκοος· ἐξαίρετος γὰρ ἐν ἑκάστῳ ἰδία τις ἀρετὴ πρὸς ἣν πεφύκασιν· οὔτε τῆς φύσεως, οὔτε τοῦ βεβαίου δὴ ἔστιν ἀφαιρουμένου αὐτῶν τὸ λογικόν· ἐκεῖνο γὰρ ἐλέγχειν δεῖ, εἰ μὴ τὰ ἔργα ἀρετῶν καὶ λογικῆς ἐνεργείας οἰκεῖα. εἰ δὲ μὴ συνίεμεν πῶς πράττεται, διὰ τὸ μὴ εἰσδύειν αὐτῶν εἰς τὸν λογισμὸν δύνασθαι, οὐ μέντοι δὴ ἔστιν ἀλογίαν αὐτῶν κατηγορήσομεν. οὐδὲ γὰρ θεοῦ τις εἰς τὸν νοῦν διαδῦναι δύναται· ἐκ δὲ τῶν ἔργων τοῦ ἡλίου συνῃνέσαμεν τοῖς νοερὸν καὶ λογικὸν αὐτὸν ἀποφηναμένοις. Θαυμάσειε δ' ἄν τις τοὺς τὴν δικαιοσύνην ἐκ τοῦ λογικοῦ συνιστάντας, καὶ τὰ μὴ κοινωνοῦντα τῶν ζώων, ἄγρια καὶ ἄδικα λέγοντας· μηκέτι δὲ ἄχρι τούτων κοινωνούντων τὴν δικαιοσύνην ἐκτείνοντας οἷς· καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων οἴχεται τὸ ζῆν, ἀρθείσης τῆς κοινωνίας· οὕτω κἀκείνοις· ὄρνιθες γοῦν καὶ κύνες καὶ πολλὰ τῶν τετραπόδων οἷον αἶγες, ἵπποι, πρόβατα, ὄνοι, ἡμίονοι τῆς μετὰ ἀνθρώπων κοινωνίας ἀφαιρεθέντα, ἔρρει. καὶ ἡ δημιουργήσασα αὐτὰ φύσις, ἐν χρείᾳ τῶν ἀνθρώπων κατέστησεν· τούς τε ἀνθρώπους εἰς τὸ χρῄζειν αὐτῶν· τὸ δίκαιον ἔμφυτον, αὐτοῖς τε πρὸς ἡμᾶς, καὶ ἡμῖν πρὸς αὐτά, κατασκευάσασα. εἰ δέ τινα πρὸς ἀνθρώπους ἀγριαίνει, θαυμαστὸν οὐδέν· ἀληθὲς γὰρ ἦν τὸ τοῦ Ἀριστοτέλους, ὡς ἀφθονίαν εἰ τῆς τροφῆς πάντα ἐκέκτητο, οὔτ' ἂν πρὸς ἄλληλα· οὔτε πρὸς ἀνθρώπους ἔχον ἂν ἀγρίως· ταύτης γὰρ χάριν, καίτοι ἀναγκαίας καὶ εὐτελοῦς οὔσης, αἵ τε ἔχθραι καὶ αἱ φιλίαι αὐτοῖς καὶ τοῦ τόπου ἕνεκα. ἄνθρωποι δὲ εἰ οὕτως εἰς στενὸν κομιδῇ κατεκέκλειντο ὡς τὰ ζῷα, πόσῳ ἂν ἀγριώτεροι καὶ τῶν δοκούντων ἀγρί-

συνεγένοντο. διέξεισι δὲ καὶ ὁ πόλεμος καὶ λιμός· ὅπου οὐδὲ γεύσασθαι φείδονται ἀλλήλων, καὶ ἄνευ γε πολέμου, καὶ λιμοῦ τὰ σύντροφα, καὶ ἥμερα τῶν ζώων κατεσθίουσιν. ἀλλὰ φαίη τις ἄν, ὅτι ἔστι μὲν λογικά· οὐκ ἔχει δὲ πρὸς ἡμᾶς τινὰ σχέσιν. καὶ μὴν διὰ τὸ ἄλογα εἶναι, ἀφῄρουν τὴν πρὸς αὐτὰ σχέσιν. ἐποίουν ἄλογα. ἔπειτα ἐκ τῆς χρείας ἦν αἱ ἀπάντων τὴν πρὸς αὐτὰ κοινωνίαν, οὐκ ἐκ τοῦ λόγου· ἡμῖν δὲ εἰ λογικὰ προὔκειτο δεῖξαι, οὐκ εἰ συνθήκας πρὸς ἡμᾶς πεποίηνται. ἐπεὶ καὶ τῶν ἀνθρώπων οὐ πᾶς ἡμῖν συντίθεται· καὶ οὐδεὶς τὸν μὴ συνθέμενον εἴποι ἂν ἄλογον. καίτοι τὰ πολλὰ καὶ ἐδούλευσεν ἀνθρώποις. καὶ ὡς ἔφη τις, λέγων ὀρθῶς, ὡς δουλεύοντα ὑπ' ἀγνωμοσύνης ἀνθρώπων, ὅμως ὑπὸ σοφίας, καὶ δικαιοσύνης τοὺς δεσπότας ὑπηρέτας καὶ ἐπιμελητὰς αὐτῶν πεποίηνται. αἵ γε μὴν κακίαι αὐτῶν, πρόδηλοι· ἐξ ὧν μάλιστα τὸ λογικὸν διαφαίνεται· καὶ γάρ, φθονοῦσι καὶ ζηλοτυποῦσιν ὑπὲρ τῶν θηλειῶν· αἵ τε θήλειαι ὑπὲρ τῶν ἀρρένων. μία δὲ αὐτοῖς κακία οὐχ ὑπάρχει, ἐπιβουλὴ τῷ εὐνοοῦντι, ἀλλὰ πάσῃ εὔνοια παντὶ οὕτως τυγχάνει. καὶ τοσοῦτον τῷ εὐνοοῦντι θαρρεῖ, ὡς ἕπεσθαι, ἢ ἂν ἄγῃ τις. κἂν ἐπὶ σφαγὴν καὶ πρόδηλον κίνδυνον· κἂν γὰρ μὴ δι' ἑαυτά, δι' ἑαυτὸν δέ τις αὐτὰ τρέφῃ, εὐνοεῖ τῷ κεκτημένῳ. ἄνθρωποι δὲ ἐπ' οὐδένα οὕτω συνίστανται, ἢ ἐπὶ τὸν τρέφοντα, καὶ οὐδένα οὕτως ἀποθνήσκειν εὔχονται, ὡς τοῦτον. οὕτω δ' ἐστὶ λογιστικὰ ὧν δρᾷ, ὥστε πολλάκις ἐπιστάμενα τὰ δελεάσματα ὅτι ἐπίβουλά ἐστι, δι' ἀκρασίαν πρόσεισιν, ἢ διὰ λιμόν· καὶ τὰ μὲν, οὐκ εὐθέως προσῆλθεν· τὰ δὲ μέλλει. καὶ πειρᾶται, εἰ δύναται ἀφελεῖν τὴν τροφὴν ἄνευ τοῦ περιπεσεῖν, καὶ πολλάκις κρατήσαντος τοῦ λογισμοῦ, τὸ πάθος ἀπέστη· ἔνια δὲ καὶ συνεβείσαντα καὶ προσκρίσαντα τῷ σοφίσματι τῶν ἀνθρώπων. τὰ δὲ ὑπὸ λιχνείας εἰδότα ὅτι ἁλώσεται, οὐ χεῖρον ἢ οἱ Ὀδυσσέως ἑταῖροι, περιεῖδε φαγόντα ἀποθανεῖν. οὐ κακῶς δέ τινες κατὰ τῶν τόπων πεπείρανται πολλὰ δεικνύναι μᾶλλον ἡμῶν ἐμφρονέστερα, ἃ εἴληχε· ὡς γὰρ τὰ κατὰ τὸν αἰθέρα οἰκοῦντα ἐστὶ λογικά, οὕτω φασὶ τὰ μετ' ἐκεῖνον εὐθὺς τὸ πλησιάζον οἰκοῦντα, ὁποῖα τὰ ἐν ἀέρι. εἶτα τὰ ἔνυδρα, διαφέρειν. εἶθ' οὕτως τὰ ἐπίγεια. ὧν ἡμεῖς τὴν ὑποστάθμην οἰκοῦμεν· οὐ γὰρ δὴ ἐπὶ μὲν τῶν θεῶν, καὶ κατὰ τοῦ τόπου τὸ κρεῖττον συλλογιζόμεθα, οὐχὶ δὲ καὶ ἐπὶ τῶν θνητῶν τὸ ὅμοιον θήσομεν. ὅταν δὲ καὶ τέχνας ἀναλαμβάνῃ καὶ ταύτας ἀνθρωπίνας· ὀρχεῖσθαι μανθάνοντα καὶ ἡνιοχεῖν· μονομαχεῖν τε καὶ καλοβατεῖν· ἤδη δὲ καὶ γράφειν καὶ ἀναγινώσκειν· αὐλεῖν τε καὶ κιθαρίζειν καὶ τοξεύειν καὶ ἱππεύειν. ἔτι ἀμφισβητήσεις εἰ τὸ δεξόμενον ἔχει, τοῦ παραδεχθέντος ἐν αὐτοῖς θεωρουμένου· ποῦ γὰρ δέχεται εἰ μὴ ὁ λόγος ἐν ᾧ συνίστανται αἱ τέχναι· οὐδὲ γὰρ ὡς ψόφου τῆς φωνῆς ἡμῶν ἀκούει, ἀλλὰ καὶ τῶν σημείων τῆς διαφορᾶς ἐστιν αὐτοῖς ἐπαίσθησις· ἥτις ἤδη ἐκ συνέσεως λογικῆς παραγίνεται, ἀλλὰ κακῶς φησι ποιεῖ τὰ ἀνθρωπικά. οὐδὲ γὰρ ἄνθρωποι πάντες καλῶς ἢ μάτην ἀγῶνα καὶ νικῶντες ἴσασι καὶ ἡττώμενοι· ἀλλ' οὐδὲ βουλεύονται φασίν, οὐδὲ ἐκκλησιάζουσιν, οὐδὲ δικάζουσιν· εἰ γὰρ ἄνθρωποι εἰπέ μοι, πάντες οὐχὶ δὲ πολλοῖς πρὶν βουλεύσονται αἱ πράξεις. πόθεν δὲ καὶ ἐπιδείξαι αὐτῆς, ὅτι οὐ βουλεύονται· τούτου μὲν γὰρ τεκμήριον οὐδεὶς εἰπεῖν ἔχει· τοῦ δ' ἐναντίου, οἱ κατὰ μέρος περὶ τῶν ζώων συγγράψαντες, ἔδειξαν. λοιπὸν δὲ τὰ ἄλλα ἴωλα, ὅσα κατ' αὐτῶν ῥητορεύεται. οἷον ὅτι πόλεις αὐτοῖς οὐκ εἰσίν· οὐδὲ γὰρ τοῖς ἁμαξοβίοις Σκύθαις φήσω, οὐδὲ τοῖς θεοῖς, οὐδὲ νόμοι γραπτοί φασὶ παρὰ τοῖς ζώοις· οὐδὲ παρὰ ἀνθρώποις, ἄχρις εὐδαιμόνουν. ἅπις δὲ λέγεται πρῶτος νομοθετῆσαι παρ' Ἕλλησιν, ὅτε ἐδεήθησαν. ἀνθρώποις μὲν οὖν διὰ τὴν λαιμαργίαν οὐ δοκεῖ λόγον ἔχειν τὰ ζῷα· θεοῖς δὲ, καὶ θείοις ἀνδράσιν ἐξ ἴσου τοῖς ἱκέταις τετίμηται καὶ χρῶν γε ὁ θεὸς Ἀριστοδίκῳ τῷ Κυμαίῳ, ἱκέτας τοὺς στρουθοὺς αὐτοῦ ἔφη εἶναι. Σωκράτης δὲ καὶ ὤμνυεν κατ' αὐτῶν· καὶ ἔτι πρὸ αὐτοῦ, Ῥαδάμανθυς. Αἰγύπτιοι δὲ καὶ θεοὺς ἐνόμισαν· εἴτε ὄντως θεοὺς ἡγούμενοι, εἴτε ἐξεπίτηδες τὰ τῶν θεῶν εἴδη βοοπρόσωπα, καὶ ὀρνιθοπρόσωπα, καὶ τῶν ἄλλων ποιοῦντες, ὅπως ἐξ αὐτῶν, ἐξ ἴσου καὶ τῶν ἀνθρώπων, ἀπέχοιντο· εἴτε καὶ δι' ἄλλας αἰτίας μυστικωτέρας. οὕτω δὴ καὶ οἱ Ἕλληνες τῷ μὲν τοῦ Διὸς ἀγάλματι κριοῦ προσῆψαν κέρατα· ταύρου δὲ, τῷ Διονύσου. τὸν δὲ Πᾶνα ἐξ ἀνθρώπου καὶ αἰγὸς συνέθεσαν. τὰς δὲ Μούσας ἐπτέρωσαν, καὶ τὰς Σειρῆνας· κατὰ τὰ αὐτὰ δὲ τήν τε Νίκην, καὶ τὴν Ἶριν, καὶ τὸν Ἔρωτα,

καὶ τὸν Ἑρμῆν. Πίνδαρος δὲ ἐν προσοδίοις πάντας τοὺς θεοὺς ἐποίησεν, ὁπότε ὑπὸ Τυφῶνος ἐδιώκοντο, οὐκ ἀνθρώποις ὁμοιωθέντας, ἀλλὰ τοῖς ἄλλοις ζώοις· ἐρασθέντα δὲ Πασιφάης Δία, γενέσθαι μὲν ταῦρον· νῦν δὲ, ἀετὸν καὶ κύκνον. δι᾽ ὧν τὴν πρὸς τὰ ζῶα τιμὴν οἱ παλαιοὶ ἐνεδείκνυντο· καὶ ἔτι μᾶλλον, ὅταν τὸν Δία θρέψαι λέγωσιν αἶγα. Κρησὶ δὲ νόμος ἦν Ῥαδαμάνθυος, ὀμνύναι κατὰ πάντα τὰ ζῶα. οὐδὲ Σωκράτης τὸν κύνα καὶ τὸν χῆνα ὀμνὺς ἔπαιζεν, ἀλλὰ κατὰ τὸν τοῦ Διὸς καὶ δίκαιον παῖδα ἐποιεῖτο τὸν ὅρκον. οὐδὲ παίζων ὁμοδούλους αὐτοῦ ἔλεγεν τοὺς κύκνους· αἰνίσσεται δὲ καὶ ὁ μῦθος, ὡς ὁμόψυχά ἐστιν ἡμῖν. καὶ χόλῳ μὲν θεῶν μεταβαλεῖν ἐξ ἀνθρώπων εἰς ζῶα· μεταβαλόντας δὲ, λοιπὸν ἐλεεῖσθαι καὶ φιλεῖσθαι. τοιαῦτα γὰρ τὰ περὶ δελφίνων λεγόμενα καὶ τὰ περὶ ἀλκυόνων· ἀηδόνων τε καὶ χελιδόνων· αὐχεῖ δὲ καὶ τῶν παλαιῶν ἕκαστος, ὅστις ηὐτύχησεν τῆς ἐκ τῶν ζώων ἀνατροφῆς, οὐχ οὕτως τοὺς πατέρας, ὡς τοὺς ἀναθρεψαμένους. ὡς ὁ μὲν, λύκαιναν· ὁ δὲ, ἔλαφον· ἄλλος, αἶγαν· ἄλλος μέλιτταν. Σεμίραμις δὲ, τὰς περιστεράς· Κῦρος δὲ, κύνα· κύκνον δὲ, Θρᾷξ. καὶ τοὔνομα τοῦ θρέψαντος ἐφόρει· ὅθεν καὶ θεοῖς ἐπωνυμίαι, Διονύσῳ μὲν, εἰραφιώτης· Ἀπόλλωνι δὲ, λύκειος, καὶ δελφίνιος· Ποσειδῶνι δὲ, ἵππιος. καὶ Ἀθηνᾷ, ἱππία. ἡ δ᾽ Ἑκάτη ταῦρος, κύων, λέαινα ἀκούουσα, μᾶλλον ὑπακούει. εἰ δ᾽ ὅτι θύοντες αὐτὰ κατεσθίουσι, δεῖ ὥσπερ οὖν τοὺς παραμυθούμενοι, ἄλογα λέγουσιν, ἐποίουν ἂν καὶ οἱ τοὺς πατέρας ἐσθιόμενοι Σκύθαι, ἀλόγως ἂν τοὺς πατέρας. δεῖ μὲν τούτων καὶ ἄλλων, ἀνέξης μνησθησόμεθα τὰ τῶν παλαιῶν ἐπιτρέχοντες δείκνυται λογικὰ ὄντα τὰ ζῶα, τοῦ λόγου ἐν τοῖς πλείστοις ἀτελοῦς μὲν ὄντος· οὐ μὴν παντελῶς ἐστερημένου. τῆς δὲ δικαιοσύνης πρὸς τὰ λογικὰ οὔσης, καθάπερ φασὶν οἱ ἀντιλέγοντες, πῶς οὐχὶ καὶ πρὸς ταῦτα εἴη ἂν ἡμῖν τὸ δίκαιον; οὐ γὰρ καὶ πρὸς τὰ φυτὰ παρατείνομεν τὸ τῆς δικαιοσύνης. δεῖ τὸ φαίνεσθαι πολὺ τὸ πρὸς τὸν λόγον ἀσύγκλωστον. καίτοι κἀνταῦθα τοῖς καρποῖς χρῆσθαι εἰώθαμεν, οὐ μὴν σὺν τοῖς καρποῖς κατακόπτειν καὶ τὰ πρέμνα. τὸν δὲ σιτικὸν καρπὸν καὶ τὸν τῶν χεδροπῶν, αὐανθέντα καὶ εἰς γῆν πίπτοντα καὶ τεθνηκότα, συλλέγομεν. ζώων δὲ τὰ θνησείδια πλὴν τῶν ἰχθύων, ἃ καὶ αὐτὰ βίᾳ ἀναιροῦμεν, οὐκ ἄν τις προσενέγκαιτο. ὥστε πολὺ τὸ ἄδικον ἐν τούτοις· ἀρχὴν δὲ, ὡς καὶ Πλούταρχος φησὶν, οὐκ ἐπεὶ δεῖσθαί τινων ἡμῶν ἡ φύσις καὶ χρώμεθα τούτοις, ἤδη καὶ πᾶσιν προσακτέον, καὶ πρὸς πάντα, τὴν ἀδικίαν· δίδωσι μὲν γὰρ καὶ παρέχει τοῖς ἀναγκαίοις τὴν ἄχρι τινὸς βλάβην· εἴγε βλάβη τὸ λαμβάνειν τι παρὰ τῶν φυτῶν, καίτοι ζώντων μενόντων· τὸ δ᾽ ἐκ περιουσίας καὶ πρὸς ἡδονὴν ἀπολαύειν ἑτέρα καὶ φθείρειν, τῆς παντελοῦς ἦν ἀγριότητος καὶ ἀδικίας. καὶ ἡ τούτων ἀποχὴ, οὔτε πρὸς τὸ ζῆν, οὔτε πρὸς τὸ εὖ ζῆν, ἡμᾶς ἐλαττοῖ. εἰ μὲν γὰρ ὡς ἀέρος καὶ ὕδατος φυτῶν τε καὶ καρπῶν, ὧν ἄνευ ζῆν ἀδύνατόν ἐστιν, οὕτω φόνου ζώων καὶ βρώσεως σαρκῶν ἐτυγχάνομεν δεόμενοι πρὸς τὸν βίον, ἀναγκαίαν ἡ φύσις συμπλοκὴν εἶχεν ἂν πρὸς ταύτην τὴν ἀδικίαν. εἰ δὲ πολλοὶ μὲν ἱερεῖς θεῶν· πολλοὶ δὲ βασιλεῖς βαρβάρων ἁγνεύοντες· ἄπειρα δὲ γένη ζώων, τὸ παράπαν οὐ θιγγάνοντα τῆς τοιαύτης τροφῆς, ζῶσιν· καὶ τυγχάνουσι τοῦ κατὰ φύσιν τέλους πῶς οὐκ ἔστιν ἄτοπος ὁ κελεύων, εἰ τισὶν ἀναγκαζοίμεθα πολεμεῖν· μηδὲ οἷς ἔξεστιν εἰρηνικῶς ὁμιλεῖν, ἀλλὰ ἢ πρὸς μηδὲν τῇ δικαιοσύνῃ χρωμένους ζῆν, ἢ πρὸς πάντας χρωμένους μὴ ζῆν. ὥσπερ οὖν ἐπ᾽ ἀνθρώπων, ὁ μὲν αὐτοῦ σωτηρίας ἕνεκα καὶ παίδων, ἢ πατρίδος, ἢ χρήματά τινων παραιρούμενος, ἢ χώραν ἐκτρίβων καὶ πόλιν, ἔχειν πρόσχημα τῆς ἀδικίας τὴν ἀνάγκην· ὅστις δὲ ταῦτα δρᾷ διὰ πλοῦτον, ἢ κόρον, ἢ ἡδονὰς τρυφώσας καὶ ἀποπληρώσεις. οὐκ ἀναγκαίων πειραζόμενος ἐπιθυμιῶν, ἄμικτος εἶναι δοκεῖ, καὶ ἀκρατὴς, καὶ πονηρός· οὕτω τὰς μὲν εἰς φυτὰ βλάβας καὶ πυρός, καὶ ναμάτων ἀναλώσεις· κουράς τε προβάτων καὶ γάλα· βοῶν τε ἐξημέρωσιν καὶ καταζεύξειν ἐπὶ σωτηρίᾳ καὶ διαμονῇ τοῖς χρωμένοις ὁ θεὸς δίδωσι συγγνώμην, ζῷα ὑπάγειν σφαγαῖς, καὶ μαγειρεύειν, ἀναπιμπλαμένους φόνου, μὴ τροφῆς ἢ πληρώσεως χάριν, ἀλλ᾽ ἡδονῆς καὶ λαιμαργίας ποιουμένους τέλος, ὑπερφυῶς ὡς ἄνομον καὶ δεινόν· ἀρκεῖ γὰρ, ὅτι μηδὲν πονεῖν δεομένοις χρώμεθα προκάμνουσι. καὶ μόχθοις ἵππων· ὄνων τε ὀχείαν καὶ ταύρων γονάς, ὡς Αἰσχύλος φησὶν, ἂν δοῦλα καὶ πόνων ἐκδέκτορα χειρωσάμενοι καὶ κατα-

ζεύξαντες. ὁ δὲ ἀξιῶν ἡμᾶς ὄψῳ μὴ χρῆσθαι βοὸς μηδὲ πνεύματος καὶ ζωῆς διολλύντας καὶ διαφθείροντας ἡδύσματα πλησμονῆς καὶ καλλωπίσματα προσίθεσθαι τραπέζης, τίνος ἀναγκαίου πρὸς σωτηρίαν, ἢ καλοῦ πρὸς ἀρετὴν, ἀφαιρεῖται τὸν βίον. οὐ μὴν ἀλλὰ καὶ τοῖς ζώοις τὰ φυτὰ παραβάλλειν, κομιδῆ βίαιον: τὰ μὲν γὰρ αἰσθάνεσθαι πέφυκε καὶ ἀλγεῖν, καὶ φοβεῖσθαι, καὶ βλάπτεσθαι. διὸ καὶ ἀδικεῖσθαι: τοῖς δὲ, οὐδέν ἐστιν αἰσθητόν. οὕτως δὲ, οὐδὲ ἀλλότριον: οὐδὲ κακὸν: οὐδὲ βλάβη τις οὐδὲ ἀδικία. καὶ γὰρ οἰκειώσεως πάσης καὶ ἀλλοτριώσεως ἀρχὴ τὸ αἰσθάνεσθαι. τὴν δὲ οἰκείωσιν, ἀρχὴν τίθενται δικαιοσύνης οἱ ἀπὸ Ζήνωνος. πῶς δὲ οὐκ ἄλογον πολλοὺς τῶν ἀνθρώπων ἐπ' αἰσθήσει μόνον ζῶντας, ὁρῶντας, νοῦν δὲ καὶ λόγον οὐκ ἔχοντας: πολλοὺς δὲ πάλιν ὠμότητι καὶ θυμῷ καὶ πλεονεξίᾳ τὰ φοβερώτατα τῶν θηρίων ὑπερβεβληκότας, παιδοφόνους καὶ πατροκτόνους τυράννους. καὶ βασιλέων ὑπουργοὺς. πρὸς μὲν τούτους, οἴεσθαι εἶναι ἡμῖν: πρὸς δὲ τὸν ἀροτῆρα βοῦν καὶ τὸν σύντροφον κύνα. καὶ τὰ γάλακτι μὲν, τρέφοντα: κουρᾷ δὲ, κοσμοῦντα θρέμματα, μηδὲν εἶναι: πῶς οὐ παραλογώτατόν ἐστιν. ἀλλ' ἐκεῖνο νὴ Δία τοῦ Χρυσίππου πιθανὸν ἦν ὡς ἡμᾶς αὑτῶν καὶ ἀλλήλων οἱ θεοὶ χάριν, ἐποιήσαντο: ἡμῶν δὲ τὰ ζῶα. συμπολεμεῖν μὲν ἵππους καὶ συνθηρεύειν κύνας. ἀνδρείας δὲ γυμνάσια παρδάλεις καὶ ἄρκτους καὶ λέοντας. ἡ δὲ ὗς, ἐνταῦθα γάρ ἐστι τῶν χαρίτων τὸ ἥδιστον, οὐ δι' ἄλλό τι πλὴν θύεσθαι, ἐγεγόνει. καὶ τῇ σαρκὶ τὴν ψυχὴν ὁ θεὸς οἷον ἅλας ἐνέμιξεν, εὐοψίαν ἡμῖν μηχανώμενος, ὅπως δὲ ζωμοῦ καὶ παραδειπνίων ἀφθονίαν ἔχωμεν: ὄστρεά τε παντοδαπὰ, καὶ πορφύρας, καὶ ἀκαλήφας, καὶ γένη πτηνῶν ποικίλα παρεσκεύασεν, οὐκ ἀλλαχόθεν. ἀλλ' ὡς αὐτοῦ μέγα μέρος ἐνταῦθα τρέψας εἰς γλυκυθυμίας, τὰς τιτθὰς ὑπερβαλλόμενος καὶ καταπυκνάζων ταῖς ἡδοναῖς καὶ ἀπολαύσεσι τὸν περίγειον τόπον. ὅτῳ δὴ ταῦτα δοκεῖ τι τοῦ πιθανοῦ καὶ θεῷ πρέποντος μετέχειν, σκοπείτω τί πρὸς ἐκεῖνον ἐρεῖ τὸν λόγον ὃν Καρνεάδης ἔλεγεν: ἕκαστον τῶν φύσει γεγονότων, ὅταν τοῦ πρὸς ὃ πέφυκε καὶ γέγονε, τυγχάνῃ τέλους, ὠφελεῖται: κοινότερον δὲ τῆς ὠφελείας ἣν εὐχρηστίαν οὗτοι λέγουσιν, ἀκουστέον. ἡ δὲ ὗς φύσει γέγονε πρὸς τὸ σφαγῆναι καὶ καταβρωθῆναι. καὶ τοῦτο πάσχουσα, τυγχάνει τοῦ πρὸς ὃ πέφυκε καὶ ὠφελεῖται. καὶ μὴν εἰ πρὸς ἀνθρώπων χρῆσιν ὁ θεὸς μεμηχάνηται τὰ ζῶα, τί χρησόμεθα μυίαις, ἐμπίσι, νυκτερίσι, κανθάροις, σκορπίοις, ἐχίδναις: ὧν τὰ μὲν ὁρᾶν εἰδεχθῆ, καὶ θιγγάνειν μιαρὰ, καὶ κατ' ὀδμὰς δυσανάσχετα: καὶ φθέγγεται δεινὸν καὶ ἀτερπές: τὰ δ' ἄντικρυς ὀλέθρια τοῖς τυγχάνουσιν: φαλαίνας τε καὶ πρίστεις καὶ τὰ ἄλλα κήτη, ἃ

» μυρία βόσκειν Ὅμηρός φησιν ἀγάστονον Ἀμφιτρίτην, τί οὐκ ἐδίδαξεν ἡμᾶς ὁ δημιουργὸς, ὅπῃ χρήσιμα τῇ φύσει γέγονε. εἰ δὲ οὐ πάντα φασὶν ἡμῖν καὶ πρὸς ἡμᾶς γεγονέναι, πρὸς τῷ σύγχυσιν ἔχειν πολλὴν καὶ ἀσάφειαν τὸν διορισμὸν, οὐδὲ ἐκφεύγομεν τὸ ἀδικεῖν, ἐπιτιθέμενοι καὶ χρώμενοι βλαβερῶς, τοῖς οὐ δι' ἡμᾶς, ἀλλ' ὥσπερ ἡμεῖς κατὰ φύσιν γεγενημένοις. ἐῶ λέγειν ὅτι χρείᾳ τὸ πρὸς ἡμᾶς ὁρίζοντες, οὐκ ἂν φθάνοιμεν ἑαυτῶν ἕνεκα τῶν ὀλεθριωτάτων ζώων, οἷα κροκόδειλοι, καὶ φάλαιναι, καὶ δράκοντες γεγονέναι συγχωροῦντες. ἡμῖν μὲν γὰρ οὐδὲν ἀπ' ἐκείνων ὑπάρχει τὸ παράπαν ὠφελεῖσθαι. τὰ δὲ ἁρπάζοντα καὶ διαφθείροντα τοὺς παραπίπτοντας ἀνθρώπους, βορᾷ χρῆται: μηδὲν ἡμῶν κατὰ τοῦτο δρῶντα χαλεπώτερον: πλὴν ὅτι τὰ μὲν, ἔνδεια καὶ λιμὸς ἐπὶ ταύτην ἄγει τὴν ἀδικίαν: ἡμεῖς δὲ, ὕβρει καὶ τρυφῆς ἕνεκα παίζοντες πολλάκις ἐν θεάτροις, καὶ κυνηγεσίοις, τὰ πλεῖστα τῶν ζώων φονεύομεν. ἐξ ὧν δὴ καὶ τὸ μὲν φονικὸν, καὶ θηριῶδες ἡμῶν ἐπερρώσθη: καὶ τὸ πρὸς οἶκτον ἀπαθές: τοῦ δ' ἡμέρου τὸ πλεῖστον ἀπήμβλυναν οἱ πρῶτοι τοῦτο τολμήσαντες. οἱ δὲ Πυθαγόρειοι τὴν πρὸς τὰ θηρία πραότητα, μελέτην ἐποιήσαντο τοῦ φιλανθρώπου, καὶ φιλοικτίρμονος. ὥστε πῶς οὐχ οὗτοι πρὸς δικαιοσύνην μᾶλλον ἤγειραν, ἢ οἱ φθείρεσθαι λέγοντες ἐκ τούτων τὴν συνήθη δικαιοσύνην. ἡ γὰρ συνήθεια δεινὴ τοῖς κατὰ μικρὸν ἐνοικειουμένοις πάθεσι πόρρω προσαγαγεῖν τὸν ἄνθρωπον. ναί φασιν, ἀλλ' ὡς τῷ θνητῷ, τὸ ἀθάνατον ἀντίκειται καὶ τῷ φθαρτῷ, τὸ ἄφθαρτον καὶ σώματί γε, τὸ ἀσώματον, οὕτως ὑπάρχοντί γε, τῷ λογικῷ χρῆναι τὸ ἄλογον ἀντικεῖσθαι καὶ ἀνθυπάρχειν. καὶ μὴ μόνην ἐν τοσαῖσδε συζυγίαις ἀτελῆ τήνδε λείπεσθαι καὶ

πεπληρωμένην. ὥσπερ ἡμῶν μὴ ἔστι συγχωρούντων ἢ πολὺ τὸ ἄλογον ἐπιδεικνύντων ἐν τοῖς οὖσιν· πολὺ γὰρ δήπου καὶ ἄφθονον ἐν πᾶσι τῆς ψυχῆς ἀμοιροῦσι, καὶ οὐδὲν ἑτέρας δεόμεθα πρὸς τὸ λογικὸν ἀντιθέσεως, ἀλλὰ πᾶν εὐθὺς τὸ ἄψυχον, ἄλογον ὂν καὶ ἀνόητον, ἀντίκειται τῷ μετὰ ψυχῆς λόγον ἔχοντι καὶ διάνοιαν. εἰ καί τις ἀξιοῖ μὴ κοινῶς τὴν φύσιν, ἀλλὰ τὴν ἔμφυτον φύσιν ἔχειν· τὸ μὲν, φανταστικὸν· τὸ δὲ, ἀφαντασίωτον. καὶ τὸ μὲν, αἰσθητικὸν· τὸ δὲ, ἀναίσθητον. ἵνα δὴ τὰς ἀντιζύγους ταύτας καὶ ἀντιθέτους ἕξεις καὶ ποιήσεις περὶ ταὐτὸν ἡ φύσις ἔχῃ γένος οἷον ἰσορρόπους. ἀλλ' ἄτοπον ἐστί γε. εἴγε ἄτοπος ὁ ζητῶν τοῦ ἐμψύχου, τὸ μὲν αἰσθανόμενον· τὸ δὲ, ἀναίσθητον εἶναι. καὶ τὸ μὲν, φαντασιούμενον· τὸ δὲ, ἀφαντασίωτον. ὅτι πᾶν ἔμψυχον αἰσθητικὸν, εὐθὺς εἶναι καὶ φανταστικὸν πέφυκεν· οὕτως γὰρ οὐδὲν οὕτως ἐπιεικῶς ἀπαιτήσει τὸ μὲν λογικὸν εἶναι, τοῦ ἐμψύχου· τὸ δὲ, ἄλογον. πρὸς ἀνθρώπους διαλεγόμενος, μηθὲν οἰομένους αἰσθήσεως μετέχειν· ὃ μὴ καὶ συνέσεως. μηδ' εἶναι ζῶον, ᾧ μὴ δόξα τις καὶ λογισμὸς, ὡς πᾶσα αἴσθησις καὶ ὁρμὴ κατὰ φύσιν πάρεστιν. ἡ γὰρ φύσις ἣν ἕνεκά του καὶ πρός τι πάντα ποιεῖν ὀρθῶς λέγουσιν, οὐκ ἐπὶ ψιλῷ τῷ πάσχειν καὶ αἰσθάνεσθαι, τὸ ζῶον αἰσθητικὸν ἐποίησεν. ἀλλὰ ὄντων μὲν οἰκείων πρὸς αὐτὸ πολλῶν· ὄντων δὲ ἀλλοτρίων, οὐδὲ ἀκαρὲς ἦν εἶναι· μὴ μαθόντα τὰ μὲν, φυλάττεσθαι· τοῖς δὲ, συμφέρεσθαι· τὴν μὲν οὖν γνῶσιν ἀμφοῖν ὁμοίως αἴσθησις ἑκάστῳ παρέχει. τὰς δὲ ἑπομένας αἰσθήσει. τῶν μὲν ὠφελίμων, λήψεις καὶ διώξεις· διακρούσεις δὲ καὶ φυγὰς τῶν ὀλεθρίων καὶ λυπηρῶν, οὐδεμία μηχανὴ παρεῖναι τοῖς μὴ λογίζεσθαί τι καὶ κρίνειν καὶ μνημονεύειν καὶ προσέχειν πεφυκόσιν. ὧν γὰρ ἂν ἀφέλῃς παντάπασι προσδοκίαν, μνήμην, πρόθεσιν, παρασκευὴν, τὸ ἐλπίζειν, τὸ δεδοικέναι, τὸ ἐπιθυμεῖν, τὸ ἀσχάλλειν, οὔτε ὄμματα ποῦ ὄφελος παρόντων, οὔτε ὤτων· αἰσθήσεώς τε πάσης καὶ φαντασίας, τὸ χρώμενον οὐκ ἐχούσης, ἀπηλλάχθαι βέλτιον ἢ πονεῖν καὶ λυπεῖσθαι καὶ ἀλγεῖν καὶ διακρούεσθαι ταῦτα μὴ παρόντος. Καίτοι Στράτωνός γε τοῦ φυσικοῦ λόγος ἐστὶν, ἀποδεικνύων, ὡς οὐδὲ αἰσθάνεσθαι τὸ παράπαν ἄνευ τοῦ νοεῖν ὑπάρχει. καὶ γράμματα πολλάκις ἐπιπορευομένους τῇ ὄψει καὶ λόγοι προσπίπτοντες τῇ ἀκοῇ διαλανθάνουσιν ἡμᾶς καὶ διαφεύγουσι πρὸς ἑτέροις τὸν νοῦν ἔχοντας· εἶτ' αὖθις ἐπανῆλθε καὶ μεταθεῖ καὶ διώκει τῶν προειρημένων ἕκαστον ἀναλεγόμενος. ᾗ καὶ λέλεκται. Νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει· τἆλλα κωφὰ καὶ τυφλά. ὡς τοῦ περὶ τὰ ὄμματα καὶ τὰ ὦτα πάθους, ἂν μὴ παρῇ τὸ φρονοῦν, αἴσθησιν οὐ ποιοῦντος. διὸ καὶ Κλεομένης ὁ βασιλεὺς παρὰ πότον εὐδοκιμοῦντος ἀκροάματος, ἐρωτηθεὶς εἰ μὴ φαίνεται σπουδαῖον, ἐκέλευσεν ἐκείνους σκοπεῖν· αὐτὸς γὰρ ἐν Πελοποννήσῳ τὸν νοῦν ἔχειν. ὅθεν ἀνάγκη πᾶσιν, οἷς τὸ αἰσθάνεσθαι, καὶ τὸ νοεῖν ὑπάρχειν· ἀλλ' ἔσωμεν δεῖσθαι τοῦ νοῦ τὴν αἴσθησιν πρὸς τὸ αὐτῆς ἔργον. ἀλλ' ὅταν γε πρὸς τὸ οἰκεῖον καὶ τὸ ἀλλότριον ἡ αἴσθησις ἐνεργασαμένη διαφορὰν ἀπέλθῃ, τί τὸ μνημονεῦον ἐστὶν ἤδη καὶ δεδιὸς τὰ λυποῦντα καὶ ποθοῦν τὰ ὠφέλιμα καὶ μὴ παρόντα, ὅπως παρέσται μηχανώμενον ἐν αὐτοῖς καὶ παρασκευαζόμενον ὁρμητήρια, καὶ καταφυγὰς, καὶ θήρατρα. καὶ πάλιν αὐτοῖς ἁλοῦσιν, ἀποδράσεις τῶν ἐπιτιθεμένων. ἢ ταυτί γε κἀκεῖνοι λέγοντες ἀποκναίουσιν ἐν ταῖς εἰσαγωγαῖς ἑκάστοτε. τὴν πρόθεσιν ὁριζόμενοι, σημείωσιν ἐπιτελειώσεως· τὴν δ' ἐπιβολὴν, ὁρμὴν πρὸ ὁρμῆς· παρασκευὴν δὲ, πρᾶξιν πρὸ πράξεως· μνήμην δὲ, κατάληψιν ἀξιώματος παρεληλυθότος· οὗ τὸ παρὸν ἐξ αἰσθήσεως κατελήφθη. τούτων γὰρ οὐδὲν, ὅτι μὴ λογικόν ἐστι. καὶ πάντα τοῖς ζώοις ὑπάρχει πᾶσιν, ὥσπερ ἀμέλει καὶ περὶ τὰς νοήσεις· ἃς ἀποκειμένας μὲν, ἐννοίας καλοῦσι· κινουμένας δὲ, διανοήσεις· τὰ δὲ πάθη σύμπαντα, κοινῶς φύσεις φαύλας καὶ δόξας, ὁμολογοῦντας εἶναι. θαυμαστὸν οἷον δὴ παρορῶσι τοῖς θηρίοις ἔργα καὶ κινήματα πολλὰ μὲν, θυμῶν· πολλὰ δὲ, φόβων, καὶ νὴ Δία φθόνων καὶ ζηλοτυπιῶν. αὐτοὶ δὲ κύνας ἁμαρτάνοντας καὶ ἵππους κολάζουσιν οὐ διακενῆς, ἀλλ' ἐπὶ σωφρονισμῷ. λύπην δι' ἀλγηδόνος ἐμποιοῦντες αὐτοῖς· ἣν μετάνοιαν ὀνομάζομεν. ἡδονῆς δὲ τῆς μὲν, δι' ὤτων ὄνομα, κήλησίς ἐστι. τῆς δὲ δι' ὀμμάτων, γοητεία. χρῶνται δὲ ἑκατέραις ἐπὶ τὰ θηρία· κηλοῦνται μὲν ἔλαφοι καὶ ἵπποι σύριγξιν καὶ αὐλοῖς· καὶ τοὺς παγούρους ἐκ τῶν χηραμῶν ἀνακαλοῦνται, μελιζόμενοι ταῖς σύριγξι. καὶ

Haec omnia ad verbum [illegible] a Plutarcho ἐν τῷ πότερα τῶν ζώων φρονιμώτερα, τὰ χερσαῖα ἢ τὰ ἔνυδρα.

τὴν θείαν ᾄδοντες ἀναδύεσθαι καὶ προΐεσθαι λέγουσιν. οἱ δὲ περὶ τούτων ἀβελτέρως λέγοντες, μήτε ἥδεσθαι, μήτε θυμοῦσθαι, μήτε φοβεῖσθαι, μήτε παρασκευάζεσθαι, μήτε μνημονεύειν· ἀλλ᾽ ὡσανεὶ μνημονεύειν τὴν μέλιτταν. καὶ ὡσανεὶ παρασκευάζεσθαι τὴν χελιδόνα καὶ ὡς αὖ θυμοῦσθαι τὸν λέοντα καὶ ὡσανεὶ φοβεῖσθαι τὴν ἔλαφον, οὐκ οἶδα τί χρήσασθαι τοῖς λέγουσι, μηδὲ βλέπειν, μηδὲ ἀκούειν· ἀλλ᾽ ὡσανεὶ βλέπειν αὐτά, καὶ ὡσανεὶ ἀκούειν· μηδὲ φωνεῖν, ἀλλ᾽ ὡσανεὶ φωνεῖν· μὴ δ᾽ ὅλως ζῆν, ἀλλ᾽ ὡσανεὶ ζῆν· ταῦτα γὰρ ἐκείνων οὐ μᾶλλον ἐστὶ λεγόμενα παρὰ τὴν ἐνάργειαν, ὁμοίως ὡς ὁ συγγνώμων ἂν πεισθείη· ὅταν δὲ τοῖς ἀνθρωπίνοις ἤθεσι καὶ βίοις καὶ πράξεσι καὶ διαίταις τὰ τῶν ζώων παραθεὶς πολλὴν ἐνορῶ φαυλότητα καὶ τῆς ἀρετῆς πρὸς ἣν ὁ λόγος γέγονε μηδὲν τῶν ζώων ἐμφανῆ στοχασμόν, μηδὲ προκοπήν, μηδὲ ὄρεξιν, ἀποροίην ἂν πῶς ἡ φύσις δέδωκε τὴν ἀρχήν, τοῖς ἐπὶ τὸ τέλος ἐξικέσθαι μὴ δυναμένοις· ἢ τοῦτο μὲν οὐδ᾽ ἐκείνοις ἄτοπον εἶναι δοκεῖ. τὴν γοῦν πρὸς τὰ ἔγγονα φιλοστοργίαν, ἀρχὴν ἐν ἡμῖν κοινωνίας καὶ δικαιοσύνης τιθέμενοι· πολλήν τε τοῖς ζώοις καὶ ἰσχυρὰν ὁρῶντες παροῦσαν, οὔ φασιν αὐτοῖς, οὐδ᾽ ἀξιοῦσι μετεῖναι δικαιοσύνης. ἡμιόνοις δὲ τῶν γεννητικῶν μορίων οὐδὲν ἐνδεῖ· καὶ γὰρ αἰδοῖα καὶ μήτρας καὶ τὸ χρῆσθαι μεθ᾽ ἡδονῆς τούτοις ἔχουσαι, πρὸς τὸ τέλος οὐκ ἐξικνοῦνται τῆς γενέσεως. σκόπει δὲ ἄλλως, μὴ καὶ καταγέλαστόν ἐστι καὶ τοὺς Σωκράτεις, καὶ τοὺς Πλάτωνας, καὶ τοὺς Ζήνωνας οὐδὲν ἐλαφρότερα τοῦ τυχόντος ἀνδραπόδου συνεῖναι φάσκειν, ἀλλ᾽ ὁμοίως ἄφρονας εἶναι, καὶ ἀκολάστους, καὶ ἀδίκους. εἶτα τῶν θηρίων αἰτιᾶσθαι τὸ μὴ καθαρὸν μηδ᾽ ἀπηκριβωμένον πρὸς ἀρετήν. ὡς στέρησιν, οὐχὶ φαυλότητα λόγου καὶ ἀσθένειαν, προσεῖναι. καὶ ταῦτα τὴν κακίαν ὁμολογοῦντας εἶναι λογικήν, ἧς πᾶν θηρίον ἀναπέπλησται καὶ δειλίαν πολλοῖς καὶ ἀκολασίαν ἀδικίαν τε καὶ κακόνοιαν ὁρῶμεν ὑπάρχουσαν· τὸ δ᾽ ἀξιοῦν τὸ μὴ πεφυκὸς ὀρθότητα λόγου δέχεσθαι, μὴ δὲ λόγον δέχεσθαι, πρῶτον μὲν οὐδὲν διαφέρει τοῦ μήτε πίθηκον αἴσχους φύσει μετέχειν· μήτε χελώνην βραδυτῆτος ἀξιοῦντες· ὅτι μηδὲ κάλλους ἐπιδεκτικά, μηδὲ τάχους ἐστίν. ἔπειτα τὴν διαφορὰν ἐμποδὼν οὖσαν οὐ συνορῶσιν· λόγος μὲν γὰρ ἐγγίνεται φύσει. σπουδαῖος δὲ ὁ λόγος καὶ τέλειος ἐξ ἐπιμελείας καὶ διδασκαλίας. διὸ τοῦ λογικοῦ πᾶσι τοῖς ἐμψύχοις μέτεστι. τὴν δὲ ὀρθότητα καὶ σοφίαν οὐδὲ ἄνθρωπον εἰπεῖν κεκτημένον ἔχουσιν· κἂν μυρίοι δὲ ὦσιν, ὥσπερ ὄψεως ἐστὶ πρὸς ὄψιν διαφορά· καὶ πτήσεως πρὸς πτῆσιν· οὐ γὰρ ὁμοίως ἱέρακες βλέπουσι καὶ τέττιγες· οὐδὲ ἀετοὶ πέτονται καὶ πέρδικες· οὕτως δὲ παντὶ λογικῷ μέτεστιν ὡσαύτως τῆς δεχομένης τὸ ἄκρον εὐστροφίας καὶ ὀξύτητος. ἐπιδείγματα γε πολλὰ κοινωνίας, καὶ ἀνδρείας, καὶ τοῦ πανούργου περὶ τοὺς πορισμοὺς καὶ τὰς οἰκονομίας, ὥσπερ αὖ καὶ τῆς ἐναντίας ἀδικίας, δειλίας, ἀβελτηρίας ἐστὶν αὐτοῖς· ὅθεν καὶ ζητήσεις τινὲς συνίστανται. τῶν μέν, τὰ χερσαῖα προὔχειν λεγόντων· τῶν δέ, τὰ θαλάττια. καὶ δῆλον ἐστὶ παραβαλλομένων. ἵππους μὲν χερσαίους τοῖς ποταμίοις· οἱ μὲν γάρ, τρέφουσι τοὺς πατέρας· οἱ δέ, κτείνουσιν, ἵνα τὰς μητέρας ὀχεύωσιν, καὶ περιστεραῖς πάλιν πέρδικας· οἱ μὲν γὰρ ἀφανίζουσι τὰ ᾠὰ καὶ διαφθείρουσι, τῆς θηλείας ὅταν ἐπῳάζῃ, μὴ προσδεχομένης τὴν ὀχείαν· οἱ δὲ καὶ διαδέχονται τὴν ἐπιμέλειαν, ἐν μέρει θάλποντες. καὶ ψωμίζουσι πρότεροι τὰ νεόττια καὶ τὴν θήλειαν, ἂν πλείονα χρόνον ἀποπλανηθῇ, κόπτων ὁ ἄρρην εἰσελαύνει πρὸς τὰ ᾠὰ καὶ τοὺς νεοττούς. ὄνοις δὲ καὶ προβάτοις Ἀντίπατρος ἐγκαλῶν ὀλιγωρίαν καθαριότητος, οὐκ οἶδεν, ὅπως παρεῖδε τὰς λύγγας καὶ τὰς χελιδόνας· ὧν αἱ μὲν ἐκτοπίζουσι, παντάπασι κρύπτουσαι καὶ ἀφανίζουσαι· αἱ δὲ χελιδόνες, ἔξω στρεφομένους διδάσκουσαι τοὺς νεοττοὺς ἀφιέναι τὸ περίττωμα. καὶ μὴν δένδρον δένδρου, οὐ λέγομεν ἀμαθέστερον, ὡς κυνὸς πρόβατον, οὐδὲ λαχάνου λάχανον ἀνανδρότερον. ὡς ἔλαφον λέοντος. ἢ καθάπερ ἐν τοῖς ἀκινήτοις ἕτερον ἑτέρου βραδύτερον οὐκ ἔστιν, οὐδὲ μικροφωνότερον ἐν τοῖς ἀναύδοις, οὕτως οὐδὲ δειλότερον, οὐδὲ νωθρότερον, οὐδὲ ἀκρατέστερον, ὅπου μὴ φύσει πᾶσιν ἡ τοῦ φρονεῖν δύναμις· ἄλλοις δὲ ἄλλως κατὰ τὸ μᾶλλον καὶ ἧττον παροῦσα τὰς ὁρωμένας διαφορὰς πεποίηκεν. ἀλλ᾽ οὐ θαυμαστὸν ὅσον ἄνθρωπος εὐμαθείᾳ καὶ ἀγχινοίᾳ, καὶ τοῖς περὶ δικαιοσύνην, καὶ κοινωνίαν, διαφέρει τῶν ζώων· καὶ γὰρ ἐκείνων πολλά. τοῦτο μὲν μεγέθει καὶ ποδωκείᾳ·

τοῦτο δὲ, ὄψεως ῥώμη καὶ ἀκοῆς ἀκρίβεια πάντας ἀνθρώπους ἀπολέλοιπεν· ἀλλ' οὐδ' ὅτι κωφὸς, οὐδὲ τυφλὸς, οὐδὲ ἀδιανόητος ὁ ἄνθρωπός ἐστιν. ἀλλὰ καὶ θέομεν, εἰ καὶ βραδύτερον ἐλάφων. καὶ βλέπομεν, εἰ καὶ χεῖρον ἱεράκων· ἰσχύος τε καὶ μεγέθους ἡ φύσις ἡμᾶς οὐκ ἀπεστέρησεν. καίτοι τὸ μηδὲν ἐν τούτοις πρὸς ἐλέφαντα καὶ κάμηλον ὄντας. οὐκοῦν ὁμοίως μηδὲ τὰ θηρία λέγωμεν, εἰ νωθρότερον φρονεῖ καὶ κάκιον διανοεῖται, μὴ διανοεῖσθαι· μηδὲ φρονεῖν ὅλως· μηδὲ κεκτῆσθαι λόγον. ἀσθενῆ δὲ κεκτῆσθαι καὶ θολερὸν, ὥσπερ ὀφθαλμὸν ἀμβλυώττοντα καὶ τεταραγμένον. εἰ δὲ μὴ πολλὰ ἦν πολλοῖς ζητημένα καὶ εἰρημένα, μυρία ἂν παρηγάγομεν εἰς ἐπίδειξιν τῆς τῶν ζώων εὐφυΐας. ἐκεῖνο δ' ἔτι σκεπτέον· ἔοικε γὰρ τοῦ πεφυκότος ἢ μέρους ἢ δυνάμεως κατὰ φύσιν τι δέχεσθαι, τοῦ αὐτοῦ εἶναι καὶ εἰς τὸ παρὰ φύσιν ἐμπίπτειν πηρωθὲν ἢ νοσῆσαν, ὥσπερ ὀφθαλμοῦ μὲν, εἰς τυφλότητα ἐμπίπτειν· σκέλους δὲ, εἰς χωλότητα. καὶ γλώττης, εἰς ψελλότητα. ἄλλου δὲ μηδενός. οὐ γάρ ἐστι τυφλότης, μὴ πεφυκότος ὁρᾶν· οὐδὲ χωλότης, μὴ πεφυκότος βαδίζειν. ψελλόν τε καὶ ἄναυδον ἢ τραυλὸν, μὴ γλῶσσαν ἐχόντων. οὐδ' ἂν παραπαίοντα ἢ παράφρονα εἴποις· οὐδὲ μαινόμενον, ᾧ μὴ τὸ φρονεῖν καὶ διανοεῖσθαι καὶ λογίζεσθαι κατὰ φύσιν ὑπῆρχεν· οὐ γάρ ἐστιν ἐν πάθει γενέσθαι, μὴ κεκτημένον δύναμιν, ἧς τὸ πάθος ἢ στέρησις ἢ πήρωσις ἤ τις ἄλλη κάκωσίς ἐστιν. ἀλλὰ μὴν ἐντετύχηκά γε λυττώσαις κυσίν· ἔτι δὲ καὶ ἵπποις. ἔνιοι δὲ καὶ βοῦς φασι μαίνεσθαι καὶ ἀλώπεκας· ἀρκεῖ δὲ τὰ τῶν κυνῶν· ἀναμφισβήτητον γάρ ἐστι. καὶ μαρτυρεῖ λόγον καὶ διάνοιαν ἔχειν οὐ φαύλην τὸ ζῷον· ἧς ταρασσομένης καὶ συγχεομένης ἡ λεγομένη λύσσα καὶ μανία πάθος ἐστίν, οὔτε γὰρ ὄψιν ἀλλοιουμένην αὐτοῖς, οὔτε ἀκοὴν ὁρῶμεν. ἀλλ' ὥσπερ ἀνθρώπου μελαγχολῶντος ἢ παρακόπτοντος, ὁ μὴ λέγων ἐξεστάναι καὶ διεφθορέναι τὸ φρονοῦν καὶ τὸ λογιζόμενον καὶ μνημονεῦον, ἄτοπός ἐστιν· καὶ γὰρ ἡ συνήθεια ταῦτά γε κατηγορεῖ τῶν παραφρονούντων μὴ εἶναι παρ' αὐτοῖς, ἀλλ' ἐκπεπτωκέναι τῶν λογισμῶν. οὕτως ὁ τοὺς λυττῶντας κύνας ἄλλο τι πεπονθέναι νομίζων, ἀλλ' οὐχὶ τοῦ φρονεῖν πεφυκότος καὶ λογίζεσθαι καὶ μνημονεύειν ἀναπεπλησμένου ταραχῆς καὶ παραπεπληγότος, ἀγνοεῖν τὰ φίλτατα πρόσωπα καὶ φεύγειν τὰς διαίτας ἢ παρορᾶν τὸ φαινόμενον ἔοικεν, ἢ συνορῶν τὸ γινόμενον, ἐκ τοῦ φιλονεικεῖν πρὸς τὴν ἀλήθειαν. τὰ μὲν δὴ τοῦ Πλουτάρχου ἐν πολλοῖς βιβλίοις, πρὸς τοὺς ἀπὸ τῆς στοᾶς καὶ τοῦ περιπάτου εἰς ἀπάντησιν εἰρημένα, ἐστὶ τοιαῦτα. Θεόφραστος δὲ καὶ τοιούτῳ κέχρηται λόγῳ. τοὺς ἐκ τῶν αὐτῶν γεννηθέντας· λέγω δὲ πατρὸς καὶ μητρὸς οἰκείους εἶναι φύσει φαμὲν ἀλλήλων. καὶ τοίνυν, καὶ τοὺς ἀπὸ τῶν αὐτῶν προπατόρων ἀπαρξαμένους οἰκείους ἀλλήλων εἶναι νομίζομεν καὶ μέντοι τοὺς ἑαυτῶν πολίτας τῷ τῆς τε γῆς καὶ πρὸς ἀλλήλους ὁμιλίας κοινωνεῖν· οὐ γὰρ ἐκ τῶν αὐτῶν ἔτι τούτους ἀλλήλοις φύντας οἰκείους αὐτοῖς εἶναι κρίνομεν. εἰ μὴ ἄρα τινὲς τῶν πρώτων αὐτοῖς προγόνων οἱ αὐτοὶ τοῦ γένους ἀρχηγοὶ πεφύκασιν, ἢ ἀπὸ τῶν αὐτῶν· οὕτω δὲ καὶ οἶμαι καὶ τὸν Ἕλληνα μὲν, τῷ Ἕλληνι· τὸν δὲ βάρβαρον, τῷ βαρβάρῳ· πάντας δὲ τοὺς ἀνθρώπους ἀλλήλοις φαμὲν οἰκείους τε καὶ συγγενεῖς εἶναι, δυοῖν θάτερον ἢ τῷ προγόνων εἶναι τῶν αὐτῶν ἢ τῷ τροφῆς καὶ ἠθῶν καὶ ταὐτοῦ γένους κοινωνεῖν. οὕτως δὲ καὶ τοὺς πάντας ἀνθρώπους ἀλλήλοις τίθεμεν καὶ συγγενεῖς. καὶ μὴν πᾶσι τοῖς ζώοις αἵ τε τῶν σωμάτων ἀρχαὶ πεφύκασιν αἱ αὐταί. λέγω δὲ οὐχ ἁπλῶς τὰ στοιχεῖα ἀναφέρων τὰ πρῶτα· ἐκ τούτων μὲν γὰρ, καὶ τὰ φυτά, ἀλλ' οἷον σπέρμα, σάρκας, καὶ τὸ τῶν ὑγρῶν τοῖς ζώοις σύμφυτον γένος. πολὺ δὲ μᾶλλον τῷ τὰς ἐν αὐτοῖς ψυχὰς ἀδιαφόρους πεφυκέναι. λέγω δὲ ἐπιθυμίαις καὶ ταῖς ὀργαῖς· ἔτι δὲ τοῖς λογισμοῖς καὶ μάλιστα πάντων ταῖς αἰσθήσεσιν. ἀλλ' ὥσπερ τὰ σώματα καὶ τὰς ψυχὰς, οὕτω τὰ μὲν ἀπηκριβωμένας ἔχει τῶν ζώων· τὰ δὲ ἧττον τοιαύτας. πᾶσί γε μὴν αὐτοῖς αἱ αὐταὶ πεφύκασιν ἀρχαί. δηλοῖ δὲ ἡ τῶν παθῶν οἰκειότης. εἰ δὲ ἀληθές ἐστι τὸ λεγόμενον, ὡς ἡ τῶν ἠθῶν γένεσίς ἐστι τοιαύτη, φρονοῦσι μὲν ἅπαντα φῦλα· διαφέρουσι δὲ ταῖς ἀγωγαῖς τε καὶ ταῖς τῶν πρώτων κράσεσι, παντάπασιν ἂν οἰκεῖον εἴη καὶ συγγενὲς ἡμῖν τὸ τῶν λοιπῶν ζώων γένος· καὶ » γὰρ τροφαὶ πᾶσαι αἱ αὐταὶ πᾶσιν αὐτοῖς καὶ πνεύματα, ὡς Εὐριπίδης καὶ φοινίους ἔχει ῥοὰς τὰ ζῷα πάντα καὶ κοινοὺς ἁπάντων δείκνυσι γονεῖς, οὐρανὸν καὶ γῆν. ὥστε συγ-

γεννῶν ὄντων, εἰ φαίνοιτο κατὰ Πυθαγόραν καὶ τὴν ψυχὴν τὴν αὐτὴν εἰληχότα, δικαίως ἄν τις ἀσεβὴς κρίνοιτο, τῆς οἰκείων τῆς ἀδικίας μὴ ἀπεχόμενος· οὐ μὴν ὅτι τινὰ ἄγρια αὐτῶν, διὰ τοῦτο τὸ οἰκεῖον ἀποκέκοπται· οὐδὲν γὰρ ἧττον, ἀλλὰ καὶ μᾶλλον τῶν ἀνθρώπων ἔνιοι κακοποιοὶ τῶν πλησίον εἰσί· καὶ φέρονται πρὸς τὸ βλάπτειν τὸν ἐντυχόντα, καθάπερ ὑπό τινος πνοῆς, τῆς ἰδίας φύσεως καὶ μοχθηρίας. διὸ καὶ ἀναιροῦμεν τούτους. οὐ μέντοι ἀποκόπτομεν τὴν πρὸς τὸ ἥμερον σχέσιν. οὕτως οὖν εἰ καὶ τῶν ζώων τινὰ ἄγρια, ἐκεῖνα μὲν ὡς τοιαῦτα, ἀναιρετέον, καθάπερ καὶ τοὺς τοιούτους ἀνθρώπους. τῆς δὲ πρὸς τὰ λοιπὰ καὶ ἡμερώτερα σχέσεως ἀποστατέον. ἑκάτερα δὲ οὐδέτερα βρωτέον, ὡς οὐδὲ τοὺς ἀδίκους τῶν ἀνθρώπων. νῦν δὲ πολὺ τὸ ἄδικον ποιοῦμεν, ἀναιροῦντες μὲν καὶ τὰ ἥμερα· ὅτι καὶ τὰ ἄγρια, καὶ τὰ ἄδικα· ἐσθίοντες δὲ τὰ ἥμερα. κατ' ἄμφω γὰρ ἄδικοι. ὅτι ἥμερα ὄντα ἀναιροῦμεν, καὶ ὅτι ταῦτα θοινώμεθα. καὶ ψιλῶς ὁ τούτων θάνατος εἰς τὴν βορὰν ἔχει τὴν ἀναφοράν. Προσθείη δ' ἄν τις τούτοις, καὶ τὰ τοιαῦτα· ὁ γὰρ λέγων, ὅτι ὁ παρεκτείνων τὸ δίκαιον ἄχρι τῶν ζώων, φθείρει τὸ δίκαιον, ἀγνοεῖ ὡς αὐτὸς οὐ τὴν δικαιοσύνην διασώζει, ἀλλ' ἡδονὴν ἐπαύξει ἣ ἐστι δικαιοσύνῃ πολέμιον. ἡδονῆς γοῦν οὔσης τέλους, δείκνυται δικαιοσύνη ἀναιρουμένη. ἐπεὶ ὅτι τὸ δίκαιον συναύξεται διὰ τῆς ἀποχῆς, τίνι οὐ δῆλον; ὁ γὰρ ἀπεχόμενος παντὸς ἐμψύχου, κἂν μὴ τῶν συμβαλλόντων αὐτῷ εἰς κοινωνίαν, πολλῷ μᾶλλον πρὸς τὸ ὁμογενὲς τῆς βλάβης ἀφέξεται. οὐ γὰρ τὸ γένος φιλῶν, τὸ εἶδος μισήσει· ἀλλὰ μᾶλλον, ὅσῳ μεῖζον τὸ γένος τὸ τῶν ζώων, τοσούτῳ καὶ πρὸς τὸ μέρος καὶ τὸ οἰκεῖον ταύτην διασώσει. ὁ τοίνυν τὴν οἰκείωσιν τετηρημένος πρὸς τὸ ζῷον, οὗτος καὶ τό τι ζῷον οὐκ ἀδικήσει. ὁ δὲ μόνον περιγράψας ἐν ἀνθρώπῳ τὸ δίκαιον, ἑτοιμός ἐστιν ὡς ἐν στενῷ ἀποῤῥίψαι τὴν ἔφεξιν τῆς ἀδικίας. ὥστε καὶ τοῦ Σωκρατικοῦ ὄψου ἥδιον τὸ Πυθαγόρειον· ὁ μὲν γὰρ ὄψον τροφῆς τὸ πεινῆν ἔλεγεν· Πυθαγόρας δέ, τὸ μηδένα ἀδικεῖν. καὶ ἐφήδυσμα δικαιοσύνην τὸ ὄψον· ἡ γὰρ φυγὴ τῆς ἐμψύχου τροφῆς, φυγὴ ἦν τῶν περὶ τὴν τροφὴν ἀδικημάτων· οὐ γὰρ δὴ μὴ μετὰ κακώσεως ἑτέρου τὴν ἑαυτῶν σωτηρίαν ἀμήχανον ἡμῖν ὁ θεὸς ἐποίησεν. ἐπεὶ οὕτω γε τὴν φύσιν ἡμῖν ἀρχὴν ἀδικίας προσετίθει. μήποτε δὲ καὶ ἀγνοεῖν οὗτοι ἐοίκασι τὸ ἰδίωμα τῆς δικαιοσύνης, ὅσοι ἐκ τῆς πρὸς ἀνθρώπους οἰκειώσεως, εἰσάγειν ταύτην ᾠήθησαν. αὕτη μὲν γάρ, φιλανθρωπία τις ἂν εἴη· ἡ δὲ δικαιοσύνη, ἐν τῷ ἀφεκτικῷ καὶ ἀβλαβεῖ κεῖται παντὸς ὁτουοῦν τοῦ μὴ βλάπτοντος. καὶ οὕτως γε νοεῖται ὁ δίκαιος, οὐκ ἐκείνως. ὡς διατείνειν τὴν δικαιοσύνην καὶ ἄχρι τῶν ἐμψύχων κειμένην ἐν τῷ ἀβλαβεῖ. διὸ καὶ ἡ οὐσία αὐτῆς ἐν τῷ τὸ λογιστικὸν ἄρχειν τοῦ ἀλόγου, ἕπεσθαι δὲ τὸ ἄλογον· ἄρχοντος γὰρ τούτου· τοῦ δ' ἑπομένου, πᾶσα ἀνάγκη ἀβλαβῆ εἶναι πρὸς πᾶν ὁτιοῦν ἄνθρωπον. συνεσταλμένων γὰρ τῶν παθῶν καὶ τῶν ἐπιθυμιῶν καὶ ὀργῶν μεμαρασμένων. τοῦ δὲ λογισμοῦ τὴν οἰκείαν ἔχοντος ἀρχήν, εὐθὺς ἡ ὁμοίωσις ἕπεται ἡ πρὸς τὸ κρεῖττον. τὸ δὲ ἐν τῷ παντὶ κρεῖττον, πάντως ἦν ἀβλαβές. καὶ αὐτὸ μὲν δὴ δύναμιν καὶ σωστικὸν πάντων, καὶ εὐποιητικὸν πάντων, καὶ ἀπροσδεὲς πάντων. ἡμεῖς δὲ διὰ μὲν δικαιοσύνην, ἀβλαβεῖς πάντων· διὰ δὲ τὸ θνητόν, ἐνδεεῖς τῶν ἀναγκαίων. ἡ δὲ τῶν ἀναγκαίων λῆψις, οὐ βλάπτει οὔτε φυτά, ὅταν ἃ ἀποβάλλουσι, λάβωμεν· οὔτε καρπούς, ὅταν τεθνηκότων χρησώμεθα τοῖς καρποῖς· οὔτε πρόβατα, ὅταν διὰ τῆς κουρᾶς αὐτὰ μᾶλλον ὀνήσωμεν καὶ τοῦ γάλακτος κοινωνήσωμεν, παρέχοντες αὐτοῖς τὴν ἐξ ἡμῶν ἐπιμέλειαν. διὸ περιστέλλει ὁ δίκαιος, οἷον ἐλαττωτικὸς ἑαυτοῦ τῶν κατὰ σῶμα· οὐκ ἀδικεῖ δὲ ἑαυτόν· αὔξει γὰρ τῇ τούτου παιδαγωγίᾳ καὶ ἐγκρατείᾳ τὸ ἐντὸς ἀγαθόν. τουτέστιν ἡ πρὸς θεὸν ὁμοίωσις. οὔτε τοίνυν ἡδονῆς οὔσης τέλους ἡ ὄντως σώζεται δικαιοσύνη· οὔτε τῶν πρώτων κατὰ φύσιν συμπληρούντων τὴν εὐδαιμονίαν ἢ ἐκκειμένων γε πάντων· ἐν πολλοῖς γὰρ τὰ τῆς ἀλόγου κινήματα φύσεως καὶ αἱ χρεῖαι ἀδικίας κατάρχει αὐτίκα τῆς ζωοφαγίας ἐδεήθησαν. ἵνα τὴν φύσιν ὥς φασι, διαφυλάξωσιν ἀλύπητον καὶ ἀνενδεᾶ ὧν ὀρέγεται. τοῦ δ' ὁμοιοῦσθαι θεῷ ὄντος τέλους, ὡς ἔνι μάλιστα σώζεται τὸ ἀβλαβὲς ἐν ἅπασιν. ὃν τρόπον τοίνυν ὁ πάθεσιν ἀγόμενος πρὸς μόνα τέκνα καὶ γυναῖκα ἀβλαβής. τῶν δὲ ἄλλων καταφρονητικὸς καὶ πλεονέκτης. ὡς αὖ τοῦ ἀλόγου κρατοῦντος ἐν ἑαυτῷ, πρὸς τὰ θνητὰ ἐγείρεται καὶ ταῦτα ἐκπλήττεται. ὁ δὲ λόγῳ ἀγόμενος

μενος

μᾶλλον καὶ πρὸς πολίτην τηρεῖ τὸ ἀβλαβές· καὶ ἔτι μᾶλλον πρὸς ξένους καὶ πρὸς πάντας ἀνθρώπους, ὁ τὴν ἀλογίαν ἔχων ὑπήκοον καὶ αὐτὸς παρ' ἐκείνους λογικώτερος· δὴ ταύτῃ δὲ καὶ θειότερος, εἴπερ ὁ μὴ μόνον στήσας τὸ ἀβλαβὲς ἐν ἀνθρώποις· παρατείνας δὲ καὶ εἰς τὰ ἄλλα ζῷα, μᾶλλον ὅμοιος θεῷ· καὶ εἰ ἄχρι φυτῶν δυνατὸν, ἔτι μᾶλλον σώζει τὴν εἰκόνα. εἰ δὲ μὴ, ἀλλ' ἐντεῦθεν γε τὸ τῆς φύσεως ἡμῶν ἐλάττωμα, ἐντεῦθεν τὸ θρηνούμενον πρὸς τῶν παλαιῶν, ὡς τοίων ἐξ ἐρίδων ἔκ τε νεικέων γενόμεσθα, ὅτι τὸ θεῖον καὶ ἀκέραιον καὶ ἐν πᾶσιν ἀβλαβὲς, σώζειν οὐ δυνάμεθα· οὐ γὰρ ἐν πᾶσιν ἡμῖν ἀπροσδεεῖς. αἰτία δὲ ἡ γένεσις καὶ τὸ ἐν τῇ πενίᾳ ἡμᾶς γενέσθαι, τῶν πόρων ἀπορρυέντος. ἡ δὲ πενία, ἐξ ἀλλοτρίων τὴν σωτηρίαν καὶ τὸν κόσμον, δι' οὗ τὸ εἶναι λαμβάνει, ἐκτᾶτο. ὅστις οὖν πλειόνων δεῖται τῶν ἔξωθεν, τῶν πλέον τῇ πενίᾳ προσέλαται· καὶ ὅσῳ πλεόνων ἐνδεὴς, τοσούτῳ θεοῦ μὲν ἄμοιρος· πενίᾳ δὲ σύνοικος· τὸ γὰρ θεῷ ὅμοιον, τῇ ὁμοιώσει εὐθὺς πλοῦτον ἔχει τὸν ἀληθινόν· πλουτῶν δὲ οὐδεὶς καὶ χρῄζων μηδενὸς, ἀδικεῖ· ἕως γὰρ ἀδικεῖ κἂν πάντα ἔχει χρήματα, κἂν πάντα τῆς γῆς πλέθρα, πένης ἐστίν· πενία ὑπάρχων σύνοικος. δὴ ταῦτα δὴ καὶ ἄδικος καὶ ἄθεος καὶ ἀσεβὴς καὶ πάσῃ κακίᾳ ἔνοχος, ἣν τὴν ὑπόστασιν ἡ πρὸς τὴν ὕλην τῆς ψυχῆς πτῶσις κατὰ στέρησιν τῶν ἀγαθῶν παρήγαγεν. λῆρος οὖν πάντα, ἕως τις τῆς ἀρχῆς ἀπέσφαλται. καὶ ἐνδεὴς πάντων, ἕως εἰς πρὸς τὸν κόρον ἀβλέπει· εἴκει τε τῷ θνητῷ τῆς φύσεως αὐτοῦ, ἕως τὸν ὄντως ἑαυτὸν οὐκ ἐγνώρισεν. δεινὴ δὲ ἡ ἀδικία πείθειν ἑαυτὴν καὶ δικάζειν τῶν ὑπ' αὐτῇ συνεχομένους, διότι σὺν ἡδονῇ προσομιλεῖ τοῖς φροίμοις. ὡς γὰρ ἐν βίων αἱρέσεσιν ἀκριβέστερος κριτὴς, ὁ πεῖραν ἀμφοῖν εἰληφὼς, τοῦ θατέρου πειραθέντος μόνου. οὕτως ἐν αἱρέσεσι καὶ φυγαῖς καθηκόντων, ἀσφαλέστερος κριτὴς ὁ ἐκ τοῦ ἐπαναβεβηκότος κρίνων καὶ τὸ ἧττον, τοῦ κάτωθεν κρίνοντος τὰ προκείμενα. ὥστε ὁ κατὰ νοῦν ζῶν, τοῦ κατὰ τὴν ἀλογίαν ἀκριβέστερος ὁριστὴς. ὧν τε αἱρετὸν καὶ ὧν μή· διῆλθεν γὰρ καὶ δι' ἀλογίας, ἅτε ἐξ ἀρχῆς ταύτῃ προσομιλήσας. ὁ δὲ ἄπειρος ὢν τῶν κατὰ νοῦν, πείθει τοὺς ὁμοίους, παῖς ἐν παισὶ φλυαρῶν. Ἀλλ' εἰ πάντες φασὶ τούτοις πεισθεῖεν τοῖς λόγοις, τί ἡμῖν ἔσται; ἢ δῆλον ὡς εὐδαιμονήσομεν, ἀδικίας μὲν ἐξορισθείσης ἀπ' ἀνθρώπων· δικαιοσύνης δὲ πολιτευομένης καὶ παρ' ἡμῖν, καθάπερ καὶ ἐν οὐρανῷ. νῦν δ' ὅμοιον, ὡς εἰ καὶ αἱ Δαναΐδες ἠπόρουν, τίνα βίον βιώσονται, ἀπαλλαγεῖσαι τῆς περὶ τὸν τετρημένον πίθον, δὴ τοῦ κοσκίνου λατρείας. Τί γὰρ ἔσται ἀπορούντων, εἰ παυσαίμεθα ἐπιφοροῦντες εἰς τὰ πάθη ἡμῶν καὶ τὰς ἐπιθυμίας, ὧν τὸ πᾶν διαρρεῖ ἀπειρίᾳ τῶν κακῶν, τῶν περὶ τοῖς ἀναγκαίοις καὶ ὑπὲρ τῶν ἀναγκαίων στεργόντων ἡμῶν βίον. τί τοίνυν πράξομεν ἐρωτᾷς ὦ ἄνθρωπε; μιμησώμεθα τὸ χρυσοῦν γένος· μιμησώμεθα τῶν ἐλευθερωθέντων, μεθ' ὧν μὲν γὰρ αἰδὼς καὶ νέμεσις ἔτι δίκη ὁμιλεῖ, ὅτι ἤρκουν τοῖς ἐκ γῆς καρποῖς· καρπὸν γὰρ σφίσιν ἔφερε ζείδωρος ἄρουρα, αὐτομάτη πολλόν τε καὶ ἄφθονον. οἱ δέ γε ἐλευθερωθέντες ἃ πάλαι τοῖς δεσπόταις ὑπηρετοῦντες ἐπόριζον, ταῦτα ἑαυτοῖς πορίζουσιν οὐχ ὁμοίως. Καὶ σὺ τοίνυν ἀπαλλαγεὶς τῆς τοῦ σώματος δουλείας καὶ τῆς τοῖς πάθεσι τοῖς διὰ τὸ σῶμα, λατρείας, ὡς ἐκεῖνα ἔτρεφες παντοίως τοῖς ἔξωθεν. οὕτως αὐτὸν θρέψεις παντοίως τοῖς ἔνδοθεν. δικαίως ἀπολαμβάνων τὰ ἴδια καὶ οὐκ ἔτι τὰ ἀλλότρια βίᾳ ἀφαιρούμενος.

Τέλος τοῦ γ΄. περὶ ἀποχῆς ἐμψύχων.

ΠΟΡΦΥΡΙ'ΟΥ ΦΙΛΟΣΟ'ΦΟΥ
ΠΕΡΙ` Α'ΠΟΧΗ~Σ Ε'ΜΨΥ'ΧΩΝ
ΒΙΒΛΙ'ΟΝ. Δ'.

ΠΡΟ'Σ μὲν ἁπάσας σχεδὸν τὰς ἐνστάσεις τῶν τῇ ἡμῶν ἀληθείᾳ, ἀκρασίας ἕνεκα καὶ ἀκολασίας τὴν σαρκοφαγίαν προσιεμένων, ἀπολογίας δὲ αὐτοῖς ἀναισχύντους πεπορικότων, τὰς ἐκ τῆς ἐνδείας, ἣν πλέον ἢ χρὴν τῇ φύσει, προσάπτουσι, διὰ τῶν εἰρημένων ὦ Καστρίκιε ἀπηντήσαμεν. λειπομένων δύο ἔτι μερικῶν ζητήσεων, ὧν μάλιστα ἡ τοῦ συμφέροντος ἐπαγγελία ἐξαπατᾷ, τοὺς ὑπὸ τῶν ἡδονῶν δεδεκασμένους. καὶ μὴν καὶ τῆς μαρτυρίας τοῦ μηδένα μήτε τῶν σοφῶν, μήτε τι ἔθνος παραιτήσασθαι τὴν βρῶσιν: ἱκανῶς εἰς μέγεθος τῆς ἀδικίας τοὺς ἀκούοντας προαγούσης, ὑπ' ἀπειρίας τῆς ἀληθινῆς ἱστορίας τὸν ἔλεγχον τούτων ποιεῖσθαι μέλλοντες, τὰς περὶ τοῦ συμφέροντος καὶ τῶν ἄλλων ζητημάτων λύσεις ἐκβαλεῖν πειρασόμεθα. ἀρξώμεθα δ' ἀπὸ τῆς κατὰ ἔθνη τινῶν ἀποχῆς: ὧν ἡγήσονται τοῦ λόγου οἱ ἕλληνες, ὡς ἂν τῶν μαρτυρούντων ὄντες οἰκειότατοι. Τῶν τοίνυν συντόμως τε ὁμοῦ καὶ ἀκριβῶς τὰ ἑλληνικὰ συναγαγόντων ἐστὶν καὶ ὁ περιπατητικὸς Δικαίαρχος: ὃς τὸν ἀρχαῖον βίον τῆς ἑλλάδος ἀφηγούμενος, τοὺς παλαιοὺς καὶ ἐγγὺς θεῶν φησι γεγονότας, βελτίστους τε ὄντας φύσει καὶ τὸν ἄριστον ἐζηκότας βίον, ὡς χρυσοῦν γένος νομίζεσθαι, παραβαλλομένους πρὸς τοὺς νῦν, κιβδήλου καὶ φαυλοτάτης ὑπαρχούσης ὕλης, μηδὲν φονεύειν ἔμψυχον: ὃ δὴ καὶ τοὺς ποιητὰς παριστάντας χρυσοῦν μὲν ἐπονομάζειν γένος. Ἐσθλὰ δὲ πάντα λέγειν.

» Τοῖσιν ἔην: καρπὸν δ' ἔφερεν ζείδωρος ἄρουρα.
» Αὐτομάτη, πολλόν τε καὶ ἄφθονον: οἱ δ' ἐθελημοὶ.
» Ἡσυχοι ἔργ' ἐνέμοντο, σὺν ἐσθλοῖσιν πολέεσσιν.

Ἃ δὴ καὶ ἐξηγούμενος ὁ Δικαίαρχος τὸν ἐπὶ κρόνου βίον τοιοῦτον εἶναι φησίν. εἰ δεῖ λαμβάνειν μὲν αὐτὸν ὡς γεγονότα. καὶ μὴ μάτην ἐπιπεφημισμένον. τὸ δὲ λίαν μυθικὸν ἀφέντας, εἰς τὸ διὰ τοῦ λόγου φυσικὸν ἀνάγειν. αὐτόματα μὲν γὰρ πάντα ἐφύετο εἰκότως: οὐ γὰρ αὐτοί γε κατεσκεύαζον οὐθὲν διὰ τὸ μήπω τὴν γεωργίαν ἔχειν τέχνην: μήθ' ἑτέραν μηδεμίαν ἁπλῶς. τὸ δ' αὐτὸ καὶ τοῦ σχολὴν ἄγειν, αἴτιον ἐγίγνετο αὐτοῖς. καὶ τοῦ διάγειν ἄνευ πόνων καὶ μερίμνης. εἰ δ' ἔτι τῇ τῶν γλαφυρωτάτων ἰατρῶν ἐπακολουθῆσαι δεῖ διανοίᾳ, καὶ τοῦ μὴ νοσεῖν: οὐθὲν γὰρ εἰς ὑγίειαν αὐτῶν μεῖζον παράγγελμα εὕροι τις ἂν ἢ τὸ, μὴ ποιεῖν περιττώματα. ὧν διὰ παντὸς ἐκεῖνοι καθαρὰ τὰ σώματα ἐφύλαττον: οὔτε γὰρ τὴν τῆς φύσεως ἰσχυροτέραν τροφὴν. ἀλλ' ἧς ἡ φύσις ἰσχυροτέρα, προσεφέροντο: οὔτε τὴν πλείω τῆς μετρίας διὰ τὴν ἑτοιμότητα, ἀλλ' ὡς τὰ πολλὰ, τὴν ἐλάττω τῆς ἱκανῆς, διὰ τὴν σπάνιν. ἀλλὰ μὴν οὐδὲ πόλεμοι αὐτοῖς ἦσαν: οὐδὲ στάσεις πρὸς ἀλλήλους: ἆθλον γὰρ οὐδὲν ἀξιόλογον ἐν τῷ μέσῳ προκείμενον ὑπῆρχεν, ὑπὲρ ὅτου τις ἂν διαφορὰν τοσαύτην ἐνεστήσατο. ὥστε τὸ κεφάλαιον εἶναι τοῦ βίου συνέβαινε σχολὴν, ῥαθυμίαν ἀπὸ τῶν ἀναγκαίων, ὑγίειαν, εἰρήνην, φιλίαν. τοῖς δὲ ὑστέροις ἐφιεμένοις μεγάλων καὶ πολλοῖς περιπίπτουσι κακοῖς, ποθεινὸς εἰκότως ἐκεῖνος ὁ βίος ἐγίγνετο. δηλοῖ δὲ τὸ λιτὸν τῶν πρώτων καὶ
» αὐτοσχέδιον τῆς τροφῆς, τὸ μεθύστερον ῥηθὲν, ἄλις δρυὸς, τοῦ μεταβάλλοντος πρώτου οἷα εἰκὸς, τοῦτο φθεγξαμένου. ὕστερον ὁ νομαδικὸς εἰσῆλθεν βίος: καθ' ὃν περιττοτέραν ἤδη κτῆσιν προσπεριεβάλλοντο καὶ ζώων ἥψαντο: κατανοήσαντες ὅτι τὰ μὲν, ἀσινῆ ἐτύγχανεν

ὄντα· τὰ δὲ, κακοῦργα καὶ χαλεπά. καὶ οὕτω δὴ τὰ μὲν, ἐτιθάσευσαν· τοῖς δὲ, ἐπέθεντο. καὶ ἅμα ἐν τῷ αὐτῷ βίῳ συνεπῆλθεν πόλεμος καὶ ταῦτά φησιν οὐχ ἡμεῖς, ἀλλ' οἱ τὰ πολλὰ ἱστορίᾳ διεξελθόντες εἰρήκασιν· ἤδη γὰρ ἀξιόλογα κτήματα ἦν ὑπάρχοντα· οἱ μὲν ἐπὶ τὸ παρελέσθαι φιλοτιμίαν ἐποιοῦντο, ἀθροιζόμενοί τε καὶ παρακαλοῦντες ἀλλήλους· οἱ δ' ἐπὶ τὸ διαφυλάξαι. προϊόντος δὲ κατὰ μικρὸν οὕτω τοῦ χρόνου, κατανοοῦντες ἀεὶ τῶν χρησίμων εἶναι δοκούντων, εἰς τὸ τρίτον τε καὶ γεωργικὸν ἐνέπεσον εἶδος. ταυτὶ μὲν Δικαιάρχου τὰ παλαιὰ τῶν ἑλληνικῶν διεξιόντος· μακάριόν τε τὸν βίον ἀφηγουμένου τῶν παλαιοτάτων, ὃν οὐχ ἧττον τῶν ἄλλων, καὶ ἡ ἀποχὴ τῶν ἐμψύχων συνεπλήρου. διὸ πόλεμος οὐκ ἦν, ὡς ἂν ἀδικίας ἐξεληλαμένης. συνεισῆλθε δὲ ὕστερον καὶ πόλεμος καὶ ἡ εἰς ἀλλήλους πλεονεξία ἅμα τῇ τῶν ζώων ἀδικίᾳ. ὃ καὶ θαυμαστὸν τῶν τολμησάντων τὴν ἀποχὴν τῶν ζώων, ἀδικίας μητέρα εἰπεῖν. τῆς ἱστορίας καὶ τῆς πείρας ἅμα τῷ φόνῳ αὐτῶν, τρυφήν τε καὶ πόλεμον καὶ ἀδικίαν συνεισελθεῖν μηνυούσης. διὸ δὴ καὶ ὕστερον Λυκοῦργον τὸν Λακεδαιμόνιον συνιδόντα, καίπερ κεκρατηκότος τοῦ γεύεσθαι ἐμψύχων, οὕτως τὴν πολιτείαν συντάξαι ὡς ἥκιστα τῆς ἐκ τούτων τροφῆς δεῖσθαι· τὸν γὰρ κλῆρον ἑκάστου οὐκ ἐν ἀγέλαις βοῶν καὶ προβάτων αἰγῶν τε καὶ ἵππων ἢ χρημάτων περιουσίᾳ ἀφορίσαι, ἀλλ' ἐν γῆς κτήσει, φερούσης ἀποφορὰν ἀνδρὶ ἑβδομήκοντα κριθῶν μεδίμνους· γυναικὶ δὲ δώδεκα καὶ τῶν ὑγρῶν καρπῶν, ἀναλόγως τὸ πλῆθος· ἀρκέσειν γὰρ ᾤετο τοσοῦτον τροφῆς πρὸς εὐεξίαν καὶ ὑγείαν ἱκανὴν, ἄλλου μηδενὸς δεόμενος. ὅθεν καί φασιν ὡς ὕστερόν ποτε χρόνῳ τὴν χώραν διερχόμενος ἐξ ἀποδημίας ἄρτι τεθερισμένην, ὁρῶν τὴν γῆν καὶ τὰς ἅλωνας παραλλήλους καὶ ὁμαλεῖς, ἐμειδίασέν τε καὶ εἶπε πρὸς τοὺς παρόντας· ὡς Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι, νεωστὶ νενεμημένων. τοιγαροῦν ἐξὸν αὐτῷ τρυφὴν ἐξελάσαντι τῆς Σπάρτης, ἀκυρῶσαι πᾶν νόμισμα χρυσοῦ καὶ ἀργύρου· μόνῳ δὲ χρῆσθαι τῷ σιδήρῳ καὶ τούτῳ ἀπὸ πολλοῦ σταθμοῦ καὶ ὄγκου δύναμιν ὀλίγην ἔχοντι· ὥστε δέκα μνῶν ἀμοιβὴν ἀποθήκης μεγάλης ἐν οἰκίᾳ δεῖσθαι καὶ ζεύγους ἀγαγόντος. οὗ κυρωθέντος, ἐξέπεσεν ἀδικημάτων γένη πολλὰ τῆς Λακεδαίμονος· τίς γὰρ ἢ κλέπτειν ἔμελλεν, ἢ δωροδοκεῖν, ἢ ἀποστερεῖν, ἢ ἁρπάζειν, ὃ μήτε κατακρύψαι δυνατὸν ἦν, μήτε κτῆσθαι ζηλωτὸν, ἀλλὰ μηδὲ κατακόψαι λυσιτελές· ἔμελλον δὲ καὶ τέχναι αἱ χρηστοὶ ἐξελαθήσεσθαι σὺν τούτοις, διάθεσιν τῶν ἔργων οὐκ ἐχόντων· τὸ γὰρ σιδηροῦν ἀγώγιμον οὐκ ἦν πρὸς τοὺς ἄλλους Ἕλληνας. οὐδὲ εἶχε τιμὴν καταγελώμενον, ὥστε οὐδὲ πρίασθαί τι τῶν ξενικῶν καὶ ῥωπικῶν ὑπῆρχεν· οὐδὲ εἰσέπλει φόρτος ἐμπορικὸς εἰς τοὺς λιμένας. οὐδ' ἐπέβαινε τῆς Λακωνικῆς οὐ σοφιστὴς λόγων, οὐ μάντις ἀγυρτικὸς, οὐχ ἑταιρῶν τροφεὺς, οὐ χρυσῶν τις, οὐ χαλκῶν καλλωπισμάτων δημιουργός. ἅτε δὴ νομίσματος οὐκ ὄντος. ἀλλ' οὕτως ἀπερημωθεῖσα κατὰ μικρὸν ἡ τρυφὴ τῶν ζωπυρούντων καὶ τρεφόντων, αὐτὴ δι' ἑαυτῆς ἐμαραίνετο καὶ πλέον οὐδὲν ἦν τοῖς πολλὰ κεκτημένοις. ὁδὸν οὐκ ἐχούσης εἰς μέσον τῆς εὐπορίας. ἀλλ' ἐγκατῳκοδομημένης καὶ ἀργούσης. διὸ καὶ τὰ πρόχειρα τῶν σκευῶν καὶ ἀναγκαῖα ταῦτα. κλιντῆρες καὶ δίφροι καὶ τράπεζαι βέλτιστα παρ' αὐτοῖς ἐδημιουργεῖτο καὶ κώθων ὥς φησι Κριτίας, Λακωνικὸς, εὐδοκίμει μάλιστα πρὸς τὰς στρατείας· τὰ γὰρ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωποῦντα τὴν ὄψιν, ἀπεκρύπτετο τῇ χρόᾳ καὶ τοῦ θολεροῦ προσκόπτοντος καὶ προσισχομένου τοῖς ἄμβωσι, καθαρώτερον ἐπλησίαζε τῷ στόματι τὸ πινόμενον. αἴτιος δὲ καὶ τούτων ὁ νομοθέτης ὥς φησιν ὁ Πλούταρχος· ἀπηλλαγμένοι γὰρ οἱ δημιουργοὶ τῶν ἀχρήστων, ἐν τοῖς ἀναγκαίοις ἐπεδείκνυντο τὴν καλλιτεχνίαν· ἔτι δὲ μᾶλλον ἐπιθέσθαι τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου διανοηθεὶς, τὸ τρίτον πολίτευμα καὶ κάλλιστον ἐπῆγεν, τὴν τῶν συσσιτίων κατασκευήν· ὥστε δειπνεῖν μετ' ἀλλήλων συνιόντας ἐπὶ κοινοῖς καὶ τεταγμένοις ὄψοις καὶ σιτίοις· οἴκοι δὲ μὴ διαιτᾶσθαι κατακλιθέντας εἰς στρωμνὰς πολυτελεῖς καὶ τραπέζας χερσὶν δημιουργῶν καὶ μαγείρων ὑπὸ σκότος ὥσπερ ἀδηφάγα ζῶα σιτευομένους καὶ διαφθείροντας ἅμα τοῖς ἤθεσι τὰ σώματα, πρὸς πᾶσαν ἐπιθυμίαν ἀνιέμενα καὶ πλησμονὴν. μακρῶν μὲν ὕπνων· θερμῶν δὲ λουτρῶν. πολλῆς δὲ ἡσυχίας, καὶ τρόπον τινὰ νοσηλίας καθεζομένης, δεομένην· μέγα μὲν

οἴκῳ καὶ ὥσπερ ἦν· μεῖζον δὲ τούτου τὸ, τὸν πλοῦτον ἄζηλον ὥς φησι Θεόφραστος, καὶ ἄπλουτον ἀπεργάζεσθαι τῇ κοινότητι τῶν δείπνων καὶ τῇ περὶ τὴν δίαιταν εὐτελείᾳ· χρῆσις γὰρ οὐκ ἦν, οὐδὲ ἀπόλαυσις, οὐδὲ ὄψις ὅλως ἢ ἐπίδειξις τῆς ὅλης παρασκευῆς, ὑπὸ τὸ αὐτὸ δεῖπνον τῷ πένητι, τοῦ πλουσίου βαδίζοντος. ὥστε ὥσπερ δὴ τὸ θρυλλούμενον, ἐν μόνῃ τῇ Σπάρτῃ βλέπεσθαι, τυφλὸν ὄντα τὸν πλοῦτον καὶ κείμενον ὥσπερ γραφὴν ἄψυχον καὶ ἀκίνητον· οὐδὲ γὰρ οἴκοι προδειπνήσαντας ἐξῆν βαδίζειν ἐπὶ τὰ συσσίτια συμπεπληρωμένους. ἀλλ' ἐπιμελῶς οἱ λοιποὶ φυλάττοντες, τὸν μὴ πίνοντα· μηδὲ ἐσθίοντα μετ' αὐτῶν, ἐκάκιζον, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν μαλθακιζόμενον δίαιταν. διὸ καὶ φιδίτια προσηγόρευον ταῦτα. εἴτε ὡς φιλίας καὶ φιλοφροσύνης ὑπάρχοντα αἴτια, ἀντὶ τοῦ λάμβδα τὸ δέλτα λαμβάνοντες. εἴτε ὡς πρὸς εὐτέλειαν καὶ φειδὼ συνεθιζόντων. συνήρχοντο δὲ ἀνὰ πεντεκαίδεκα καὶ βραχεῖς τούτων ἐλάττους ἢ πλείους· ἔφερε δὲ ἕκαστος κατὰ μῆνα τῶν συσσίτων, ἀλφίτων μέδιμνον· οἴνου χόας ὀκτώ· τυροῦ πέντε μνᾶς· σύκων ἡμίμνεα πέντε. πρὸς δὲ τούτοις εἰς ὀψωνίαν μικρόν τι καὶ κομιδῆ νομίσματος. εἰκότως ἄρα οὕτω λιτῶς καὶ σωφρόνως δειπνούντων καὶ οἱ παῖδες ἐφοίτων εἰς τὰ συσσίτια, ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι. καὶ λόγων ἠκροῶντο πολιτικῶν, καὶ παιδείας ἐλευθερίας ἑώρων· αὐτοί τε παίζειν εἰθίζοντο καὶ σκώπτειν ἄνευ βωμολοχίας καὶ σκωπτόμενοι, μὴ δυσχεραίνειν· σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο λακωνικὸν εἶναι, σκώμματος ἀνασχέσθαι· μὴ φέροντα δὲ, ἐξῆν παραιτεῖσθαι καὶ ὁ σκώπτων ἐπέπαυτο. τοιαύτη μὲν ἡ τῶν Λακεδαιμονίων περὶ τὴν δίαιταν λιτότης καίπερ εἰς πλῆθος νενομοθετημένη. διὸ καὶ ἀνδρικώτεροι, καὶ σωφρονέστεροι, καὶ τοῦ ὄντος μᾶλλον φροντίζοντες οἱ ἐκ ταύτης τῆς πολιτείας ἀναβαίνοντες παραδέδονται, τῶν ἐκ τῶν ἄλλων, διεφθαρμένων καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι καὶ δῆλον ὡς τοιαύτῃ πολιτείᾳ οἰκεῖον, τὸ τῆς ἀποχῆς τῆς παντελοῦς· ταῖς δὲ διεφθαρμέναις, τὸ τῆς βρώσεως. μεταβάντι δὲ εἰς τὰ ἄλλα ἔθνη. εὐνομίας τε καὶ ἡμερότητος τῆς τε πρὸς τὸ θεῖον εὐσεβείας ἐπεστραφῆ, φανερὸν ἔσται ὡς πρός τε τὴν σωτηρίαν τῶν πόλεων. ὧν καὶ τὸ συμφέρον αὐτοῖς εἰ καὶ μὴ ὑπὸ πάντας, ἀλλὰ γοῦν εἴς τινας τὸ τῆς ἀποχῆς προσετέτακτο. εἰ δὲ ὑπὲρ τῆς πόλεως θύοντες τοῖς θεοῖς καὶ θεραπεύοντες ἀπεμειλίττοντο τὰς τῶν πολλῶν ἁμαρτίας· ὥσπερ γὰρ ἐν τοῖς μυστηρίοις ὁ ἀφ' ἑστίας λεγόμενος παῖς, ἀντὶ πάντων τῶν μυουμένων ἀπομειλίσσεται τὸ θεῖον, ἀκριβῶς δρῶν τὰ προστεταγμένα, ταῦτα κατὰ τὰ ἔθνη καὶ τὰς πόλεις οἱ ἱερεῖς δύνανται ἀντὶ πάντων θύοντες. καὶ τὸ θεῖον προσαγόμενοι διὰ τῆς εὐσεβείας εἰς τὴν σφῶν κηδεμονίαν. τοῖς τοίνυν ἱερεῦσιν τοῖς μὲν, τῶν ζώων πάντων· τοῖς δὲ, τινῶν πάντως προσετάχθη ἀπέχεσθαι τῆς βορᾶς εἴτε ἑλληνικὸν ἔθος σκοπεῖς, εἴτε βάρβαρον. καὶ μέντοι παρ' ἄλλοις, ἄλλως. ὥστε τοὺς πανταχοῦ παρειληφθείσας φαίνεσθαι πάντων ἀπεχομένους εἴ τις τοὺς πάντας ὡς ἕνα ὑπολάβοι. εἰ τοίνυν οἱ τῆς σωτηρίας τῶν πόλεων προεστῶτες, καὶ τὴν εὐσέβειαν αὐτῶν τὴν πρὸς τοὺς θεοὺς πεπιστευμένοι, τῶν ζώων ἀπέχονται, πῶς ἄν τις τολμήσειεν ὡς ἀσύμφορον ταῖς πόλεσι, τὴν ἀποχὴν αἰτιᾶσθαι. τὰ γοῦν κατὰ τοὺς Αἰγυπτίους ἱερέας, Χαιρήμων ὁ στωϊκὸς ἀφηγούμενος, οὓς καὶ φιλοσόφους ὑπειλῆφθαι φησὶ παρ' Αἰγυπτίοις, ἐξηγεῖται. ὡς τόπον μὲν ἐξελέξαντο ἐμφιλοσοφῆσαι τὰ ἱερά· πρός τε γὰρ τὴν ὅλην ὄρεξιν τῆς θεωρίας συγγενὲς ἦν παρὰ τοῖς ἐκείνων ἀφιδρύμασι διαιτᾶσθαι· παρεῖχέ τε αὐτοῖς ἀσφάλειαν μὲν ἐκ τοῦ θείου σεβασμοῦ, καθάπερ τινὰ ἱερὰ ζῶα. πάντων τιμώντων τοὺς φιλοσόφους. ἠρεμαίοις δὲ εἶναι ἅτε τῆς ἐπιμιξίας κατὰ τὰς πανηγύρεις καὶ τὰς ἑορτὰς συντελουμένης μόνον. τὸ δὲ λοιπὸν, σχεδὸν ἀβάτων ὄντων τοῖς ἄλλοις τῶν ἱερῶν· ἁγνεύσαντας γὰρ ἔδει προσιέναι. καὶ πολλῶν ἀποσχομένους καὶ τοῦτο, ὥσπερ κοινὸς τῶν κατ' Αἴγυπτον ἱερῶν θεσμός ἐστιν· ἀπειπάμενοι δὲ πᾶσαν τὴν ἄλλην ἐργασίαν καὶ πόρους ἀνθρωπίνους, ἀπέδοσαν ὅλον, τὸν βίον τῇ τῶν θείων θεωρίᾳ καὶ θεάσει. διὰ μὲν ταύτης τό, τε τίμιον καὶ ἀσφαλὲς καὶ εὐσεβὲς πορίζομενοι· διὰ δὲ τῆς θεωρίας, τὴν ἐπιστήμην· δι' ἀμφοῖν δὲ ἄσκησιν ἠθῶν κεκρυμμένην τινὰ καὶ ἀρχαιοπρεπῆ· τὸ γὰρ ἀεὶ συνεῖναι τῇ θείᾳ γνώσει καὶ ἐπιπνοίᾳ, πάσης μὲν ἔξω τίθησι πλεονεξίας· καταστέλλει δὲ τὰ πάθη, διεγείρει δὲ πρὸς σύνεσιν τὸν βίον· λιτό-

τητα δὲ ἐπετήδευσαν καὶ καταστολήν· ἐγκράτειάν τε καὶ καρτερίαν· τό τε ἐν παντὶ δίκαιον καὶ ἀπλεονέκτητον. σεμνοὺς δὲ αὐτοὺς παρεῖχε καὶ τὸ δυσεπίμικτον. οἵ γε παρὰ μὲν αὐτὸν τὸν τῶν λεγομένων ἁγνειῶν καιρὸν, οὐδὲ τοῖς συγγενεστάτοις καὶ ὁμοφύλοις ἐπεμίγνυντο σχεδόν· οὐδὲ ἄλλ' ὄντων θεώμενοι, ὅτι μὴ πρὸς τὰς ἀναγκαίας συναγνεύουσι χρείας ἢ ἁγνευτήρια τοῖς μὴ καθαρεύουσιν ἄδυτα καὶ πρὸς ἱερουργίας ἅγια κατανεμόμενοι· τὸν δὲ ἄλλον χρόνον, ἁπλούστερον μὲν τοῖς ὁμοίοις ἐπεμίγνυντο· τῶν δὲ βιωτικῶν τῆς θρησκείας οὐδενὶ συνεβίουν· ἐφαίνοντο δὲ ἀεὶ θεῶν ἢ ἀγαλμάτων ἐγγύς. ἤτοι φέροντες ἢ προηγούμενοι καὶ τάσσοντες μετὰ κόσμου τε καὶ σεμνότητος. ὧν ἕκαστον, οὐ τῦφος ἦν· ἀλλά τινος ἔνδειξις φυσικοῦ λόγου. τὸ δὲ σεμνὸν κἀκ τοῦ καταστήματος ἑωρᾶτο. πορεία τε γὰρ ἦν εὔτακτος καὶ βλέμμα καθεστηκὸς ἐπετηδεύετο. ὡς ὅτε βουληθεῖεν μὴ σκαρδαμύττειν. γέλως δὲ σπάνιος. εἰ δέ που γένοιτο, μέχρι μειδιάσεως· ἀεὶ δὲ ἐντὸς τοῦ σχήματος χεῖρες. καὶ σύμβολόν γε ἦν ἑκάστῳ τῆς τάξεως ἐμφαντικὸν, ἣν ἔλαχεν ἐν τοῖς ἱεροῖς· πλείους γὰρ ἦσαν αἱ τάξεις. δίαιτα δὲ λιτὴ καὶ ἀφελής. οἴνου γὰρ οἱ μὲν, οὐδ' ὅλως· οἱ δὲ, ὀλίγιστα ἐγεύοντο· νεύρων αἰτιώμενοι βλάβας καὶ πλήρωσιν κεφαλῆς, ἐμπόδιον εἰς εὕρεσιν· ἀφροδισίων τε ἔφασαν αὐτὸν ὀρέξεις ἐπιφέρειν. ταύτῃ δὲ καὶ τῶν ἄλλων εὐλαβῶς εἶχον· ἄρτοις μὲν οἱ δὲ ὅλως ἐν ταῖς ἁγνείαις χρώμενοι. εἰ δέ ποτε μὴ ἁγνεύοιεν, σὺν ὑσσώπῳ κόπτοντες ἤσθιον· τὸ πολὺ γὰρ αὐτοῦ τῆς δυνάμεως καθαίρειν ἔφασαν τὸν ὕσσωπον· ἐλαίου δ' ἀπείχοντο μὲν, ὡς τὸ πολύ· οἱ πλεῖστοι δὲ, καὶ παντελῶς. εἰ δέ που μετὰ λαχάνων χρήσαιντο, παντελῶς ὀλίγῳ καὶ ὅσον παρηγορῆσαι τὴν αἴσθησιν. τῶν μὲν οὖν ἐκτὸς Αἰγύπτου γινομένων βρωμάτων τε καὶ ποτῶν, οὐ θέμις ἦν ἅπτεσθαι, πολὺς τις οὕτως τρυφῆς ἀπεκέκλειστο τόπος. τῶν δὲ κατ' αὐτὴν τὴν Αἴγυπτον, ἰχθύων τε ἀπείχοντο πάντων καὶ τετραπόδων, ὅσα μώνυχα ἢ πολυσχιδῆ ἢ μὴ κερασφόρα· πτηνῶν δὲ, ὅσα σαρκοφάγα· πολλοὶ δὲ καθάπαξ τῶν ἐμψύχων. καὶ ἔν γε ταῖς ἁγνείαις, ἅπαντες, ὁπότε μηδ' ᾠὸν προσίεντο. καὶ μέντοι καὶ τῶν ἄλλων οὐκ ἀσυκοφάντητον ἐποιοῦντο παραίτησιν. οἷον τῶν βοῶν τὰς θηλείας παρῃτοῦντο. τῶν δ' ἀρρένων ὅσα δίδυμα ἢ κατάσπιλα ἢ ἑτερόχροα ἢ παραλλάσσοντα τῇ μορφῇ ἢ δεδαμασμένα ὡς ἤδη καθωσιωμένα τοῖς πόνοις. καὶ τιμωμένοις ἐμφερῆ ἢ καθ' ὅντινοῦν, οἷον ἀπαφιασμὸν ὀξέων ἢ ἑτερόφθαλμα ἢ πρὸς ἀνθρωπείαν ἐμφέρειαν νεύοντα· μυρίαι δ' ἄλλαι παρατηρήσεις. καὶ τῆς περὶ αὐτὰ τέχνης τῶν καλουμένων μοσχοσφραγιστῶν, ἄχρι συντάξεων προαγούσης βιβλιακῶν. περιεργότερον δ' ἔτι περὶ τὰ πτηνά· οἷον τρυγόνα μὴ ἐσθίειν· ἱέραξ γὰρ ἔφασαν, πολλάκις τὸ ζῷον συλλαβὼν, ἀφίησι. μισθὸν ἀποδιδοὺς μίξεως σωτηρίαν. ὡς οὖν μὴ λάθοιεν τοιούτῳ περιπεσόντες, ἅπαν αὐτῶν περιΐσταντο τὸ γένος. κοιναὶ μὲν δὴ θρησκεῖαι τινὲς, αὗται. κατὰ γένη δὲ τῶν ἱερέων διάφοροι. καὶ οἰκεῖαι καθ' ἕκαστον θεόν. αἱ δὲ ἁγνεῖαι πάντων ἐκαθαίρευον. ὁ δὲ χρόνος οὗτος ὁπότε συντελεῖν τι τῶν περὶ τὴν ἱερὰν μέλλοιεν θρησκείαν, προλαμβανόντων ἡμερῶν ἀριθμόν. οἱ μὲν, δυοῖν καὶ τετταράκοντα· οἱ δὲ, τούτων πλείους. οἱ δὲ, ἐλάσσους· οὐδέποτε μέντοι τῶν ἑπτὰ λειπομένας, παντὸς μὲν ἐμψύχου ἀπείχοντο· παντὸς δὲ λαχάνου τε καὶ ὀσπρίου. πρὸ δὲ πάντων, ἀφροδισίων ὁμιλίας γυναικείας· ἄρρενος μὲν γὰρ, οὐδὲ τὸν ἄλλον χρόνον μετεῖχον. τρὶς δὲ τῆς ἡμέρας ἀπελούοντο ψυχρῷ. ἀπό τε κοίτης καὶ πρὸ ἀρίστου. καὶ πρὸς ὕπνον· εἰ δέ ποτε συμβαίη καὶ ὀνειρώττειν, παραχρῆμα ἀπεκάθαιρον λουτρῷ τὸ σῶμα. ψυχρῷ μὲν οὖν καὶ κατὰ τὸν ἄλλον ἐχρῶντο βίον. οὐ μὴν οὕτωσι πλεονάζον. Κοίτη δὲ αὐτοῖς ἐκ τῶν σπαδίκων τοῦ φοίνικος. ἃς καλοῦσι βάϊς, ἐπέπλεκτο. ξύλινον δὲ ἡμικυλίνδριον εὖ λελειασμένον, ὑπόθημα τῆς κεφαλῆς· ἤσκουν δὲ δίψαν καὶ πεῖναν, καὶ ὀλιγοσιτίαν παρὰ πάντα τὸν βίον. μαρτυρία δ' αὐτῶν τῆς ἐγκρατείας. ὅτι μήτε περιπάτοις ἢ αἰώραις χρώμενοι, διῆγον ἄνοσοι. καὶ πρὸς μετρίαν ἰσχὺν εὔτονοι. πολλὰ γοῦν κατὰ τὰς ἱερουργίας ἐνεδέχοντο βάρη. καὶ ὑπηρετήματα τῆς κοινῆς ἰσχύος μείζω. διῄρουν δὲ, νύκτα μὲν εἰς ἐπιτήρησιν οὐρανίων. ἐνίοτε δὲ καὶ ἁγιστείαν· ἡμέραν δὲ εἰς θεραπείαν τῶν θεῶν καθ' ἣν ἢ τρὶς ἢ τετράκις κατὰ τὴν ἕω καὶ τὴν ἑσπέραν μεσουρανοῦντά τε τὸν ἥλιον. καὶ πρὸς δύσιν καταφερόμενον, τούτους, ὑμνοῦντες. τὸν δὲ ἄλλον χρόνον πρὸς θεωρήμασιν ἦσαν ἀριθμητικοῖς τε καὶ γεωμετρικοῖς· ἐκπονοῦν-

τὸν ἀέτι καὶ προσεξευρίσκοντες ζωὴν ὅλως τε περὶ τὴν ἐμπειρίαν καταγινόμενοι. τὸ δ' αὐτὸ καὶ ἐν ταῖς χειμερίοις ἐπιτηδεύοντες νυξὶ, φιλολογίᾳ προσαγρυπνοῦντες. ἅτε μήτε πορισμοῦ ποιούμενοι φροντίδα, καὶ δεσπότου τε κακοῦ τῆς πολυτελείας ἐλευθεριάζοντες. ὁ μὲν δὴ πόνος ὁ ἄτρυτός τε καὶ διηνεκὴς, καρτερίαν ἀπομαρτυρεῖ τοῖς ἀνδράσι: τὸ δὲ ἀνεπιθύμητον, ἐγκράτειαν. οἵ γε ἐν τοῖς ἀσεβεστάτοις ἐτίθεντο πλεῖν ἀπ' Αἰγύπτου. διευλαβούμενοι ξενικὰς τρυφὰς καὶ ἐπιτηδεύματα: μόνοις γὰρ ὅσιον ἐδόκει τοῖς κατὰ τὰς βασιλικὰς χρείας ἀπηναγκασμένοις. πολὺς δὲ καὶ τούτοις ἦν λόγος ἐμμεῖναι τοῖς πατρίοις: μικρὰ δ' εἰ καταγνωσθεῖεν παραβαίνοντες, ἀπηλαύνοντο. καὶ τὸ μὲν κατ' ἀλήθειαν φιλοσοφοῦν ἔν τε τοῖς προφήταις ἦν καὶ ἱεροστολισταῖς καὶ ἱερογραμματεῦσιν. ἔτι δὲ ὡρολόγοις. τὸ δὲ λοιπὸν τῶν ἱερέων τε καὶ παστοφόρων καὶ νεωκόρων πλῆθος καὶ ὑπουργῶν τοῖς θεοῖς. καθαρεύει μὲν ὁμοίως. οὔτι γε μὴν μετ' ἀκριβείας. καὶ ἐγκρατείας τοσῆσδε. τοιαῦτα μὲν τὰ κατ' Αἰγυπτίους, ὑπ' ἀνδρὸς φιλαλήθους τε καὶ ἀκριβοῦς: ἔν τε τοῖς στωϊκοῖς πραγματικώτατα φιλοσοφήσαντος, μεμαρτυρημένα. ἀπὸ δὲ ταύτης ὁρμώμενοι τῆς ἀσκήσεως, καὶ τῆς πρὸς τὸ θεῖον οἰκειώσεως, ἔγνωσαν. ὡς οὐδ' ἀνθρώπου μόνου τὸ θεῖον διῆλθεν, οὔτε ψυχὴ ἐν μόνῳ ἀνθρώπῳ ἐπὶ τῆς γῆς κατεσκήνωσεν. ἀλλὰ σχεδὸν ἡ αὐτὴ διὰ πάντων διῆλθε τῶν ζώων. διὸ εἰς τὴν θεοποιίαν, παρέλαβον πᾶν ζῶον. καὶ ὁμοίως πῃ συνέμιξαν θηρία καὶ ἀνθρώπου. καὶ πάλιν ὀρνέων σώματα καὶ ἀνθρώπου. ἵσταται γὰρ παρ' αὐτοῖς τις μέχρι τραχήλου ἀνθρωποειδής. τὸ δὲ πρόσωπον ὀρνέου ἢ λέοντος ἢ ἄλλου τινὸς ζώου κεκτημένος, καὶ πάλιν αὖ κεφαλὴ ἀνθρώπειος καὶ ἄλλων τινῶν ζώων μέρη. τὰ μὲν ὑποκείμενα, τὰ δὲ ἐπικείμενα, δι' ὧν δηλοῦσιν ὅτι κατὰ γνώμην θεῶν καὶ ταῦτα ἀλλήλοις κοινωνεῖ. καὶ σύντροφα ἡμῖν καὶ τιθασσὰ ὄντα τῶν θηρίων τὰ ἄγρια, οὐκ ἄνευ τινὸς θείας βουλήσεως. ἔνθεν καὶ ὁ λέων ὡς θεὸς θρησκεύεται. καὶ μέρος τι τῆς Αἰγύπτου ὃ καλοῦσι νομὸν, ἐπώνυμον ἔχει Λεοντοπολίτην. ἄλλο δὲ Βουσειρίτην. ἄλλο Λυκοπολίτην. τὴν γὰρ ὑπὸ πάντα δύναμιν τοῦ θεοῦ, διὰ τῶν συννόμων ζώων, ὧν ἕκαστος τῶν θεῶν παρέχει, ἐθρήσκευσαν. ὕδωρ καὶ πῦρ σέβοντες μάλιστα τῶν στοιχείων. ὡς ταῦτα αἰτιώτατα τῆς σωτηρίας ἡμῶν. καὶ ταῦτα δεικνύντες ἐν τοῖς ἱεροῖς ὥς που ἔτι καὶ νῦν ἐν τῇ ἀνοίξει τοῦ ἁγίου Σαράπιδος ἡ θεραπεία διὰ πυρὸς καὶ ὕδατος γίνεται. λείβοντος τοῦ ὑμνῳδοῦ τὸ ὕδωρ, καὶ τὸ πῦρ φαίνοντος, ὁπηνίκα ἑστὼς ἐπὶ τῆς ὁδοῦ τῇ πατρίᾳ τῶν Αἰγυπτίων φωνῇ, ἐγείρει τὸν θεόν. ταῦτ' οὖν σέβοντες, τὰ μέτοχα καὶ μάλιστα πλειόνων τούτων ἐσέφθησαν. ὡς ἐπὶ πλέον τῶν ἱερῶν μετέχοντα. μετὰ ταῦτα δὲ πάντα τὰ ζῶα, ἔτι καὶ ἄνθρωπον σέβουσι κατὰ Ἄνουβιν κώμην. ἐν ᾗ καὶ τούτῳ θύεται καὶ ἐπὶ τῶν βωμῶν τὰ ἱερεῖα καίεται. ὃ δὴ μετ' ὀλίγον φάγοιεν. τὰ δὴ καὶ αὐτῷ ὡς ἀνθρώπῳ παρεσκεύασται. ὡς οὖν ἀνθρώπου ἀφεκτέον, οὕτω καὶ τῶν ἄλλων. ἔτι δ' ἐκ περιττῆς σοφίας καὶ τῆς περὶ τὸ θεῖον συντροφίας κατέλαβον τισὶ τῶν θεῶν προσφιλῆ τῶν ζώων τινὰ μᾶλλον ἀνθρώπων. ὡς ἡλίῳ, ἱέρακα. σύμπασαν μὲν τὴν φύσιν ἐξ αἵματος ἔχοντα καὶ πνεύματος. οἰκτείροντα δὲ καὶ ἄνθρωπον καὶ κακύοντα ἐπὶ νεκρῷ κειμένῳ: γῆν τε ἐπαμώμενον εἰς τοὺς ὀφθαλμοὺς, ἐν οἷς τὸ ἡλιακὸν κατοικεῖν πιστεύουσι φῶς. καὶ ζῆν μὲν ἐπὶ πλείονα ἔτη καταλειφθέντα: μετὰ δὲ τὸν βίον, ἰσχὺν ἔχειν μαντικήν. καὶ εἶναι λογικώτατον ἀπολυθέντα τοῦ σώματος καὶ προγνωστικώτατον. τελεῖν τε ἀγάλματα καὶ ναοὺς κινεῖν. κάνθαρον δὲ ἀμαθὴς βδελύξειεν ἂν, ἀγνοῶν ὑπάρχων τῶν θείων: Αἰγύπτιοι δὲ ἐσέφθησαν, ὡς εἰκόνα ἡλίου ἔμψυχον: κάνθαρος γὰρ πᾶς ἄρρην καὶ ἀφιεὶς τὸν θορὸν ἐν τέλματι καὶ ποιήσας σφαιροειδῆ τοῖς ὀπισθίοις ἀνταναφέρει ποσὶν ὡς ἥλιος οὐρανόν. καὶ περίοδον ἡμερῶν ἐκδέχεται εἰκοσιοκτὼ σεληνιακήν. οὕτως δὲ καὶ περὶ κριοῦ τι φιλοσοφοῦσιν. καὶ ἄλλο τι περὶ κροκοδείλου. περί τε γυπὸς, καὶ ἴβεως. καὶ ὅλως καθ' ἕκαστον τῶν ζώων. ὥσπερ ἐκ φρονήσεως καὶ τῆς ἄγαν θεοσοφίας ἐπὶ τὸ σέβας ἐλθεῖν καὶ τῶν ζώων: ἀμαθὴς δὲ ἄνθρωπος, οἱ δὲ αὐτὸ τοῦτο ὑποπτεύουσιν ὅπως οὐ τῇ κοινῇ φορᾷ καὶ μηδὲν γινώσκουσι παρηνέχθησαν δηλονότι καὶ αὐτοὶ δι' ἀμαθίαν ὁδεύσαντες. ὑπερβάντες δὲ τὴν τῶν πολλῶν ἀγνωσίαν τῇ πρώτῃ ποῦ ἐντυγχάνει τὰ τοῖς πολλοῖς οὐδενὸς ἄξια αὐτοὶ εἰς σέβας κατηξίωσαν. προγ-

γεν δ' αὐτοῖς οὐχ ἧττον τῶν εἰρημένων, κἀκεῖνο εἰς πίστιν τοῦ σεβάσματος καὶ τὰ ζῶα· τὴν τῆς ψυχῆς ἀπολυθεῖσαν τοῦ σώματος κατειλήφασι παντὸς ζώου λογικήν τε οὖσαν καὶ προγνωστικὴν τοῦ μέλλοντος, καὶ χρηματιστικὴν, δραστικήν τε πάντων, ὧν καὶ ἄνθρωπος ἀπολυθείς. διὸ εἰκότως ἐτίμησαν καὶ ὡς οἷόν τε ἦν, ἀπείχοντο αὐτῶν. πολλοῦ δὲ ὄντος λόγου δι' ἣν αἰτίαν δὴ τῶν ζώων οἱ Αἰγύπτιοι τοὺς θεοὺς ἐσέφθησαν, καὶ μείζονος τῆς παρούσης πραγματείας, ἀρκεῖ τὰ δεδηλωμένα περὶ αὐτῶν. ἐκεῖνο μέντοι οὐ παρασιωπητέον, ὅτι τὸν ἀποθανόντα τῶν εὖ γεγονότων ὅταν ταριχεύωσιν, ἰδίᾳ τὴν κοιλίαν ἐξελόντες καὶ εἰς κιβωτὸν ἐνθέντες, μετὰ τῶν ἄλλων, ὧν διαπράττονται ὑπὲρ τοῦ νεκροῦ καὶ τὴν κιβωτὸν κρατοῦντες πρὸς τὸν ἥλιον μαρτύρονται· ἑνὸς τῶν ὑπὲρ τοῦ νεκροῦ ποιουμένου λόγον τῶν ταριχευτῶν. ἔστι δὲ καὶ ὁ λόγος, ὃν ἡρμήνευσεν Εὔφαντος ἐκ τῆς πατρίου διαλέκτου, τοιοῦτος. Ὦ δέσποτα ἥλιε καὶ θεοὶ πάντες, οἱ τὴν ζωὴν τοῖς ἀνθρώποις δόντες, προσδέξασθέ με καὶ παράδοτε τοῖς ἀιδίοις θεοῖς σύνοικον. ἐγὼ γὰρ τοὺς θεοὺς, οὓς οἱ γονεῖς μοι παρέδειξαν, εὐσεβῶν διετέλουν, ὅσον χρόνον ἐν τῷ ἐκείνων αἰῶνι τὸν βίον εἶχον, τούς τε τὸ σῶμά μου γεννήσαντας, ἐτίμων ἀεί. τῶν τε ἄλλων ἀνθρώπων οὔτε ἀπέκτεινα, οὔτε παρακαταθήκην ἀπεστέρησα, οὔτε ἄλλο οὐδὲν ἀνήκεστον διεπραξάμην. εἰ δέ τι ἄρα κατὰ τὸν ἐμαυτοῦ βίον, ἥμαρτον, ἢ φαγὼν, ἢ πιὼν, ὧν μὴ θεμιτὸν ἦν, οὐ δι' ἐμαυτὸν ἥμαρτον, ἀλλὰ διὰ ταῦτα. δείξας τὴν κιβωτὸν, ἐν ᾗ ἡ γαστὴρ ἦν. καὶ ταῦτα εἰπὼν, εἰς τὸν ποταμὸν ἀφίησι. τὸ δὲ ἄλλο σῶμα ὡς καθαρὸν, ταριχεύει. οὕτως ἀπολογίας δεῖσθαι ᾠήθησαν πρὸς τὸ θεῖον ὑπὲρ ὧν ἔφαγον καὶ ἔπιον καὶ διὰ ταῦτα ὑβρίσαι. τῶν δὲ γινωσκομένων ἡμῖν Ἰουδαῖοι πρὶν ὑπ' Ἀντιόχου τὸ πρότερον τὰ ἀνήκεστα παθεῖν εἰς τὰ νόμιμα τὰ ἑαυτῶν, ὑπό τε Ῥωμαίων ὕστερον, ὅτε καὶ τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις ἑάλω, καὶ πᾶσι βατὸν γέγονεν, οἷς ἄβατον ἦν, αὐτή τε ἡ πόλις διεφθάρη, διετέλουν πολλῶν μὲν ἀπεχόμενοι ζώων· ἰδίως δὲ ἔτι καὶ νῦν τῶν χοιρείων. τῶν τε παρ' αὐτοῖς φιλοσοφιῶν τριτταὶ ἰδέαι ἦσαν. καὶ τῆς μὲν, προΐσταντο Φαρισαῖοι. τῆς δὲ Σαδδουκαῖοι. τῆς δὲ τρίτης, ἣ καὶ ἐδόκει σεμνοτάτη εἶναι, Ἐσσαῖοι. οἱ οὖν τρίτοι τοιοῦτον ἐποιοῦντο τὸ πολίτευμα, ὡς πολλαχοῦ Ἰώσηπος τῶν πραγματειῶν ἀνέγραψε. καὶ γὰρ ἐν τῷ δευτέρῳ τῆς Ἰουδαϊκῆς ἱστορίας· ἣν δι' ἑπτὰ βιβλίων συνεπλήρωσε, καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας, ἣν διὰ εἴκοσι βιβλίων ἐπραγματεύσατο. καὶ ἐν τῷ δευτέρῳ τῶν πρὸς τοὺς Ἕλληνας· εἰσὶ δὲ δύο τὰ βιβλία. εἰσὶ τοίνυν οἱ Ἐσσαῖοι, Ἰουδαῖοι μὲν τὸ γένος· φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. οὗτοι τὰς μὲν ἡδονὰς, ὡς κακίαν ἀποστρέφονται· τὴν δὲ ἐγκράτειαν, καὶ τὸ τοῖς πάθεσιν μὴ ὑποπίπτειν, ἀρετὴν ὑπολαμβάνουσι. καὶ γάμου μὲν παρ' αὐτοῖς ὑπεροψία· τοὺς δὲ ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες, ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσιν ἑαυτῶν ἐντυποῦσιν. τὸν μὲν γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν, οὐκ ἀναιροῦντες. τὰς δὲ τῶν γυναικῶν ἀσελγείας, φυλαττόμενοι. καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνικόν· οὐδ' ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα· νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας, δημεύειν τῷ τάγματι τὴν οὐσίαν. ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι, μήτε ὑπεροχὴν πλούτου. τῶν δ' ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς, ἅπασιν οὐσίαν εἶναι. κηλῖδα ὑπολαμβάνουσι τοὔλαιον· κἂν ἀλειφθῇ τις ἄκων, σμήχεται τὸ σῶμα· τὸ γὰρ αὐχμεῖν ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διὰ παντός. χειροτονητοὶ δὲ τῶν κοινῶν ἐπιμεληταὶ, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι. μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοὶ· καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς, ἀναπέπταται τὰ παρ' ἀλλήλοισιν. καὶ οἱ πρῶτον ἰδόντες, εἰσίασιν ὡς παρὰ συνήθεις. διὸ οὐδὲν ἐπικομιζόμενοι, ἀποδημοῦσιν ἀναλωμάτων ἕνεκα. οὔτε δὲ ἐσθῆτα, οὔτε ὑποδήματα ἀμείβουσιν, πρὶν διαρραγῆναι πρότερον παντάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ· οὐδ' ἀγοράζουσί τι, οὐδὲ πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος τὸ παρ' ἑαυτοῦ, τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται· χωρὶς δὲ τῆς ἀντιδόσεως ἀκώλυτος ἡ μετάληψις αὐτοῖς, παρ' ὧν ἂν θέλωσιν. πρός γε μὴν τὸ θεῖον, ἰδίως εὐσεβεῖς· πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον, οὐδὲν φθέγγονται τῶν βεβήλων· πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς, ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι·

μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν, ὑπὸ τῶν ἐπιμελητῶν ἰέναι ἀφίενται. καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον. ζωσάμενοί τε σκέπασι λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι: καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν: ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν. αὐτοί τε καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται, τὸ δειπνητήριον. καθισάντων δὲ μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς, ἐν τάξει παρατίθησιν ἄρτους. ὁ δὲ μάγειρος, ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ. προκατεύχεται δ' ὁ ἱερεὺς τῆς τροφῆς, ἁγνῆς οὔσης καὶ καθαρᾶς. καὶ γεύσασθαί τινι πρὶν τῆς εὐχῆς, ἀθέμιτον. ἀριστοποιησαμένοις δ' ἐπεύχεται πάλιν: ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν θεόν. ἔπειθ' ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται: δειπνοῦσι δ' ὑποστρέψαντες ὁμοίως: συγκαθεζομένων τῶν ξένων εἰ τύχοιεν αὐτοῖσι παρόντες. οὔτω δὲ κραυγή ποτε τὸν οἶκον, οὐ θόρυβος μιαίνει. τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν, ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. τούτου δ' αἴτιον ἡ διηνεκὴς νῆψις. καὶ τὸ μεμετρῆσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου: τοῖς δὲ ζηλοῦσι τὴν αἵρεσιν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι, τὴν αὐτὴν ὑποτίθενται δίαιταν: ἀξινάριόν τε καὶ περίζωμα δόντες καὶ λευκὴν ἐσθῆτα. ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἔγγιον τῇ διαίτῃ. καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει. παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις, οὐδέπω: μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος κομίζεται. καὶ φανεὶς ἄξιος, οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις. πρῶτον μὲν, εὐσεβήσειν τὸ θεῖον: ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια διαφυλάξειν. καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ, μήτ' ἐξ ἐπιτάγματος. μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνίζεσθαι τοῖς δικαίοις: τὸ πιστὸν, πᾶσι μὲν παρέξειν: μάλιστα δὲ τοῖς κρατοῦσιν: οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τινι τὸ ἄρχειν. κἂν αὐτὸς ἄρχῃ μὴ δέ ποτε ἐξυβρίσαι εἰς τὴν ἐξουσίαν. μὴ ἐσθῆτι ἤ τινι πλέονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους προβάλλεσθαι. χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς, μήθ' ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. πρὸς δὲ τούτοις ὄμνυσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως, ἢ ὡς αὐτὸς παρέλαβεν. ἀφέξεσθαι δὲ λῃστείας καὶ συντηρήσειν ὁμοίως τά, τε τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιοῦτοι μὲν οἱ ὅρκοι. οἱ δ' ἁλόντες καὶ οἱ ἐκβληθέντες κακῷ μόρῳ φθείρονται. τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένοι, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύνανται μεταλαμβάνειν: ποηφαγοῦντες δὲ, καὶ λιμῷ τὸ σῶμα διαφθειρόμενοι, ἀπόλλυνται. διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀνάγκαις ἔλαβον, ἱκανὴν τιμωρίαν δεδωκέναι νομίζοντες ἐπὶ τοῖς ἁμαρτήμασι, τὴν μέχρι θανάτου βάσανον. τὴν δὲ σκαλίδα διδόασι τοῖς μέλλουσιν αἱρετισταῖς. ἐπεὶ καὶ αὐτοὶ ἄλλως οὐ θακεύουσιν, ἢ βόθρον ὀρύξαντες εἰς βάθος ποδιαῖον. περικαλύψαντές τε θοιματίῳ, ὡς μὴ τὰς αὐγὰς ἐνυβρίζειν τοῦ θεοῦ. τοσαύτη μέντοι ἐστὶν αὐτῶν ἡ λιτότης ἡ περὶ τὴν δίαιταν καὶ ὀλιγότης, ὡς τῇ ἑβδομάδι μὴ δεῖσθαι κενώσεως: ἣν τηρεῖν εἰώθασιν εἰς τοὺς ὕμνους τῷ θεῷ, καὶ εἰς ἀνάπαυσιν. οἱ δὲ τῆς ἀσκήσεως ταύτης τοσαύτην περιεποίηνται τὴν καρτερίαν, ὡς στρεβλούμενοι, καὶ λυγιζόμενοι, καὶ καιόμενοι, καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἢ βλασφημήσωσι τὸν νομοθέτην ἢ φάγωσι τῶν ἀσυνήθων, οὐδ' ἕτερον ὑπομένειν. διέδειξαν δὲ τοῦτο, ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ: ἐπεὶ οὐδὲ κολακεῦσαι τοὺς αἰκιζομένους ἢ δακρῦσαι ὑπέμενον: μειδιῶντες δ' ἐν ταῖς ἀλγηδόσι, καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων, εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι: καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα. φθαρτὰ μὲν εἶναι τὰ σώματα, καὶ τὴν ὕλην οὐ μόνιμον αὐτῶν: τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν. καὶ συμπλέκεσθαι μὲν ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ξύμῃ φυσικῇ κατασπωμένας. ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν. οἷον

δὴ μακρᾶς

δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. ἀπὸ δὲ
τῆς τοιαύτης διαίτης καὶ τῆς πρὸς ἀλήθειαν καὶ τὴν εὐσέβειαν ἀσκήσεως, εἰκότως ἐν αὐτοῖς
πολλοὶ, οἳ καὶ τὰ μέλλοντα προγινώσκουσιν. ὡς ἂν βίβλοις ἱεραῖς, καὶ διαφόροις ἁγνεί-
αις, καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπανίως μέντοι ἐν ταῖς προα-
γορεύσεσιν, ἀστοχοῦσιν. τοιοῦτο μὲν, τὸ τῶν Ἐσσαίων παρὰ τοῖς Ἰουδαίοις τάγμα. πᾶ-
σι γε μὴν ἀπηγόρευτο ὑὸς ἐσθίειν ἢ ἰχθύων τῶν ἀφολιδώτων: ἃ σελάχια καλοῦσιν Ἕλλη-
νες, ἤτι τῶν μωνύχων ζώων. ἀπηγόρευτο δὲ καὶ μὴ τὰ ἱκετεύοντα, καὶ οἷον προ-
σφεύγοντα ταῖς οἰκίαις ἀναιρεῖν, οὐχ ὅτι μὴ ἐσθίειν. οὐδὲ νεοττοῖς ἐπέτρεψεν ὁ νομο-
θέτης τοὺς γονέας συνεξαιρεῖν. φείδεσθαι δὲ κελεύει κἂν τῇ πολεμίᾳ τῶν συνεργαζο-
μένων ζώων καὶ μὴ φονεύειν. καὶ οὐκ ἐφοβήθη μὴ πληθῦναν τὸ γένος τῶν μὴ θυομέ-
νων ζώων, λιμὸν ἐργάσηται τοῖς ἀνθρώποις: ᾔδει γὰρ πρῶτον μὲν, ὅτι τὰ πολύ-
τοκα. καὶ ὀλιγοχρόνια. ἔπειτα ὡς πολὺ τὸ ἀπολλύμενον, ὅταν μὴ τύχῃ τῆς ἐξ ἀνθρώ-
πων ἐπιμελείας. καὶ μὴν καὶ ὅτι ἐστὶν ἄλλα ζῶα, ἃ τῷ πληθύνοντι ἐπιτίθεται. τεκμή-
ριον δὲ, ὅτι πολλῶν ἀπεχόμεθα, οἷον σαυρῶν, σκωλήκων, μυῶν, ὄφεων, κυνῶν καὶ ὅμως
οὐ δέος μὴ ἐκ τῆς ἀποχῆς λιμώττοντες διαφθαρῶμεν πληθυόντων. ἔπειτα οὐ ταυτὸν
τὸ ἐσθίειν τῷ φονεύειν. ἐπεὶ καὶ τούτων ἀναιροῦντες τὰ πολλὰ, οὐδενὸς ἐπιγευόμεθα. καὶ
μὴν καὶ τοὺς Σύρους ἱστοροῦσι τὸ παλαιὸν ἀπέχεσθαι τῶν ζώων καὶ διὰ τοῦτο μηδὲ τοῖς θε-
οῖς θύειν. ὕστερον δὲ θῦσαι μὲν εἰς ἀποτροπήν τινων κακῶν. αὐτοὺς δὲ, μηδὲ ὅλως προσίεσθαι
τὴν σαρκοφαγίαν. προϊόντος δὲ τοῦ χρόνου, ὥς φησι Νεάνθης ὁ κυζικηνὸς: καὶ Ἀσκλη-
πιάδης ὁ Κύπριος, κατὰ Πυγμαλίωνα, τὸν γένει μὲν, φοίνικα: βασιλεύσαντα δὲ κυπρί-
ων, τὴν σαρκοφαγίαν παραδεχθῆναι ἐκ τῆς τοιαύτης παρανομίας: λέγει δὲ ὁ Ἀσκληπιά-
» δης ἐν τῷ περὶ Κύπρου, καὶ Φοινίκης ταῦτα. Τὸ μὲν τὸ πρῶτον οὐκ ἐθύετο τοῖς θεοῖς οὐδὲν
» ἔμψυχον: ἀλλ᾽ οὐδὲ νόμος ἦν περὶ τούτου, διὰ τὸ νόμῳ φυσικῷ κεκωλῦσθαι. ὑπὸ δέ τινας
» καιροὺς πρῶτον ἱερεῖον θῦσαι μυθεύονται, ψυχὴν ἀντὶ ψυχῆς αἰτούμενοι. εἶτα τούτου γι-
» νομένου ὁλοκαυτίζειν τὸ τυθέν. ὕστερον δέ ποτε φλεγομένου τοῦ ἱερείου, πεσεῖν σάρκα εἰς
» γῆν: ἣν ἀνελόντα τὸν ἱερέα, καὶ κατακαιόμενον, ἀβουλήτως προσαγαγεῖν τῷ στόματι τοὺς
» δακτύλους, ἀκούμενον τὴν κατάκαυσιν. γευσάμενον δὲ τῆς κνίσσης ἐπιθυμῆσαι καὶ
» μὴ ἀποσχέσθαι, ἀλλὰ καὶ τῇ γυναικὶ μεταδοῦναι: γνόντα δὲ τοῦτο τὸν Πυγμαλίωνα, αὐ-
» τόν τε καὶ τὴν γυναῖκα κατὰ κρημνῶν ἀφεῖναι. ἑτέρῳ δὲ τὴν ἱερωσύνην παραδοῦναι:
» ὃς οὐ πολλοῦ χρόνου διαλείποντος, τὴν μὲν αὐτὴν θυσίαν ἔτυχε ποιούμενος. ὅστις δὲ
» τῶν αὐτῶν κρεῶν ἔφαγεν ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς περιέπιπτεν. ἐπὶ πλέον δὲ τοῦ
» πράγματος προβαίνοντος. καὶ τῶν ἀνθρώπων τῇ θυσίᾳ χρωμένων, καὶ διὰ τὴν ἐπιθυμί-
» αν οὐκ ἀπεχομένων, ἀλλὰ τῆς σαρκὸς ἁπτομένων, οὐκ ἀποστῆναι τοῦ κολάζειν. Τὸ μέντοι
τῶν ἰχθύων ἀπέχεσθαι, ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμεινε: λέγει γάρ.
» Παράδειγμα τοὺς Σύρους λάβε, ὅταν φάγωσιν ἰχθὺν ἐκεῖνοι διά τινα αὐτῶν ἀκρασίαν τοὺς
» πόδας καὶ τὴν γαστέρα οἰδοῦσιν, εἶτ᾽ ἔλαβον σακκίον. εἶτ᾽ εἰς τὴν ὁδὸν ἐκάθησαν αὐτοὶ
» ἐπὶ κόπρου καὶ τὴν θεὸν ἐξιλάσαντο τῷ ταπεινῶσαι σφόδρα. Παρά γε μὴν τοῖς Πέρ-
σαις, οἱ περὶ τὸ θεῖον σοφοὶ, καὶ τούτου θεράποντες, Μάγοι μὲν προσαγορεύονται: τοῦ-
το γὰρ δηλοῖ κατὰ τὴν ἐπιχώριον διάλεκτον ὁ Μάγος. οὕτω δὲ μέγα καὶ σεβάσμιον
γένος τοῦτο παρὰ Πέρσαις νενόμισται, ὥστε καὶ Δαρεῖον τὸν Ὑστάσπου ἐπιγράψαι τῷ μνή-
ματι πρὸς τοῖς ἄλλοις, ὅτι καὶ μαγικῶν γένοιτο διδάσκαλος. Διῄρηντο δὲ οὗτοι εἰς γένη
τρία, ὥς φησι Σύμβουλος, ὁ τὴν τοῦ Μίθρα ἱστορίαν ἐν πολλοῖς βιβλίοις ἀναγρά-
ψας. ὧν οἱ πρῶτοι καὶ λογιώτατοι, οὔτ᾽ ἐσθίουσιν ἔμψυχον, οὔτε φονεύουσιν: ἐμμένου-
σι δὲ τῇ παλαιᾷ τῶν ζώων ἀποχῇ. οἱ δὲ δεύτεροι, χρῶνται μὲν: οὐ μέντοι τῶν ἡμέρων
ζώων τι κτείνουσιν. οὐδ᾽ οἱ τρίτοι ὁμοίως τοῖς ἄλλοις ἐφάπτονται πάντων: καὶ γὰρ δό-
γμα πάντων ἐστὶ τῶν πρώτων, τὴν μετεμψύχωσιν εἶναι, ὃ καὶ ἐμφαίνειν ἐοίκασιν ἐν
τοῖς τοῦ Μίθρα μυστηρίοις: τὴν γὰρ κοινότητα ἡμῶν τὴν πρὸς τὰ ζῷα αἰνιττόμενοι, διὰ τῶν
ζώων ἡμᾶς μηνύειν εἰώθασιν. ὡς τοὺς μὲν μετέχοντας τῶν αὐτῶν ὀργίων μύστας, λέον-
τας καλεῖν: τὰς δὲ γυναῖκας, ὑαίνας: τοὺς δὲ ὑπηρετοῦντας, κόρακας. ἐπί τε τῶν πα-

τρίων· αὐτοὶ γὰρ καὶ ἱερεῖς οὗτοι προσαγορεύονται· ὅ τε τὰ λεοντικὰ παραλαμβάνων, περιτίθεται παντοδαπὰς ζώων μορφάς· ὧν τὴν αἰτίαν ἀποδιδοὺς Πάλλας, ἐν τοῖς περὶ τοῦ Μίθρα, τὴν κοινὴν φησὶ φορὰν οἴεσθαι, ὡς πρὸς τὴν τοῦ ζωδιακοῦ κύκλου ἀποτείνειν· τὴν δὲ ἀληθινὴν ὑπόληψιν καὶ ἀκριβῆ περὶ τῶν ἀνθρωπίνων ψυχῶν αἰνίττεσθαι, ἃς παντοδαποῖς περιέχεσθαι σώμασι λέγουσι. καὶ γὰρ Λατίνων τινὰς τῇ σφῶν διαλέκτῳ ἄπρους, καὶ σκώπρους, λασούρεις τε καὶ μομούλοις καλεῖν. καὶ θεοὺς δὲ τούτους δημιουργούς, οὕτω προσηγόρευσαν. τὴν μὲν Ἄρτεμιν λύκαιναν. τὸν δὲ Ἥλιον, σαῦρον, λέοντα, δράκοντα, ἱέρακα. τὴν δ᾽ Ἑκάτην, ἵππον, ταῦρον, λέαιναν. κύνα. τῆς δὲ Φερεφάττης, παρὰ τὸ φέρβειν τὴν φάτταν, φασὶν οἱ πολλοὶ τοὔνομα τῶν θεολόγων. ἱερὸν γὰρ αὐτῆς ἡ φάττα. διὸ καὶ αἱ τῆς Μαίας ἱέρειαι, ταύτην αὐτῇ ἀνατιθέασι. Μαῖα δὲ ἡ αὐτὴ τῇ Φερσεφόνῃ, ὡς ἂν μαῖα καὶ τροφὸς οὖσα· χθονία γὰρ ἡ θεὸς καὶ Δημήτηρ ἡ αὐτή. καὶ τὸν ἀλεκτρυόνα δέ, ταύτῃ ἀφιέρωσαν. διὸ καὶ ἀπέχονται οἱ ταύτης μύσται, ὀρνίθων οἰκιδίων· παραγγέλλεται γὰρ καὶ Ἐλευσῖνι ἀπέχεσθαι καὶ κατοικιδίων ὀρνίθων καὶ ἰχθύων καὶ κυάμων· ῥοιᾶς τε καὶ μήλων· καὶ ἐπίσης μεμίανται οὐ στελέχους ἅψασθαι ὡς τὸ θνησιδίων. ὅστις δὲ φασμάτων φύσιν ἱστόρησεν, οἶδεν καθ᾽ ὃν λόγον ἀπέχεσθαι χρὴ πάντων ὀρνίθων· καὶ μάλιστα, ὅταν σπεύδῃ τις ἐκ τῶν χθονίων ἀπαλλαγῆναι, καὶ πρὸς τοῖς οὐρανίοις θεοῖς ἱδρυνθῆναι. ἀλλ᾽ ἡ κακία, ὅπερ πολλάκις φαμέν, ἱκανὴ συνηγορῆσαι ἑαυτῇ· καὶ μάλιστα, ὅταν ἐν οὐκ εἰδόσι ποιῆται τοὺς λόγους. διὸ γὰρ ὅσοι μέτριοι τῶν κακῶν, ματαιολογίαν ἡγοῦνται τὴν τοιαύτην παραίτησιν. καὶ τὸ δὴ λεγόμενον, γραῶν ὕθλον. οἱ δέ, δεισιδαιμονίαν· οἱ δ᾽ ἐπίδοσιν ἐν τῇ σφῶν πονηρίᾳ πεποιημένοι, ἕτοιμοι οὐ μόνον βλασφημεῖν κατὰ τῶν ταῦτα παραινούντων τε καὶ ἀποδεικνύντων, ἀλλ᾽ ἤδη καὶ ἁγνὸν εἰς γοητείαν ἢ τῦφον, διαβάλλειν. ἀλλ᾽ οὗτοι μὲν δίκας καὶ παρὰ θεοῖς καὶ παρ᾽ ἀνθρώποις, ὧν ἁμαρτάνουσιν ἐκτίνοντες, αὐτοὶ πρῶτον τῇ τοιαύτῃ διαθέσει ἱκανὴν τιμωρίαν διδόασιν. ἡμεῖς δ᾽ ἔτι τῶν ἀλλοφύλων ἐθνῶν ἑνὸς μνημονεύσαντες, ἐνδόξου γε καὶ δικαίου· περί τε τὰ θεῖα πεπιστευμένου εὐσεβοῦς, ἐπ᾽ ἄλλα μεταθησόμεθα. Ἰνδῶν γὰρ τῆς πολιτείας εἰς πολλὰ νενεμημένης, ἐστί τι γένος παρ᾽ αὐτοῖς τὸ τῶν θεοσόφων· οὓς γυμνοσοφιστὰς καλεῖν εἰώθασιν Ἕλληνες. τούτων δέ, δύο αἱρέσεις. ὧν τῆς μέν, Βραχμᾶνες προΐστανται· τῆς δέ, Σαμαναῖοι. ἀλλ᾽ οἱ μὲν Βραχμᾶνες, ἐκ γένους διαδέχονται, ὥσπερ ἱερατείαν, τὴν τοιαύτην θεοσοφίαν· Σαμαναῖοι δέ, λογάδες εἰσίν, καὶ ἐκ τῶν βουληθέντων θεοσοφεῖν συμπληρούμενοι. ἔχει δὲ τὰ κατ᾽ αὐτοὺς τοῦτον τὸν τρόπον, ὡς Βαρδησάνης, ἀνὴρ Βαβυλώνιος, ἐπὶ τῶν πατέρων ἡμῶν γεγονώς, καὶ ἐντυχὼν τοῖς περὶ Δαμάδαμιν πεπεμμένοις Ἰνδοῖς πρὸς τὸν Καίσαρα, ἀνέγραψεν· πάντες γὰρ Βραχμᾶνες ἑνός εἰσι γένους· ἐξ ἑνὸς γὰρ πατρός, καὶ μιᾶς μητρὸς πάντες κατάγουσιν. Σαμαναῖοι δέ, οὐκ εἰσὶ τοῦ γένους αὐτῶν. ἀλλ᾽ ἐκ παντὸς τοῦ τῶν Ἰνδῶν ἔθνους ὡς ἔφαμεν, συνειλεγμένοι· οὔτε δὲ βασιλεύεται Βραχμάν, οὔτε συντελεῖ τι τοῖς ἄλλοις. τούτων δὲ οἱ φιλόσοφοι. οἱ μέν, ἐν ὄρει οἰκοῦσιν. οἱ δέ, περὶ Γάγγην ποταμόν. σιτοῦνται δὲ οἱ μὲν ὄρειοι, τήν τε ὀπώραν καὶ γάλα βόειον, βοτάναις πηκτόν. οἱ δὲ περὶ τὸν Γάγγην, ἐκ τῆς ὀπώρας· ἣ πολλὴ περὶ τὸν ποταμὸν γεννᾶται. φέρει δὲ ἡ γῆ σχεδὸν καρπὸν ἀεὶ νέον καὶ μέντοι καὶ τὴν ὄρυζαν πολλήν τε καὶ αὐτόματον. ᾗ χρῶνται ὅταν τὸ τῆς ὀπώρας ἐπιλείπῃ. τὸ δ᾽ ἄλλου τινὸς ἅψασθαι, ἢ ὅλως θιγεῖν ἐμψύχου τροφῆς, ἴσον καὶ τῇ ἐσχάτῃ ἀκαθαρσίᾳ τε καὶ ἀσεβείᾳ νενόμισται. καὶ τοῦτο αὐτοῖς τὸ δόγμα. θρησκεύουσί τε τὸ θεῖον. καὶ εὐσεβοῦσι περὶ αὐτό, καθαρεύονται. τὸν τοίνυν χρόνον τῆς ἡμέρας, καὶ τῆς νυκτὸς τὸν πλεῖστον, εἰς ὕμνους τῶν θεῶν ἀπένειμαν καὶ εὐχάς, ἑκάστου ἰδίαν καλύβην ἔχοντος καὶ ὡς ἔνι μάλιστα, ἰδιάζοντος· κοινῇ γὰρ Βραχμᾶνες μένειν οὐκ ἀνέχονται· οὐδὲ πολλὰ διαλέγεσθαι· ἀλλ᾽ ὅταν τοῦτο συμβῇ, ἀναχωρήσαντες, ἐπὶ πολλὰς ἡμέρας οὐ φθέγγονται· πολλάκις δὲ καὶ νηστεύουσιν. Σαμαναῖοι δέ, εἰσὶ μὲν ὡς ἔφαμεν, λογάδες. ὅταν δὲ μέλλῃ εἰς τὸ τάγμα τις ἐγγράφεσθαι ἄρχεσθαι, πρόσεισι τοῖς ἄρχουσι τῆς πόλεως. ὅπως δ᾽ ἂν τύχῃ τῆς πόλεως ἢ τῆς κώμης καὶ τῶν κτημάτων ἐξίστανται πάσης τῆς ἄλλης οὐσίας. ξυράμενος δὲ τοῦ σώματος τὰ περιττά, λαμβάνει στολήν, ἄπεισί τε πρὸς Σαμαναίους,

οὔτε πρὸς γυναῖκα, οὔτε πρὸς τέκνα, εἰ τύχοι κεκτημένος, ἐπιστροφὴν, ἤ τινα λόγον ἔτι ποιού-
μενος ἢ πρὸς αὐτὸν ὅλως νομίζων. καὶ τῶν μὲν τέκνων, ὁ βασιλεὺς κήδεται, ὅπως ἔχω-
σι τὰ ἀναγκαῖα: τῆς δὲ γυναικὸς οἱ οἰκεῖοι. ὁ δὲ βίος τοῖς Σαμαναίοις, ἐστὶ τοιοῦτος. Ἔξω
τῆς πόλεως διατρίβουσι διημερεύοντες ἐν τοῖς περὶ τοῦ θείου λόγοις. ἔχουσι δὲ οἴκους καὶ
τεμένη ὑπὸ τοῦ βασιλέως οἰκοδομηθέντα. ἐν οἷς οἰκονόμοι εἰσὶν, ἀπότακτόν τι λαμβά-
νοντες παρὰ τοῦ βασιλέως εἰς τροφὴν τῶν συνιόντων. ἡ δὲ παρασκευὴ γίνεται ὀρύζης καὶ
ἄρτων καὶ ὀπώρας καὶ λαχάνων. καὶ εἰσελθόντων εἰς τὸν οἶκον ὑποσημαίνοντι κώδω-
νι, οἱ μὴ Σαμαναῖοι ἐξίασιν: οἱ δὲ προσεύχονται. εὐξαμένων δὲ πάλιν διακωδωνίζειν καὶ
οἱ ὑπηρέται ἑκάστῳ τρύβλιον διδόασι: δύο γὰρ ἐκ ταὐτοῦ οὐκ ἐσθίουσιν, τρέφονται αὐτοὶ
τῇ ὀρύζῃ: τῷ δὲ δεομένῳ ποικιλίας, προσετίθεται τὸ λάχανον ἢ τῆς ὀπώρας τι. τραφέντες
δὲ συντόμως ἐπὶ τὰς αὐτὰς διατριβὰς ἐξίασιν. ἀγύναιοι δ' εἰσὶ πάντες καὶ ἀκτήμονες
καὶ τοσοῦτον αὐτῶν τε καὶ τῶν Βραχμάνων σέβας ἔχουσιν οἱ ἄλλοι, ὥστε καὶ τὸν βα-
σιλέα ἀφικνεῖσθαι παρ' αὐτοὺς, καὶ ἱκετεύειν εὔξασθαί τι καὶ δεηθῆναι ὑπὲρ τῶν καταλαμ-
βανόντων τὴν χώραν, ἢ συμβουλεῦσαι τὸ πρακτέον. αὐτοὶ δὲ οὕτως πρὸς θάνατον διά-
κεινται, ὡς τὸν μὲν τοῦ ζῆν χρόνον, ὥσπερ ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν ἀκουσί-
ως ὑπομένειν. σπεύδειν δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων. καὶ πολλάκις, ὅταν εὖ
ἔχειν σκέψωνται, μηδενὸς αὐτοὺς ἐπείγοντος κακοῦ: μηδὲ ἐξελαύνοντος, ἐξίασι τοῦ βίου,
προειπόντες μέντοι τοῖς ἄλλοις καὶ ἔστιν οὐδεὶς ὁ κωλύσων. ἀλλὰ πάντες αὐτοὺς εὐδαιμο-
νίζοντες πρὸς τοὺς οἰκείους τῶν τεθνηκότων ἐπισκήπτουσί τινα. οὕτως βεβαίαν καὶ ἀλη-
θεστάτην, αὐτοί τε καὶ οἱ πολλοὶ, ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύ-
κασιν. οἱ δ' ἐπειδὰν ὑπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες,
ὅπως δὴ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχὴν, ὑμνούμενοι τελευτῶσιν:
ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι ἀποπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων
ἕκαστοι, τοὺς πολίτας εἰς μηκίστας ἀποδημίας. καὶ σφᾶς μὲν αὐτοὺς, δακρύουσιν, ἐν τῷ
ζῆν διαμείναντας: ἐκείνους δὲ, μακαρίζουσιν, τὴν ἀθάνατον λῆξιν ἀπολαμβάνοντας: καὶ
οὐδεὶς οὔτε παρὰ τούτοις, οὔτε παρὰ τοῖς ἄλλοις τοῖς εἰρημένοις, σοφιστὴς προελθὼν, οἷ-
» ον ἐστὶ νῦν παρ' Ἕλλησιν, ἀπορεῖν ἔδοξε λέγων: ἐὰν ὑμᾶς πάντες μιμήσωνται, τί ἡμῖν ἔ-
σται: οὔτε δὴ τούτους συνεχύθη τὰ τῶν ἀνθρώπων: οὔτε γὰρ ἐμιμήσαντο πάντες, οὔτε μιμού-
μενοι εὐνομίας μᾶλλον, οὐ συγχύσεως τοῖς ἔθνεσι γεγόνασιν αἴτιοι. καὶ μὴν οὐδὲ ὁ νόμος
τούτους ἠνάγκασεν, ἀλλὰ τοῖς ἄλλοις ἐπιτρέψας σιτεῖσθαι κρέασι, τούτους αὐτονόμους εἴασε.
καὶ ἐσέφθη ὡς αὐτοῦ κρείττονας. οὐ μὴν ὡς ἀδικίας κατάρχοντας, ὑπήγαγε τῇ παρ' αὐτοῦ δί-
κῃ, ἀλλὰ τοὺς ἑτέρους. πρὸς μέντοι τοὺς ἐρωτῶντας, τί ἔσται, μιμησαμένων πάντων τοὺς τοιού-
τους, ἐπιτέον τὸ τοῦ Πυθαγόρου: καὶ γὰρ βασιλέων πάντων γινομένων, δυσδιέξακτος
ὁ βίος φησὶν ἔσται, καὶ οὐ δήπου φευκτέον τὸ τῆς βασιλείας. καὶ σπουδαίων ἁ-
πάντων, οὐκ ἔστιν εὑρεῖν πολιτείας διέξοδον τηροῦντας τὴν ἀξίαν τῇ σπουδαιό-
τητι. καὶ οὐ δήπου τοσοῦτον ἄν τις μανείη, ὡς μὴ πᾶσιν ἐπιβάλλειν ἡγεῖσθαι σπου-
δαίοις εἶναι προθυμεῖσθαι. πολλὰ μέντοι καὶ ἄλλα ὁ νόμος τῶν μὲν χυδαίων, συνεχώρη-
σεν: οὐχ ἔτι δὲ φιλοσόφῳ, ἀλλ' οὐδὲ τῷ καλῶς πολιτευομένῳ ἐπέτρεψεν. οὐδὲ γὰρ ἐκ
πάσης τέχνης παραδέξαιτ' ἂν, εἰς τὸ πολίτευμα. καίτοι οὐκ ἐκώλυσε μὲν μετιέναι τὰς
τέχνας, οὐδ' ἐκ παντὸς ἐπιτηδεύματος, καὶ ὅμως τοὺς ἐκ τῶν βαναύσων, ἄρχειν ἀπείργει.
ὅλως τε ἐν αἷς δικαιοσύνης χρεία, καὶ τῆς ἄλλης ἀρετῆς τῆς προστατείας, κωλύει. ἐπεὶ δ'
οὐδ' ἑταίραις ὁμιλεῖν ἀπαγορεύει τοῖς πολλοῖς, ἀλλὰ καὶ πραττόμενος τὰς ἑταίρας τὸ μί-
σθωμα, ἐπονείδιστον ἡγεῖται μετρίοις ἀνδράσιν. καὶ αἰσχρὰν τὴν πρὸς ταύτας ὁμιλίαν. τό, τε
ἐν καπηλείοις διαζῆν οὐ κεκώλυκεν ὁ νόμος. καὶ ὅμως ἐπονείδιστον τῷ μετρίῳ. τοιοῦτον οὖν
ἂν καὶ τὸ ἐπὶ τῆς διαίτης φαίνεται. καὶ οὐχ ἥτις τοῖς πολλοῖς συγκεχώρηται, ταύτην ἄν τις
καὶ τοῖς βελτίστοις συγχωρήσειεν. φιλοσοφῶν δὲ ἀνὴρ μάλιστ' ἂν τοὺς ἱεροὺς ἑαυτῷ ὑπο-
γράψειε νόμους, οὓς θεοί τε καὶ ἄνθρωποι ἀφώρισαν, θεοῖς ἑπόμενοι. οἱ δ' ἱεροὶ πεφήνασι
νόμοι κατὰ ἔθνη καὶ κατὰ πόλεις. ἁγνεύειν μὲν, προστάττοντες ἐμψύχων δὲ βρώσεων, ἀπα-
γορεύοντες. τοῖς ἱεροῖς ἤδη καὶ εἰς πλῆθος τινῶν κωλύοντες. ἢ δι' εὐσέβειαν ἢ διά τινας βλα-

βας ἐκ τῆς τροφῆς. ὥστε ἢ τῶν ἱερέων μιμητέον, ἢ πᾶσι πιστεύοντα τοῖς νομοθέταις· ἑκατέρως τὸ πάντων ἀφεκτέον, τὸν νόμιμόν τε τελείως καὶ εὐσεβῶς· εἰ γὰρ κατὰ μέρος τινὸς δι' εὐσέβειάν τινων ἀπέχονται, ὁ πρὸς πάντα εὐσεβὴς, πάντων ἀφέξεται. μικροῦ με παρῆλθε καὶ τὸ Εὐριπίδειον παραθέσθαι, ὃς τοὺς ἐν Κρήτῃ τοῦ Διὸς προφήτας ἀπέχεσθαι φησὶ διὰ τούτων. λέγουσι δ' οἱ κατὰ τὸν χορὸν πρὸς τὸν Μίνω. Φοινικογενοῦς παῖ τῆς Τυρίας τέκνον εὐρώπας καὶ τοῦ μεγάλου ζανὸς, ἀνάσσων Κρήτης ἑκατονπτολιέθρου. ἥκω ζαθέους ναοὺς προλιπών. οὓς αὐθιγενὴς τμηθεῖσα δοκὸς, στεγανοὺς παρέχει χαλύβῳ πελέκει. καὶ ταυροδέτῳ κραθεῖσ' ἀτρεκεῖς ἁρμοὺς, κυπαρίσσου. ἁγνὸν δὲ βίον τείνομεν· ἐξ οὗ διὸς ἰδαίου μύστης γενόμην. καὶ νυκτιπόλου ζαγρέως βροντὰς. τάς τ' ὠμοφάγους δαίτας τελέσας μητρί τ' ὀρείῳ δᾷδας ἀνασχών. καὶ κουρήτων βάκχος ἐκλήθην ὁσιωθείς· πάλλευκα δ' ἔχων εἵματα, φεύγω γένεσίν τε βροτῶν καὶ νεκροθήκης οὐ χριμπτόμενος· τήν τ' ἐμψύχων βρῶσιν ἐδεστῶν πεφύλαγμαι. ἁγνείαν γὰρ ἐτίθεντο οἱ ἱεροὶ, πρὸς τοὐναντίον ἀμιξίαν· μολυσμὸν δὲ, τὴν μῖξιν. ὅθεν τὴν μὲν τῶν καρπῶν τροφὴν, οὐκ ἐκ νεκρῶν ληφθεῖσαν· οὐδὲ οἷς ἦν ἔμψυχον τῇ φύσει προσφέροντες, τὰ ἀπὸ φύσεως διοικούμενα, μὴ μιαίνεσθαι ᾤοντο. τῶν δὲ ζώων, αἰσθητικῶν ὄντων, τὰς σφαγὰς καὶ ἀφαιρέσεις τῶν ψυχῶν, ὡς πρὸς τοὺς ζῶντας μιασμοὺς, ἡγοῦντο. καὶ πολλῷ μᾶλλον τὸ αἰσθητικὸν γενόμενον σῶμα, ἀφῃρημένον τῆς αἰσθήσεως. καὶ νεκρὸν μιγνύειν τῇ αἰσθήσει ζῶντος. διὸ ἐν πάσῃ ἡ ἁγνεία, ἐν ἀποθέσει μὲν καὶ ἀφέξει τῶν πολλῶν καὶ ἐναντίων, μονώσει δὲ καὶ λήψει τῶν οἰκείων καὶ προσφυῶν. διὸ καὶ τὰ ἀφροδίσια μιαίνει· σύνοδος γὰρ θήλεος καὶ ἄῤῥενος. καὶ κρατηθὲν μὲν τὸ σπέρμα ψυχῆς παρέχει μίανσιν, τῇ πρὸς τὸ σῶμα ὁμιλίᾳ· μὴ κρατηθὲν δὲ, τῇ νεκρώσει τοῦ παρατεθέντος. ὁ δὲ πρὸς ἄρσενας ἀρσένων, καὶ ὅτι εἰς νεκρὸν, καὶ ὅτι παρὰ φύσιν. καὶ καθάπαξ ἀφροδίσια καὶ ἐνειρώξεις, ὅτι ψυχῆς σώματι μεμιγμένης, καὶ πρὸς τὴν ἡδονὴν κατασπωμένης· μιαίνει δὲ καὶ τὰ πάθη τῆς ψυχῆς τῇ συμπλοκῇ καὶ τοῦ ἀλόγου θηλυνομένου τοῦ ἐντὸς ἄῤῥενος· καὶ γὰρ πᾶς καὶ ὁ μολυσμὸς καὶ ἡ μίανσις δηλοῖ τὴν μῖξιν τοῦ ἑτερογενοῦς πρὸς ἕτερον· καὶ μάλισθ' ὅταν δυσέκνιπτον γίνηται. ὅθεν καὶ ἐπὶ τῶν βαμμάτων, ἃ δὴ διὰ μίξεων συνίσταται, εἴδους εἴδει συμπλεκομένου, μιαίνειν φασίν. ὡς δ' ὅτε τις τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. καὶ ἔμπαλιν τὰς μίξεις φθορὰς οἱ ζωγράφοι λέγουσιν. ἡ δὲ συνήθεια τὸ ἄμικτον καὶ καθαρὸν, ἄφθαρτον καὶ ἀκραιφνὲς καὶ ἀκήρατον· καὶ γὰρ ὕδωρ γῇ ἀναμιχθὲν, ἔφθαρται. καὶ οὐκ ἔστιν ἀκραιφνές· τὸ δὲ διαῤῥέον καὶ διαφεῦγον, διακρούεται τὴν προσφερομένην γῆν. ὅταν φησὶν ὁ Ἡσίοδος ἀπὸ κρήνης ῥέει ἀεννάου καὶ ἀποῤῥύτου. ἥτ' ἀθόλωτος. καὶ ὑγιεινόν γε τὸ πόμα, ὅτι διάφορον καὶ ἄμικτον. καὶ θήλεια μὴ ἀναδεξαμένη εἰς ἑαυτὴν ἀναθυμίασιν σπέρματος, ἄφθορος λέγεται· ὥστε καὶ φθορὰ καὶ μίανσις ἡ τοῦ ἐναντίου μῖξις. αἱ δὲ πρὸς τὰ ζῶα ἢ νεκρῶν καὶ ἡ πρὸς αἴσθησιν ζησάντων, εἰς τὰ ζῶα ἔνθεσις καὶ σαρκῶν νεκρῶν εἰς ζῶσας, εἰκότως φέρει μόλυσμα καὶ τῇ φυσικῇ ἡμῶν μίανσιν, ὥσπερ οὖν καὶ ψυχὴ ὅταν ἐνσωματῶται, μεμόλυται. διὸ καὶ ὁ γενόμενος μιαίνει τῇ μίξει τῆς ψυχῆς, τῆς πρὸς τὰ σώματα καὶ ἐν ἀποθανὼν, ὅτι τὸ σῶμα καταλείπει νεκρὸν ἀλλόφυλον τῷ ζῶντι καὶ ἀλλότριον· μιαίνεται δὲ καὶ ἡ ψυχὴ ὀργαῖς, ἐπιθυμίαις, πλήθει παθῶν. ὧν συναιτία πως καὶ ἡ δίαιτα. ὡς δὲ ὕδωρ διὰ πέτρας ἀποῤῥέον, ἀδιάφθορον, ἢ δι' ἑλῶν ἰόντος, τῷ μὴ πολλὴν ἰλὺν ἀποσπᾶν, οὕτω καὶ ψυχὴ διὰ ξηροῦ σώματος καὶ μὴ χυμοῖς ἀλλοτρίων σαρκῶν ἀρδομένου τὰ ἑαυτῆς διοικοῦσα, κρείττων καὶ ἀδιάφθορος καὶ πρὸς σύνεσιν ἑτοιμοτέρα. ἐπεὶ καὶ τοὺς μελίττας τὸ καλὸν μέλι φασὶ φέρειν τὸ ξηρότατον καὶ δριμύτατον θύμον. μιαίνεται τοίνυν ἡ διάνοια· μᾶλλον δὲ ὁ διανοούμενος, ὅταν ἡ φανταστικῇ ἢ δοξαστικῇ ἀναμίγνυται. καὶ ταῖς τούτων ἐνεργείαις τὰς ταύτης συγκεράσηται. καθαρμὸς δὲ πάντων ὁ τούτων χωρισμός. καὶ ἁγνεία ἡ μόνωσις καὶ τροφὴ τὸ τηροῦν ἕκαστον ἐν τῷ εἶναι. οὕτω γὰρ καὶ λίθου τροφὴν, τὸ αἴτιον τοῦ συμμένειν εἴποις ἂν καὶ τὸ ἑκτικῶς διαμένειν· καὶ φυτοῦ, τὴν διατηροῦσαν ἐν τῷ αὔξειν ἢ καρπογονεῖν· καὶ ζώου σώματος, τὴν τηροῦσαν αὐτοῦ τὴν σύστασιν. ἄλλο δ' ἦν, τρέφειν· ἄλλο, πιαίνειν. καὶ ἄλλο, τὸ ἀναγκαῖον διδόναι. ἄλλο, τὸ τρυφὰς πορίζειν. διάφοροι τοίνυν αἱ τροφαὶ καὶ τὸ διάφορον τῶν τρεφομένων. καὶ δεῖ πάντα μὲν τρέφειν· πια-

δέον δὲ πιαίνειν τὰ ἐν ἡμῖν κυριώτατα. καὶ ψυχῆς οὖν λογικῆς τροφὴ ἡ τηροῦσα λογι-
κήν. νοῦς δὲ αὕτη. ὥστε τῷ νῷ θρεπτέον καὶ σπουδαστέον πιαίνειν ἀπὸ τούτου ἢ ἀπὸ τῶν κρεῶν
τὴν σάρκα· ὁ μὲν γὰρ τὴν αἰώνιον ἡμῖν ζωὴν συνέχει· τὸ δὲ σῶμα πιαινόμενον, λι-
μώττειν τὴν ψυχὴν ποιεῖ ἀπὸ τῆς μακαρίας ζωῆς καὶ τὸ θνητὸν αὔξει παραιροῦν καὶ ἐμ
ποδίζον πρὸς τὸν ἀθάνατον βίον. μιαίνει τε ἐνσωματοῦν τὴν ψυχήν. καὶ κατασπῶν πρὸς
τὸ ἀλλότριον. ὁ δὲ Μάγνης λίθος σιδήρῳ ψυχὴν δίδωσι, πλησίον γινομένῳ· καὶ ὁ βαρύ-
τατος ἀνακουφίζεται σίδηρος, πνεύματι προσαναψέχων λίθου. πρὸς θεὸν δέ τις ἀ-
ναρτηθεὶς, ἀσώματόν τε καὶ νοερὸν, τροφὴν πολυπραγμονήσει τὴν πιαίνουσαν τὸ ἐμπό-
διον πρὸς νοῦν, σῶμα, οὐχὶ δὲ εἰς ὀλίγον καὶ εὐπόριστον συστείλας τῆς σαρκὸς τὸ ἀναγκαῖ-
ον αὐτὸς θρέψεται προσπεφυκὼς τῷ θεῷ μᾶλλον ἢ σίδηρος τῷ μάγνητι. εἰ γὰρ καὶ τῆς
ἐκ τῶν καρπῶν οἷόν τ' ἦν ἄνευ πραγμάτων τροφῆς ἀποστῆναι. εἰ μὴ τοῦτ' ἦν ἡμῶν τῆς φύ
» σεως τὸ φθαρτόν. εἰ γὰρ καθάπερ φησὶν Ὅμηρος, μηδὲ σίτου ἐδεόμεθα, μηδὲ ποτοῦ, ἵν'
ὄντως ὦμεν ἀθάνατοι. καλῶς ἐκείνου τοῦ ποιητοῦ παραστήσαντος, ὡς οὐ μόνον τοῦ ζῆν, ἀλ
λὰ καὶ τοῦ ἀποθνήσκειν ἡ τροφὴ ὑπάρχει ἐφόδιον. εἰ οὖν μηδὲ ταύτης ἐδεόμεθα, πόσῳ
ἂν ἦμεν μακαριώτεροι, ὅσῳ καὶ ἀθανατώτεροι. νῦν δὲ ἐν θνητῷ ὄντες, ἔτι θνητοτέρους,
εἰ χρὴ οὕτως εἰπεῖν, ἀγνοοῦμεν ἑαυτοὺς ποιοῦντες, τῇ τούτου προσθέσει· οὐ πολὺ τὸ ἐνοί-
» κιον, ὥς φησί που Θεόφραστος, τῷ σώματι διδούσης τῆς ψυχῆς, τῆς ἐν αὐτῷ κατοικήσεως,
» ἀλλ' ὅλην ἑαυτὴν προστιθείσης· ὡς εἴθε τὴν μυθευομένην ἄλιμον καὶ ἄδιψον εὔπορον ἦν
κτήσασθαι, ἵν' αὕτη τὸ διαρρέον τοῦ σώματος ἐπιχώννυ δι' ὀλίγου, πρὸς τοῖς ἀρίστοις ἦν, πρὸς οἷσ-
περ ὢν καὶ θεὸς, ἐστὶ θεός. ἀλλὰ ταῦτα μὲν τί αὐτῆς ἀποκλαύσαιτο τοὺς ἀνθρώ-
πους τοσοῦτον ἐσκοτωμένους, ὡς τὸ ἑαυτῶν κακὸν περιέπειν. μισεῖν δὲ πρῶτον μὲν,
ἑαυτοὺς καὶ τὸ ὄντως αὐτοὺς τήκοντα· ἔπειτα καὶ τοὺς ἀναμιμνήσκοντας, καὶ τῆς μέθης ἀνα
νῆψαι παρακαλοῦντας. διὸ μήποτε τῶν τοιούτων ἀφεμένους, χρὴ ἐπὶ τὰ λειπόμενα τῶν
ζητημάτων μεταβαίνειν. οἱ γὰρ δὴ τὰ ἐκ τῶν ἐθνῶν ἡμῖν παρατιθέντα νόμιμα, ἀντι
παράγοντες Νομάδας, ἢ Τρωγλοδύτας ἢ Ἰχθυοφάγους, ἀγνοοῦσιν ὡς δι' ἀνάγκην, τῆς χώ
ρας ἀκάρπου οὔσης ἐπὶ τοσοῦτον, ὡς μηδὲ βοτάνας φέρειν· θῖνας δὲ μόνον καὶ ψάμμον,
ἐπὶ τοῦτο περιέστησαν τῆς τροφῆς τὸ ἀναγκαῖον. τεκμήριον δὲ τὸ τῆς ἀνάγκης τὸ μηδὲ τῷ πυ
ρὶ χρῆσθαι δύνασθαι, ἀπορίᾳ καυσίμου ὕλης. ἐπὶ δὲ τῶν πετρῶν ἀφαυαίνειν ἢ τῆς θινὸς, τοὺς
ἰχθῦς. καὶ οὗτοι μὲν δι' ἀνάγκην· τινὰ δὲ τῶν ἐθνῶν ἐξηγρίωται καὶ ἔστι φύσει θηριώδη. ἐξ
ὧν οὐ προσήκει τοὺς εὐγνώμονας τῆς ἀνθρωπίνης καταψεύδεσθαι φύσεως. ἐπεὶ οὕτω γε
ἀμφισβητήσιμον ἔσται οὐ μόνον τὸ τῆς ζωοφαγίας, ἀλλὰ καὶ τὸ τῆς ἀνθρωποφαγίας καὶ
τῆς ἄλλης ἡμερότητος. ἱστοροῦνται γοῦν Μασσαγέται καὶ Δέρβικες ἀθλιωτάτους ἡγεῖ-
σθαι τῶν οἰκείων τοὺς αὐτομάτως τελευτήσαντας. διὸ καὶ φθάσαντες καταθύουσιν καὶ
ἑστιῶνται τῶν φιλτάτων τοὺς γεγηρακότας. Τιβαρηνοὶ δὲ ζῶντας κατακρημνίζουσιν τοὺς
ἐγγυτάτω γέροντας. Ὑρκάνιοι δὲ καὶ Κάσπιοι. οἱ μὲν, οἰωνοῖς καὶ κυσὶν παραβάλλουσι
ζῶντας· οἱ δὲ, τεθνεῶτας. Σκύθαι δὲ συγκατορύττουσιν ζῶντας καὶ ἐπισφάττουσι ταῖς
πυραῖς, οὓς ἠγάπων οἱ τεθνεῶτες μάλιστα. καὶ Βάκτριοι μέντοι κυσὶ παραβάλλουσι ζῶν-
τας τοὺς γεγηρακότας καὶ τοῦτ' ἐπιχειρήσας καταλῦσαι Στασάνωρ ὁ Ἀλεξάνδρου ὕπαρ
χος, μικροῦ τὴν ἀρχὴν ἀπέβαλεν. ἀλλ' ὥσπερ οὐδὲ τούτους τὴν πρὸς τοὺς ἀνθρώπους ἡμε
ρότητα κατελύσαμεν, οὕτως οὐδὲ τὰ δι' ἀνάγκην σαρκοφαγοῦντα ἔθνη μιμησόμεθα· τὰ
δὲ εὐσεβῆ καὶ θεοῖς μᾶλλον ἀνακείμενα· τὸ γὰρ κακῶς ζῆν καὶ μὴ φρονίμως καὶ σωφρόνως
καὶ ὁσίως Δημόκριτος ἔλεγεν οὐ κακῶς ζῆν εἶναι, ἀλλὰ πολὺν χρόνον ἀποθνήσκειν. λοι
πὸν δὲ καὶ κατὰ ἄνδρα ὀλίγας μαρτυρίας τῆς ἀποχῆς παραφέρωμεν· ἓν γὰρ καὶ τοῦτ'
ἦν τῶν ἐγκλημάτων. Τῶν τοίνυν Ἀθήνησι νομοθετῶν, Τριπτόλεμον παλαιότατον παρει-
» λήφαμεν. περὶ οὗ Ἕρμιππος ἐν δευτέρῳ περὶ τῶν νομοθετῶν γράφει ταῦτα. Φασὶ δὲ καὶ
» Τριπτόλεμον Ἀθηναίοις νομοθετῆσαι. καὶ τῶν νόμων αὐτοῦ, τρεῖς ἔτι Ξενοκράτης ὁ φιλό-
» σοφος λέγει διαμένειν Ἐλευσῖνι τούσδε. Γονεῖς τιμᾶν. Θεοὺς καρποῖς ἀγάλλειν. Ζῷα μὴ
» σίνεσθαι. τοὺς μὲν οὖν δύο, καλῶς παραδοθῆναι· δεῖ γὰρ τοὺς μὲν γονεῖς, εὐεργέτας ἡμῶν γε-
» γενημένους, ἀντευποιεῖν ἐφ' ὅσον ἐνδέχεται· τοῖς θεοῖς δὲ, ἀφ' ὧν ἔδωκαν ἡμῖν ὠφελίμων

εἰς τὸν βίον, ἀπαρχὰς ποιεῖσθαι. περὶ δὲ τοῦ τρίτου διαπορεῖ τί ποτε διανοηθεὶς ὁ Τριπτόλεμος παρήγγελλεν ἀπέχεσθαι τῶν ζώων. πότερον γάρ φησιν, ὅλως οἰόμενος δεινὸν τὸ ὁμογενὲς κτείνειν, ἢ συνιδὼν, ὅτι συνέβαινεν ὑπὸ τῶν ἀνθρώπων τὰ χρησιμώτατα τῶν ζώων εἰς τροφὴν ἀναιρεῖσθαι. βουλόμενον οὖν, ἥμερον ποιῆσαι τὸν βίον πειραθῆναι καὶ τὰ συνανθρωπεύοντα καὶ μάλιστα τῶν ζώων ἥμερα, διασώζειν. εἰ μὴ ἄρα δὴ τὸ προστάξαι τοῖς καρποῖς τοὺς θεοὺς τιμᾶν, ὑπολαβὼν μᾶλλον ἂν διαμένειν τὴν τιμὴν ταύτην, εἰ μὴ γίγνοιντο τοῖς θεοῖς διὰ τῶν ζώων θυσίαι. πολλὰς δὲ αἰτίας τοῦ Ξενοκράτους καὶ ἄλλας οὐ πάνυ ἀκριβεῖς ἀποδιδόντος, ἡμῖν αὐτάρκως τοσοῦτον ἐκ τῶν εἰρημένων. ὅτι τοῦτο νενομοθέτητο ἐκ τοῦ Τριπτολέμου. ὅθεν ὕστερον παρανομοῦντες, ὅτι ἥψαντο τῶν ζώων μετὰ πολλῆς ἀνάγκης καὶ ἁμαρτημάτων ἀκουσίων, ὥσπερ ἐπεδείξαμεν, ἐπὶ τοῦτο πεπτώκασιν. ἐπεὶ καὶ Δράκοντος νόμος μνημονεύεται τοιοῦτος.

» Θεσμὸς αἰώνιος τοῖς Ἀτθίδα νεμομένοις, κύριος τὸν ἅπαντα χρόνον. Θεοὺς τιμᾶν καὶ ἥρωας ἐγχωρίους ἐν κοινῷ, ἑπομένους
» νόμοις πατρίοις ἰδίᾳ κατὰ δύναμιν, σὺν εὐφημίᾳ
» καὶ ἀπαρχαῖς καρπῶν πελανοῖς ἐπετείοις.

Τοῦ νόμου ἀπαρχαῖς καρπῶν, οἷς χρῆται ὁ ἄνθρωπος, τιμᾶν τὸ θεῖον προστάττοντος καὶ πελανοῖς.

ΤΕΛΟΣ.

ΠΟΡΦΥΡΙΟΥ ΤΩΝ ΠΡΟΣ ΤΑ ΝΟΗΤΑ ΑΦΟΡΜΩΝ.

α. ΠΑ͂Ν ΣΩ͂ΜΑ, ἐν τόπῳ: οὐδὲν δὲ τῶν καθ' ἑαυτὰ ἀσωμάτων ἢ τὶ τοιοῦτον, ἐν τόπῳ.

β. Τὰ καθ' ἑαυτὰ ἀσώματα, αὐτῷ ὃ κρεῖττον παντός ἐστι σώματος καὶ τόπου, πανταχῆ ἐστιν: οὐ διαστατῶς, ἀλλ' ἀμερῶς.

γ. Τὰ καθ' ἑαυτὰ ἀσώματα, οὐ τοπικῶς παρόντα τοῖς σώμασι, πάρεστιν αὐτοῖς, ὅτ' ἂν βούλωνται, πρὸς αὐτὰ ῥέψαντα ᾗ καὶ πέφυκεν ῥέπειν, ἀλλὰ τοπικῶς αὐτοῖς οὐ παρόντα, τῇ σχέσει πάρεστιν αὐτοῖς.

δ. Τὰ καθ' ἑαυτὰ ἀσώματα, ὑποστάσει μὲν καὶ οὐσίᾳ οὐ πάρεστιν: οὐ γὰρ συγκιρνᾶται τοῖς σώμασι: τῇ δὲ ἐκ τῆς ῥοπῆς ὑποστάσει τινὸς δυνάμεως μεταδίδωσι προσεχοῖς τοῖς σώμασιν: ἡ γὰρ ῥοπὴ δευτέραν τινὰ δύναμιν ὑπέστησε, προσεχῆ τοῖς σώμασιν.

ε. Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ περὶ τὰ σώματα μεριστῆς οὐσίας, μέσον τί ἐστι. ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον: αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη, κατὰ τὰ σώματα μεριστά.

ς. Οὐ πᾶν τὸ ποιοῦν εἰς ἄλλο, πελάσει καὶ ἀφῇ ποιεῖ ἃ ποιεῖ: ἀλλὰ καὶ τὰ πελάσει καὶ ἀφῇ τι ποιοῦντα, κατὰ συμβεβηκὸς τῇ πελάσει χρῆται.

ζ. Ψυχὴ καταδεῖται πρὸς τὸ σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη, τὰ ἀπ' αὐτοῦ. καὶ λύεται δὲ πάλιν διὰ τῆς ἀπ' αὐτοῦ ἀπαθείας.

η. Ὃ ἔδησεν ἡ φύσις, τοῦτο καὶ φύσις λύει, καὶ ὃ ἔδησεν ἡ ψυχή, τοῦτο αὐτὴ λύει: ἔδησε μὲν ἡ φύσις σῶμα ἐν ψυχῇ. ψυχὴ δὲ ἑαυτὴν ἐν σώματι. φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς: ψυχὴ δὲ ἑαυτὴν λύει ἐκ τοῦ σώματος.

θ. Οὐχ ὁμοίως μὲν νοοῦμεν ἐν πᾶσιν, ἀλλ' οἰκείως ἑκάστου οὐσίᾳ: ἐν νῷ μὲν γάρ, νοερῶς: ἐν ψυχῇ δέ, λογικῶς: ἐν δὲ τοῖς φυτοῖς, σπερματικῶς: ἐν δὲ σώμασιν, εἰδωλικῶς: ἐν δὲ τῷ ἐπέκεινα, ἀνενοήτως τε καὶ ὑπερουσίως.

ι. Αἱ ἀσώματοι ὑποστάσεις ὑποβαίνουσαι καὶ μερίζονται καὶ πληθύνονται εἰς τὰ κατὰ ἄτομον ὑφέσει δυνάμεως. ὑπερβαίνουσαι δέ, ἑνίζονται καὶ εἰς τὸ ὁμοῦ ἀντιχωροῦσι δυνάμεως περιουσίᾳ.

ια. Οὐ μόνον ἐν τοῖς σώμασι τὸ ὁμώνυμον, ἀλλὰ καὶ ἡ ζωὴ τῶν πολλαχῶς. ἄλλη γὰρ ζωή, φυτοῦ καὶ ἄλλη, ἐμψύχου: ἄλλη, νοεροῦ: ἄλλη, φύσεως τῆς ἐπέκεινα: ἄλλη ψυχῆς: ἄλλη νοερά: ζῇ γὰρ κἀκεῖνα. εἰ καὶ μηδὲν τῶν παρ' αὐτὸ παραπλησίαν αὐτῷ ζωὴν κέκτηται.

ιβ. Πᾶν τὸ γεννῶν τῇ οὐσίᾳ αὐτοῦ, χεῖρον αὐτοῦ γεννᾷ: καὶ πᾶν τὸ γεννηθὲν φύσει πρὸς τὸ γεννῆσαν ἐπιστρέφει. τῶν δὲ γεννώντων τὰ μέν, οὐδ' ὅλως ἐπιστρέφει πρὸς τὰ γεννηθέντα: τὰ δέ, καὶ ἐπιστρέφει καὶ οὐκ ἐπιστρέφει. τὰ μὲν μόνον ἐπέστραπται πρὸς τὰ γεννήματα, εἰς ἑαυτὰ μὴ ἐπιστρέφοντα.

ιγ. Ἡ μνήμη οὐκ ἔστι φαντασιῶν σωτηρία, ἀλλὰ τῶν μελετηθέντων προβάλλεσθαι ἐκ νέας προβλήματα.

ιδ. Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους: ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς προχείρισιν ἐκκαλουμένη ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω. καὶ ὑπ' ἄλλου μὲν ἐκ-

καλουμένη ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις ἐπάγειν δίδωσιν· εἰς δὲ ἑαυτὴν εἰσδῦσα ὡς ἐν ταῖς νοήσεσι γίνεται. οὔτε οὖν αἰσθήσεις ἔξω φαντασίας· οὔτε αἱ νοήσεις εἶεν ἄν τις ὡς τῷ ζῴῳ οὐκ ἄνευ πάθους τῶν αἰσθητικῶν ὀργάνων αἱ αἰσθήσεις. οὕτω καὶ αἱ νοήσεις οὐκ ἄνευ φαντασίας εἰ μὴ τὸ ἀνάλογον. ὡς τύπος παρακολούθημα ζῴου αἰσθητικοῦ, οὕτω τὸ φάντασμα ψυχῆς ζῴου ἑπόμενον νοήσει.

ιε. Ἡ ψυχή, οὐσία ἀμεγέθης, ἄυλος, ἄφθαρτος· ἐν ζωῇ παρ᾽ ἑαυτῆς ἐχούσῃ τὸ ζῆν καὶ κεκτημένῃ τὸ εἶναι.

ιϛ. Ἄλλο τὸ πάσχειν τῶν σωμάτων· ἄλλο τῶν ἀσωμάτων· τῶν μὲν γὰρ σωμάτων, σὺν τροπῇ τὸ πάσχειν· τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη, ἐνέργειαι· οὐδὲ ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. διὸ εἴπερ τὸ πάσχειν τῶν σωμάτων σὺν τροπῇ, ἐκτέον ἀπαθῆ πάντα τὰ ἀσώματα· τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ τῶν σωμάτων, ἐνεργείᾳ ἦν τὰ αὐτά· τὰ δὲ ὕλῃ πλησιάζοντα καὶ σώμασιν, αὐτὰ μὲν ἀπαθῆ· τὰ δὲ ἐφ᾽ ὧν θεωρεῖται, πάσχει· ὅταν γὰρ ζῷον αἰσθάνηται, ἔοικεν ἡ μὲν ψυχὴ ἁρμονίᾳ χωριστῇ ἐξ ἑαυτῆς τὰς χορδὰς κινούσῃ ἡρμοσμένας· τῇ δὲ ἐν ταῖς χορδαῖς ἁρμονίᾳ ἀχωρίστως τὸ σῶμα. τὸ δ᾽ αἴτιον τοῦ κινῆσαι τὸ ζῷον δὴ τὸ εἶναι ἐναρμόνιον· τὰ δὲ πληγέντα σώματα δὴ πάθος αἰσθητικὸν ταῖς ἡρμοσμέναις χορδαῖς· καὶ γὰρ ἐκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ᾽ ἡ χορδή. καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν. οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο· μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

ιζ. Ἡ τῶν ἀσωμάτων προσηγορία, οὐ κατὰ κοινότητα ἑνὸς καὶ ταὐτοῦ γένους οὕτω προσηγόρευται καθάπερ τὰ σώματα. κατὰ δὲ ψιλὴν τὴν πρὸς τὰ σώματα στέρησιν. ὅθεν τὰ μὲν αὐτῶν ὄντα· τὰ δὲ οὐκ ὄντα εἶναι οὐ κεκώλυται· καὶ τὰ μέν, πρὸ σωμάτων· τὰ δέ, μετὰ σωμάτων· καὶ τὰ μέν, χωριστὰ σωμάτων· τὰ δέ, ἀχώριστα· καὶ τὰ μέν, καθ᾽ ἑαυτὰ ὑφεστηκότα· τὰ δέ, ἄλλων εἰς τὸ εἶναι δεόμενα. καὶ τὰ μὲν ἐνεργείαις τὰ αὐτὰ καὶ ζωαῖς αὐτοκινήτοις· τὰ δὲ ταῖς ζωαῖς παρυφιστάμενα ταῖς ποιαῖς ἐνεργείαις· κατὰ γὰρ ἀπόφασιν, ὧν οὐκ ἔστι· οὐ κατὰ παράστασιν, ὧν ἔστι, προσηγόρευται.

ιη. Τῆς ὕλης τὰ ἴδια κατὰ τοὺς ἀρχαίους τάδε. ἀσώματος· ἑτέρα γὰρ σωμάτων. ἄζωος· οὔτε γὰρ νοῦς, οὔτε ψυχή, οὐ ζῶν καθ᾽ ἑαυτό. ἀνείδεος. ἀλλοῖος. ἄπειρος. ἀδύναμος. διὸ οὐδὲ ὄν, ἀλλ᾽ ἀληθινὸν μὴ ὄν, εἴδωλον καὶ φάντασμα ὄγκου. ὅτι τὸ πρώτως ἐν ὄγκῳ τὸ ἀδύναμον καὶ ἔφεσις ὑποστάσεως. καὶ ἑστὼς οὐκ ἐν στάσει. καὶ τὸ ἀεὶ ἐφ᾽ ἑαυτοῦ φανταζόμενον, μικρὸν καὶ μέγα καὶ ἧττον καὶ μᾶλλον, ἐλλεῖπον καὶ ὑπερέχον. ἀεὶ γινόμενον καὶ οὐ μένον, οὐδ᾽ αὖ φεύγειν δυνάμενον. ἔλλειψις παντὸς τοῦ ὄντος. διὸ ὃ ἂν ἐπαγγέλληται, ψεύδεται. κἂν μέγα φαντασθῇ, μικρόν ἐστιν· οἷον γὰρ παίγνιόν ἐστι, φεῦγον εἰς τὸ μὴ ὄν. ἡ γὰρ φυγὴ οὐ τόπῳ, ἀλλὰ τῇ ἐκ τοῦ ὄντος ἀπολείψει. ὅθεν καὶ τὰ ἐν αὐτῇ εἴδωλα, ἔστιν ἐν εἰδώλῳ χείρονι ὥσπερ ἐν κατόπτρῳ τὸ ἀλλαχοῦ ἱδρυμένον, ἀλλαχοῦ φανταζόμενον. καὶ πιμπλάμενον ὡς δοκεῖ καὶ ἔχον οὐδὲν καὶ δοκοῦν.

ιθ. Τὰ πάθη περὶ ἐκεῖνο πάντα, περὶ ὃ καὶ ἡ φθορά· ὁδὸς γὰρ ἔστιν εἰς φθοράν, ἡ παραδοχὴ τοῦ πάθους καὶ τούτου τὸ φθείρεσθαι, οὗ καὶ τὸ πάσχειν ἐστίν. φθείρεται δὲ οὐδὲν ἀσώματον. τινὰ δὲ αὐτῶν ἢ ἔστιν ἢ οὐκ ἔστιν. ὥστε πάσχει οὐδέν· τὸ γὰρ πάσχον οὐ τοιοῦτον εἶναι δεῖ, ἀλλ᾽ οἷον ἀλλοιοῦσθαι καὶ φθείρεσθαι, ταῖς ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων. τῷ γὰρ ἐνόντι ἀλλοίωσις ἡ παρὰ τοῦ τυχόντος· οὔτε οὖν ἡ ὕλη πάσχει· ἄποιος γὰρ καθ᾽ αὑτήν, οὔτε τὰ ἐπ᾽ αὐτῆς εἴδη εἰσιόντα καὶ ἐξιόντα, ἀλλὰ τὸ πάθος περὶ τὸ συναμφότερον καὶ ᾧ τὸ εἶναι ἐν τῷ συναμφοτέρῳ· τοῦτο γὰρ ἐν ταῖς ἐναντίαις δυνάμεσι καὶ ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων ἀναμέσον θεωρεῖται. διὸ καὶ ὧν τὸ ζῆν ἔξωθεν, καὶ οὐ παρ᾽ ἑαυτῶν, ταῦτα τὸ ζῆν καὶ τὸ μὴ ζῆν παθεῖν οἷά τε. οἷς δὲ τὸ εἶναι ἐν ζωῇ ἀπαθεῖ, κατὰ ζωὴν μένειν ἀνάγκη. ὥσπερ τῇ ἀζωίᾳ τὸ μὴ παθεῖν καθ᾽ ὅσον ἀζωία. ὡς οὖν τὸ τρέπεσθαι καὶ πάσχειν, ἐν τῷ συνθέτῳ τῷ ἐξ ὕλης τε καὶ εἴδους, ὅπερ ἦν τὸ σῶμα, οὐ μὴν τῇ ὕλῃ τοῦτο προσῆν. οὕτω καὶ

τὸ ζῆν καὶ ἀποθνῄσκειν, καὶ πάσχειν κατὰ τοῦτο ἐν συνθέτῳ ἐκ ψυχῆς, καὶ σώματος θεωρεῖται· οὐ μὴν καὶ τῇ ψυχῇ καὶ τοῦτο συμβαίνει, ὅτι οὐκ ἦν ὕλης ἀζωΐας, καὶ ζωῆς συγκείμενον πρᾶγμα, ἀλλὰ ζωῆς, καὶ μόνον, καὶ τοῦτο ἐν τῷ ἁπλῆν οὐσίαν εἶναι, καὶ λόγον τῆς ψυχῆς αὐτοκίνητον.

κ. Ἡ νοερὰ οὐσία, ὁμοιομερής ἐστιν, ὡς καὶ ἐν τῷ μερικῷ νῷ εἶναι τὰ ὄντα, καὶ ἐν τῷ παντελείῳ, ἀλλ' ἐν μὲν τῷ καθόλου, καὶ τὰ μερικὰ καθολικῶς· ἐν δὲ τῷ μερικῷ, καὶ τὰ καθόλου καὶ μερικὰ μερικῶς.

κα. Τῆς οὐσίας, ἧς ἐν ζωῇ τὸ εἶναι, καὶ ἧς τὰ πάθη ζωαί. ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται. οὐκ ἐν ζωῆς καθάπαξ στερήσει. ὅτι μηδὲ πάθος, ἡ ὁδὸς ἦν πάντη πρὸς τὸ μὴ ζῆν, ἡ ἀζωΐα, ἢ ἐν αὐτῇ.

κβ. Ἐπὶ τῶν ζώων τῶν ἀσωμάτων, αἱ πρόοδοι μενόντων τῶν προτέρων ἑδραίων καὶ βεβαίων γίνονται, καὶ οὐ φθειρόντων τι αὐτῶν εἰς τὴν τῶν ὑπ' αὐτὰ ὑπόστασιν· οὐδὲ μεταβαλλόντων. ὥστε οὐδὲ τὰ ὑφιστάμενα μετά τινος φθορᾶς ὑφίσταται, ἢ μεταβολῆς οὐδὲ τοῦτο οὐδὲ γίνεται, ὡς ἡ φθορᾶς μετέχουσα γένεσις, καὶ μεταβολῆς. ἀγένητα ἄρα καὶ ἄφθαρτα, καὶ ἀγενήτως καὶ ἀφθάρτως γεγονότα κατὰ τοῦτο.

κγ. Περὶ τοῦ ἐπέκεινα νοῦ, κατὰ μὲν νόησιν πολλὰ λέγεται· θεωρεῖται δὲ ἀνοησίᾳ κρείττονι νοήσεως, ὥσπερ ἐπὶ τοῦ καθεύδοντος, διὰ μὲν ἐγρηγόρσεως πολλὰ λέγεται· διὰ δὲ τοῦ καθεύδειν ἡ γνῶσις, καὶ ἡ κατάληψις· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον γινώσκεται, ὅτι πᾶσα γνῶσις, τοῦ γνωστοῦ ὁμοίωσις.

κδ. Μὴ ὂν τὸ μὲν γεννῶμεν, χωρισθέντες τοῦ ὄντος· τὸ δὲ προεννοοῦμεν, ἐχόμενοι τοῦ ὄντος. ὡς εἴγε χωρισθείημεν τοῦ ὄντος, οὐ προεννοοῦμεν τὸ ὑπὲρ τὸ ὂν μὴ ὄν, ἀλλὰ γεννῶμεν ψευδὲς πάθος τὸ μὴ ὄν· συμβεβηκὸς περὶ τὸν ἐκστάντα ἑαυτοῦ. καὶ γὰρ αὐτὸς ἕκαστος ὥσπερ ὄντως καὶ δι' ἑαυτοῦ ἐστιν ἀναχθῆναι ἐπὶ τὸ ὑπὲρ τὸ μὴ ὂν καὶ παραχθῆναι ἐπὶ τὸ κατάπτωμα τοῦ ὄντος μὴ ὄν.

κε. Οὐδὲν πρὸς τὸ ἀσώματον τὸ καθ' ἑαυτό, ἡ τοῦ σώματος ἐμποδίζει ὑπόστασις πρὸς τὸ μὴ εἶναι ὅπου βούλεται, καὶ ὡς θέλει, ὡς γὰρ τῷ σώματι τὸ ἄογκον, ἄληπτον, καὶ οὐδὲν πρὸς αὐτό· οὕτω τῷ ἀσωμάτῳ τὸ ἔνογκον καὶ ἀνεπιπρόσθητον, καὶ ὡς μὴ ὄν, κεῖται· οὐδὲ τοπικῶς διέρχεται τὸ ἀσώματον ὅπου βούλεται. ὄγκῳ γὰρ συνυφίσταται τόπος, οὐδὲ συγχωρεῖται σωμάτων ὄντων. τὸ γὰρ ὅπως οὖν ἐν ὄγκῳ συγχωρεῖσθαι δύναται, καὶ τοπικῶς ποιεῖσθαι τὴν μετάβασιν· τὸ δ' ἄογκον παντελῶς, καὶ ἀμέγεθες ὑπὸ τῶν ἐν ὄγκῳ ἀκράτητον τοπικῆς τε κινήσεως ἄμοιρον· διαθέσει τοίνυν ποιᾷ ἐκεῖ εὑρίσκεται ὅπου καὶ διάκειται τόπῳ ὂν πανταχοῦ, καὶ οὐδαμοῦ. διὸ ποιᾷ διαθέσει, ἢ ὑπὲρ οὐρανόν, ἢ ἐν μέρει που τοῦ κόσμου κεκράτηται· ὅταν δὲ κρατηθῇ ἔν τινι μέρει τοῦ κόσμου, οὐκ ὀφθαλμοῖς ὁρᾶται· ἀλλ' ἐκ τῶν ἔργων αὐτοῦ φανερὰ ἡ παρουσία αὐτοῦ γίνεται.

κϛ. Τὸ ἀσώματον εἰ ἐν σώματι κατασχεθῇ, οὐ συγκλεισθῆναι δεῖ, ὡς ἐν ζωγρείῳ θηρία· συγκλεῖσαι γὰρ αὐτὸ οὐδὲν οὕτω δύναται, καὶ περιλαβεῖν σῶμα. οὐδ' ὡς ἀσκὸς ὑγρόν τι ἕλκει ἢ πνεῦμα, ἀλλ' αὐτὸ δεῖ ὑποστῆσαι δυνάμεις ἐκνευούσας ἀπὸ τῆς πρὸς αὐτὸ ἑνώσεως εἰς τὸ ἔξω. αἷς δὴ κατιὸν, συμπλέκεται τῷ σώματι. δι' ἐκτάσεως οὖν ἀρρήτου τῆς ἑαυτοῦ ἡ εἰς σῶμα συνέρξις. διὸ οὐδ' ἄλλο αὐτὸ καταδεῖ, ἀλλ' αὐτὸ ἑαυτό· οὐδὲ λύει τοίνυν θραυσθὲν τὸ σῶμα, καὶ φθαρέν, ἀλλ' αὐτὸ ἑαυτὸ στραφὲν ἐκ τῆς προσπαθείας.

κζ. Τῶν μὲν ὅλων, καὶ τελείων ὑποστάσεων οὐδεμία πρὸς τὸ ἑαυτῆς γέννημα ἐπέστραπται· πᾶσαι δὲ αἱ τέλειαι ὑποστάσεις πρὸς τὰ γεννήσαντά εἰσιν ἀνηγμέναι. ἄχρι καὶ τοῦ κοσμικοῦ σώματος· τέλειον γὰρ ὂν ἀνῆκται πρὸς τὴν ψυχήν, νοερὰν οὖσαν. καὶ κύκλῳ διὰ τοῦτο κινούμενον. ἡ δὲ ψυχὴ αὐτοῦ πρὸς τὸν νοῦν. νοῦς δὲ πρὸς τὸ πρῶτον, διήκει τοίνυν ἅπαντα ταῦτα τοῦτο ἀπὸ τοῦ ἐσχάτου ἀρξάμενον, καθ' ὃ δύναται ἕκαστον ἡ καὶ πρὸς τὸ πρῶτον ἀναγωγή. προσεχὴς μέντοι ἡ τὸ ἐκεῖθεν ἦν, διὸ ταῦτα οὐκ ἐφίεσθαι μόνον τοῦ θεοῦ λέγοιτ' ἄν, ἀλλὰ καὶ ἀπολαύειν κατὰ δύναμιν· ἐν δὲ ταῖς μερισταῖς ὑποστάσεσι, καὶ πρὸς πολλὰ ῥέπειν δυναμέναις, ἔνεστι καὶ πρὸς τὰ γεννήματα ἐπιστρέφειν. ὅθεν καὶ

ἐν ταύταις ἦν ἡ ἁμαρτία· ἐν ταύταις ἡ λελοιδορημένη ἀπιστία. ταύτας οὖν κακοῖ ἡ ὕλη, τῷ ἐπιστρέφεσθαι ἐπ᾽ αὐτὴν δύνασθαι· δυναμένας ἐστράφθαι καὶ πρὸς τὸ θεῖον. ὥσθ᾽ ἡ μὲν τελειότης ὑφίστησι τὰ δεύτερα ἀπὸ τῶν προτέρων· τηροῦσα αὐτὰ ἐπεστραμμένα πρὸς τὰ πρῶτα· τὸ δ᾽ ἀτελὲς στρέφει καὶ πρὸς τὰ ὕστερα τὰ πρῶτα καὶ φιλεῖν ταῦτα ποιεῖ τὰ πρὸ αὐτῶν ἀποστραφέντα.

κγ. Ὁ θεὸς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ὁ νοῦς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ἡ ψυχὴ πανταχοῦ, ὅτι οὐδαμοῦ. ἀλλ᾽ ὁ θεὸς μὲν πανταχοῦ καὶ οὐδαμοῦ τῶν μετ᾽ αὐτὸν πάντων. αὐτοῦ δὲ ἔστι μόνον ὡς ἔστι καὶ ἤθελει. νοῦς δὲ ἐν θεῷ μὲν, πανταχοῦ δὲ καὶ οὐδαμοῦ τῶν μετ᾽ αὐτόν. καὶ ψυχὴ ἐν νῷ τε καὶ θεῷ πανταχοῦ καὶ οὐδαμοῦ ἐν σώματι· σῶμα δὲ καὶ ἐν ψυχῇ καὶ ἐν νῷ καὶ ἐν θεῷ· καὶ ὡς πάντα τὰ ὄντα καὶ μὴ ὄντα ἐκ τοῦ θεοῦ καὶ ἐν θεῷ καὶ οὐκ αὐτὸς τὰ ὄντα καὶ οὐκ ὄντα καὶ ἐν αὐτοῖς. εἰ μὲν γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσιν. ἐπεὶ δὲ καὶ οὐδαμοῦ, τὰ πάντα γίνεται δι᾽ αὐτοῦ καὶ ἐν αὐτῷ, ὅτι πανταχοῦ ἐκεῖνος. ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ. οὕτω καὶ νοῦς πανταχοῦ ὢν καὶ οὐδαμοῦ, αἴτιος ψυχῶν καὶ τῶν μετ᾽ αὐτὰς καὶ οὐκ αὐτὸς ψυχὴ, οὔτε μετὰ ψυχὴν, οὐδὲ ἐν τούτοις. ὅτι οὐκ ἦν μόνον πανταχοῦ τῶν μετ᾽ αὐτὸν, ἀλλὰ καὶ οὐδαμοῦ· καὶ ἡ ψυχὴ οὐ σῶμα, οὔτε ἐν σώματι, ἀλλ᾽ αἰτία σώματος· ὅτι πανταχοῦ οὖσα τοῦ σώματος, ἔστιν οὐδαμοῦ. καὶ ἔστι γε ἡ πρόοδος τοῦ παντὸς, εἰς τὸ μήτε πανταχοῦ ἅμα· μήτε μηδαμοῦ εἶναι δυνάμενον, ἀλλ᾽ ἀνὰ μέρος ἑκατέρων μετέχον.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ ΜΙΧΑΗΛ ΤΟΥ ΕΦΕΣΙΟΥ.

ΩΣΠΕΡ ΕΝ τοῖς ἠθικοῖς ἐπιγραφομένοις νικομαχείοις, πρότερον προεῖπε ποταπὰς δεῖ ζητεῖν τὰς ἀποδείξεις, τὰς περὶ τὰ καλὰ, καὶ τὰ δίκαια γινομένας. ὁποῖον τὸν περὶ τούτων τι ἀκουσόμενον εἶναι χρὴ, πεπαιδευμένον. κρίνει γὰρ φησὶν ἐν ἐκείνοις, ἕκαστος καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής: καθ᾽ ἕκαστον ἄρα ὁ πεπαιδευμένος. ὡς οὖν ἐν ἐκείνοις ταῦτα προφάσας, οὕτω τὸν περὶ τῶν ἠθῶν λόγον ἐποιήσατο, οὕτω κἀνταῦθα ποιεῖ καὶ ἐκτίθεται τὸν ἀκουσόμενον τι περὶ τῶν ζώων μορίων, καὶ τῶν αἰτιῶν, δι᾽ ἃς ταῦτα ἔχει τὰ ζῶα, πραγματείας. καὶ φησί. Περὶ πᾶσαν θεωρίαν τιμιωτέραν τε καὶ ταπεινοτέραν δύο ἕξεις εἰσίν: ὧν τὴν μὲν, ἐπιστήμην προσαγορεύομεν, καὶ τὸν ἔχοντα αὐτὴν, ἐπιστήμονα καλοῖμεν: θατέραν τε, παιδείαν, καὶ τὸν ἀπ᾽ αὐτῆς δὲ πεπαιδευμένον: πεπαιδευμένος δὲ λέγεται, οἷον φέρε εἰπεῖν, περὶ γεωμετρίας, οὐχ ὁ ἔχων ἀκριβεστάτην πάντων ἕξιν τῶν γεωμετρικῶν θεωρημάτων: ὁ γὰρ τοιοῦτος κυρίως ἐπιστήμων ὀνομάζεται. ἀλλ᾽ ὁ ἔχων γεωμετρικὰς ἀρχὰς, καὶ τινῶν θεωρημάτων γνῶσιν: καὶ δυνάμενος ἐκ τούτων κρίνειν τὸν διαλεγόμενον, ὡς γεωμέτρην κατὰ τὰς γεωμετρικὰς ἀρχὰς, καὶ ὡς δεῖ γεωμέτρην, διαλέγεσθαι. ὅστις οὖν ἔχει ἀρχὰς γεωμετρικὰς, ἀριθμητικάς τε καὶ ἀστρονομικὰς, καὶ φυσικὰς, καὶ ἁπλῶς ἁπασῶν τεχνῶν τε, καὶ ἐπιστημῶν: καὶ δυνάμενος ἐκ τούτων κρίνειν τόν τε φυσικὸν, εἰ φυσικῶς διαλέγεται: καὶ τὸν μαθηματικὸν, εἰ μαθηματικῶς: καὶ τοὺς ἄλλους ὁμοίως, ὁ δὴ τοιοῦτος ὀνομάζεται ὅλως πεπαιδευμένος ἤγουν περὶ ἅπαντα πεπαιδευμένος. καὶ ἁπάντων ἀρχὰς ἔχων, καὶ πάντων κριτικὸς νομιζόμενος, εἷς ὢν τῷ ἀριθμῷ: οὐ γὰρ πολλοὶ ὁ τοιοῦτος, ἀλλ᾽ εἷς. ὅστις δὲ ἔχει ἀρχὰς μιᾶς τινὸς φύσεως, καὶ ἐπιστήμης, οἷον γεωμετρίας μόνης, οὗτος διάκειται περὶ ἕν τι μόριον τῆς ὅλης ἐπιστήμης, ὡς ὁ πρότερος περὶ ἅπαντα. ἐκ δὴ τούτων δῆλον, ὅτι ὁ μὲν ἐπιστήμων καὶ πεπαιδευμένος ἐστίν: οὐ πᾶς δὲ πεπαιδευμένος, ἐπιστήμων. εἰ δὴ ἐπὶ πάντων οὕτως ἔχει, δεῖ καὶ τῆς περὶ φύσεως ἱστορίας ὑπάρχειν ἀρχὰς, καὶ ὅρους τοιούτους, πρὸς οὓς ἀναφέρων ὁ ἀκροώμενος, ἀποδέξεται τὰ δεικνύμενα. χωρὶς τοῦ πῶς ἔχει τἀληθές. εἰ γὰρ καὶ τοῦτο ποτὲ θεωρεῖ, ἀλλ᾽ οὖν οὐ προηγουμένως ὁ πεπαιδευμένος σκοπεῖ, κἂν ἀληθὲς ᾖ μὴ, τὸ δεικνύμενον ἐστίν: ἐπιστήμονος γάρ ἐστι τοῦτο: ἀλλ᾽ ἔργον ἐστὶν αὐτῷ θεωρῆσαι, εἰ γεωμετρικόν ἐστι τὸ δεικνύμενον, εἰ ἐκ τῶν γεωμετρικῶν ἀρχῶν δείκνυται. ταῦτ᾽ εἰπὼν ἐπάγει. ἄρα δεῖ λαβόντα ἑκάστην οὐσίαν περὶ ἑκάστης ἰδίᾳ ζητῆσαι. οἷον χωρὶς μὲν περὶ

ἀνθρώπου φύσεως καὶ ἰδίᾳ περὶ λέοντος, ἢ τὰ κοινῇ συμβεβηκότα πᾶσι κατά τι κοινὸν ἀποθεμένους: οἷον ἐπεὶ συμβέβηκε, καὶ ἀνθρώπῳ, καὶ ἵππῳ, καὶ λέοντι, καὶ ἄλλοις πολλοῖς, τὸ ἀναπνεῖν, τὸ αὔξειν, τὸ φθίνειν, δεῖ ὡς κοινόν τι πρᾶγμα καὶ κοινήν τινα φύσιν λαβεῖν τὸ ἀναπνευστικὸν καὶ ζητεῖν, ὅπως καὶ διατί ἀναπνέουσι τὰ ἀναπνευστικά, καὶ αὔξει τὰ αὐξητικά. ἢ χωρὶς μὲν ἰδεῖν ὅπως ὁ ἄνθρωπος ἀναπνεῖ καὶ ἰδίως ὅπως ὁ ἵππος. εἰπὼν δὲ καὶ ὅτι πολλοῖς ἑτέροις ἐστὶν ἀλλήλων τῷ εἴδει, ὑπάρχει τὰ αὐτὰ οἷον ὕπνος, ἀναπνοή, αὔξησις, φθίσις, θάνατος, ἐπήγαγε. [Καὶ πρὸς τούτοις ὅσα τοιαῦτα τῶν λειπομένων παθῶν τε καὶ διαθέσεων:] ὁ ἴσον ἂν εἴη τῷ, καὶ πρὸς τούτοις ἄλλα πλεῖστα κοινῶς ὑπάρχει τοῖς ζώοις, ἃ παραλέλειπται καὶ οὐ κατείλεκται νῦν ἡμῖν. ταῦτα δ' ἂν εἶεν ἐγρήγορσις, μακροβιότης, βραχυβιότης καὶ τὰ ὅμοια. τὸ δέ: [Ἄδηλον γὰρ καὶ ἀδιόριστόν ἐστι λέγειν περὶ τούτων νῦν,] εἴρηται ἀντὶ τοῦ: οὔπω γὰρ περὶ τούτων ἀπόντες τῶν περὶ ἡμῶν ἢ τῶν ζώων ἡμῖν ὄντων, διωρίσαμέν τι καὶ σεσαφηνίσαμεν, εἴτε χωρὶς δεῖ λέγειν, εἴτε κοινῶς. εἰπὼν οὖν ὅτι πότερον δεῖ λαβόντας μίαν ἑκάστην οὐσίαν, καὶ τὰ ἑξῆς, ἐπάγει. [Φανερὸν δὲ καὶ ὅτι κατὰ μέρος μὲν λέγοντες περὶ πολλῶν, ἐροῦμεν πολλάκις ταὐτά.] ἀντιλαμβανόμενος οἶμαι δὴ τούτων, ὡς οὐ δεῖ χωρὶς περὶ ἑκάστου λέγειν, ὅπως τε ὁ ἵππος ἀναπνεῖ. καὶ ὅπως ὁ ἄνθρωπος: πολλάκις γὰρ ἀναγκασθησόμεθα λέγειν ταὐτά. ἀλλὰ ληπτέον ὡς μίαν τινὰ φύσιν, τὸ ἀναπνευστικόν: καὶ σκεπτέον ὅπως γίνεται: ἐπεὶ δὲ τῶν κοινῶς ὑπαρχόντων τοῖς ζώοις τὰ μέν ἐστι συνώνυμα: τὰ δ' ὁμώνυμα, θεὶς παραδείγματα τῶν συνωνύμων ὕπνον, ἀναπνοήν, αὔξησιν, φθίσιν, τίθησι καὶ τῶν ὁμωνύμων λέγων. [Ἕτερα δὲ ἴσως ἐστὶν οἷς συμβαίνει τὴν μὲν κατηγορίαν ἔχειν τὴν αὐτήν.] τὸ, [Ἕτερα] ἀντὶ τοῦ ὁμώνυμα νῦν λαβών: ἡ γὰρ πορεία ὁμωνύμως βαδίσεως καὶ ἑρψεως καὶ πτήσεως κατηγορεῖται: τὸ δέ, [Ἴσως] ἢ

ἴσως

ἀντὶ τοῦ ἁπλῶς καὶ καθόλου κεῖται: ἢ διὰ τὸ φιλόσοφον εὐλαβεῖσθαι. τὸ δέ, [Πότερον, καθάπερ οἱ μαθηματικοὶ τὰ περὶ τὴν ἀστρονομίαν δεικνύουσιν: οὕτω δεῖ καὶ τὸν φυσικόν,] ἴσον ἂν εἴη τῷ, ἆρά γε ὥσπερ οἱ μαθηματικοὶ λαβόντες τὸ πρᾶγμα, ὅτι ἐστίν: οὕτω τὰς αἰτίας, διὰ τί οὕτως ἔχει, ζητοῦσι: λαβόντες γὰρ ἐξ αἰσθήσεως, ὅτι τῶν ἀστέρων, οἱ μὲν ἀεὶ δύνουσιν, ὡς τὸ λεγόμενον θυτήριον, ὡς ὁ στέφανος: οἱ δὲ οὐδέποτε ποιοῦνται δύσιν, ὡς ἄρκτος: οὕτω τὴν αἰτίαν διατί οὕτως ἔχει ἐζήτησαν. οὕτω δεῖ καὶ τὸν φυσικὸν πρότερον ἰδεῖν, εἰ ἔχει τὰ ζῷα καρδίαν, πνεύμονα, φλέβας καὶ οὕτω ζητῆσαι διατί ταῦτα ἔχουσι τὰ μόρια, ἢ ἀνάπαλιν: [Ἢ τῇ αἰσθήσει ὁριζόμενος:] ὁρίζεται τὴν ὑγίειαν τῇ αἰσθήσει ὁ ἰατρὸς, ὅταν λαβὼν ὑγιᾶ χεῖρα, φάσκῃ: ἐπειδὰν ἡ νοσοῦσα χεὶρ ἐνεργῇ ὡς αὕτη, τότε ὑγιανεῖ. ὁμοίως καὶ ἐπὶ οἰκίας, ὅταν ἀφορῶν ὁ οἰκοδόμος πρὸς τὴν ἤδη οὖσαν, ἑτέραν ὁμοίαν ἐκείνῃ ποιῇ. [Εἰς ὃ πειρῶνται πάντες σχεδόν:] οἱ γὰρ πρεσβύτεροι τούτου φιλόσοφοι, τὸ ὑλικὸν ἅπαντες ἐζήτουν αἴτιον καὶ περὶ ἐκεῖνο διέτριβον, ἧττον φροντίσαντες τῶν ἄλλων αἰτίων: κἂν ἐπὶ μικρὸν καὶ ἐκείνων, ὅσον ἐνδέξασθαι, ἥψαντο. [Ἀλλ' ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἕτερος.] ἕτερος φησίν ἐστιν ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἤγουν τῆς ὕλης, ἐπί τε τῆς φυσικῆς καὶ τῶν θεωρητικῶν ἐπιστημῶν: καὶ ἐπὶ τῶν τεχναστῶν: ἐκεῖ γὰρ προσυπακούειν. τῆς μὲν γὰρ φυσικῆς ἀρχὴ τὸ ὄν: ὡς ἤδη γὰρ ὄντα λαβοῦσα τὸν ἄνθρωπον, κἂν μήπω ἐστί, λέγει: ἐπειδὴ τοιόνδε ἐστὶν ὁ ἄνθρωπος, δεῖ τοιᾶσδε ὕλης: καὶ οὐ φησὶν ὡς ἐπειδὴ τοιαύτη ἐστὶν ἡ ὕλη, δεῖ ἄνθρωπον εἶναι. καὶ ἡ ἰατρικὴ ὁμοίως τὴν ὑγίειαν ὡς οὖσαν, κἂν μὴ ᾖ. καὶ ὁ γεωμέτρης τὸ τρίγωνον ὡς ὂν λαβών, ζητεῖ, εἰ ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας: ἐπὶ δὲ τῶν τεχναστῶν, οὐχ οὕτως: ἀλλ' ὡς μὴ ὂν καὶ δυνάμενον γενέσθαι: φαμὲν γάρ, εἰ ἔσται πρίων, δεῖ τοιᾶσδε ὕλης, καὶ ἐπὶ τῆς οἰκίας ὁμοίως. [Οὐδ' ἔστιν εἰς ἀΐδιον συναρτῆσαι.] οὐ δυνατόν ἐστι φησὶν εἰς ἀΐδιον συναρτῆσαι τῆς τοιαύτης ἀποδείξεως ἤγουν τῆς ἀντιστρεφούσης, τὴν ἀνάγκην ἐπὶ τῶν τεχναστῶν, ὥστε λέγειν: ἐπειδὴ ἡ

οἰκία τοδί ἐστι, δεῖ τοιαύτης ὕλης, καὶ ἐπεὶ τοιαύτη ὕλη ἐστίν, ἔσται οἰκία: ὡς ἐπὶ δὲ τῶν ἀϊδίων, δυνατὸν λέγειν: ἐπεὶ ὁ ἥλιος ἐν κριῷ ἐστιν, ἦν ἐν τοξότῃ: καὶ ἐπεὶ ἐν τοξότῃ ἐστιν, ἔσται ἐν κριῷ: ἀλλὰ περὶ μὲν τούτων εἴρηκε καὶ ἐν δευτέρῳ τῆς ἀποδεικτικῆς, καὶ ἐν τῷ τέλει τῆς περὶ γενέσεως καὶ φθορᾶς, καὶ ἐν τῇ μετὰ τὰ φυσικά. [Δεῖ δὲ μὴ λεληθέναι καὶ πότερον προσήκει λέγειν:] καὶ τοῦτο φησὶ δεῖν γινώσκειν ἡμᾶς, ἄρ' οὕτω ποιητέον τὴν παροῦσαν σκέψιν, ὥσπερ οἱ πρὸ ἡμῶν ἐποίουν: ἐκεῖνοι γὰρ ἔλεγον, ὅτι τὴν τοῦ πράγματος γένεσιν, ὅπως γίνεται, πρότερον ζητεῖν ἄξιον: ταύτης γὰρ καταληφθείσης καὶ γνωρίμου γεγενημένης, ἔσεσθαι καὶ ἡ γνῶσις τῆς τοῦ πράγματος ὑπάρξεως καὶ τῆς οὐσίας αὐτῆς. ἀλλ' ἐκεῖνοι μὲν οὕτως, ὁ δὲ οὐκ ἀρέσκεται, ἀλλὰ φησίν. [Ἔοικεν ἐντεῦθεν ἀρκτέον εἶναι, καθάπερ καὶ πρότερον εἴπομεν.] καὶ ληπτέον τὰ ὑπάρχοντα ἑκάστῳ γένει ὡς ὑπάρχοντα: καὶ θεωρητέον τίνα τίσιν ὑπάρχει καὶ ἐστίν, οἷον τοῖς μὲν βουσὶν ἐχῖνος: σηπίαις δὲ τὸ σηπίον καὶ ἄλλοις ἄλλα. καὶ μετὰ τὴν γνῶσιν τῶν ὑπαρχόντων ἑκάστοις οὕτω ζητητέον τήν τε γένεσιν αὐτῶν καὶ τὰς αἰτίας, καθ' ἃς ταῦτα αὐτοῖς ὑπάρχει. εἰ γὰρ μὴ γνῶμεν πρότερον ὅτι ἐστίν, πῶς αὖ ὅπως γίγνεται, εὕρωμεν: οὕτω γὰρ καὶ ἐπὶ οἰκοδομήσεως ποιοῦμεν: ὡς οὐδὲν γὰρ τὴν οἰκίαν λαβόντες, οὕτω τὴν γένεσιν αὐτῆς ζητοῦμεν, ὅπως ἐγένετο. εἰ δὲ ἡ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, οὐκ ὀρθῶς Ἐμπεδοκλῆς εἴρηκεν ὑπάρχειν πολλὰ ζῴοις κατὰ συμβεβηκὸς καὶ ἀπὸ τύχης: ἔλεγε γὰρ τὴν ῥάχιν ἀπὸ τύχης καὶ κατὰ συμβεβηκὸς ἔχειν τοὺς σπονδύλους: μία γὰρ οὖσα φησὶ καὶ συνεχής, ὥσπερ καὶ ῥάβδος ἢ κάλαμος, καὶ στραφέντος τοῦ ζῴου ἢ κύψαντος κατεάγη. ἀγνοήσας πρῶτον μὲν ὅτι τὸ σπέρμα, ἀφ' οὗ τὰ μέρη τοῦ ζῴου συνέστη, δεῖ δυνάμει εἶναι ταῦτα τὰ πάντα: εἶθ' ὅτι καὶ ὁ πατήρ, ἀφ' οὗ τὸ σπέρμα, πρότερος ἐστὶ τοῦ υἱοῦ. ὥστε διὰ τὸ τὸν πατέρα τοιόνδ' εἶναι, καὶ τὸ σπέρμα δυνάμει τὰ μέρη, διὰ τοῦτο γέγονεν ἡ ῥάχις τοιαύτη, καὶ τὰ λοιπὰ μόρια. ἀλλ' οὐχ ὅτι ἐστράφη ἢ ἔκυψε, κατεαγεῖσα ἔχει τοὺς ἁρμούς. ἰστέον δὲ καὶ τόδε ὅτι ὥσπερ ἐπὶ τῶν ἀπὸ φύσεως καὶ τέχνης γινομένων προϋπάρχοντος τοῦ ποιητικοῦ, ὑπ' αὐτοῦ γίνεται τὰ γινόμενα οἷα ἐστιν, οὕτω καὶ ἐπὶ τῶν αὐτομάτως δοκούντων γίνεσθαι ἔοικε γίνεται, οἷα αὖ ἐποίησε φύσις ἢ τέχνη. εἰπὼν δὲ ὅτι τῶν τεχναστῶν ὑπάρχει τὸ ποιητικὸν ὅμοιον ὂν τῷ γινομένῳ ἐπήγαγεν: ἡ γὰρ τέχνη λόγος καὶ εἶδος τοῦ τεχναστοῦ ἐστιν, ἄνευ τῆς ὕλης: καὶ τοῦτο πανάληθες: ἡ γὰρ οἰκοδόμησις οὐδὲν ἄλλο τυγχάνει οὖσα ἢ τὸ εἶδος τῆς οἰκίας χωρὶς ξύλων καὶ λίθων. διὸ οὐ τὴν τύχην καὶ τὸ κατὰ συμβεβηκὸς αἰτιατέον, ἀλλὰ λεκτέον: ἐπεὶ τοῦτό ἐστι τῷ ἀνθρώπῳ εἶναι, διὰ τοῦτο ταῦτα τὰ μόρια ἔχει: οὐ γὰρ ἐνδέχεται εἶναι ἄνευ τῶν μορίων τούτων ἢ πάντων ἢ τῶν γε κυριωτάτων, καὶ ὧν ἄνευ ἀδύνατον εἶναι: τούτου γάρ ἐστι δηλωτικὸν τό. [Εἰ δὲ μή, ἀλλ' ὅτι ἐγγυτάτω τούτοις καὶ ἢ ὅλως:] ἐχέτω τὰ μόρια ἤτοι καὶ ἢ τὰ κυριώτατα ἐχέτω μόρια, καρδίαν, ἧπαρ, τὰ ὅμοια, ὅτι χωρὶς τούτων ἀδύνατον εἶναι. [Ἢ καλῶς γε οὕτως:] τουτέστιν ἢ ταῦτα ἐχέτω: τὸ γὰρ κάλλιον τοῦτό ἐστι: τὸ μηδὲν ἐλλείπειν τῶν ἐν αὐτῷ μορίων. τὸ δέ, [Ταῦτα δὲ ἕπεται.] ἴσον ἐστὶ τῷ, εἰ καλῶς ἔχοι ὁ ἄνθρωπος, ἕπεται ταῦτα μόρια αὐτοῦ: τῷ γὰρ καλῶς ἔχοντι τοῦτ' ἀκολουθεῖ, τὸ μηδὲν ἐλλείπειν. μήτε τῶν κυριωτάτων, μήτε τῶν ἀκύρων: εἰπὼν δὲ ἀνωτέρω ὅτι πρῶτον τὰ φαινόμενα καὶ ὄντα ληπτέον περὶ ἕκαστον γένος. εἶθ' οὕτως τὰς αἰτίας τούτων λεκτέον, καὶ μεταξὺ πολλὰ παρενείρας, ἐπάγει. [Ἐπεὶ δὲ ἐστι τοιοῦτον, τὴν γένεσιν ὡδί.] δυνάμει λέγων, δεῖ δὴ τὸ πρᾶγμα ὡς ὂν λαμβάνειν. εἶτα λέγειν: ἐπειδὴ τοιοῦτον ἐστι καὶ φύσιν εἴληφε τοιαύτην, δεῖ τὴν γένεσιν ὡδὶ γενέσθαι, πρότερον μὲν καρδίαν, εἶτα τόδε καὶ οὕτως ἕτερον: ἀλλ' οὗτος μὲν οὕτω δαιμονίως περὶ τούτου διορίζει: Ἐμπεδοκλῆς δὲ τὴν ὕλην αἰτιᾶται τῆς γενέσεως λέγων. ἐπειδὴ τὸ πῦρ καὶ ὁ ἀὴρ ἄνω πεφύκασι φέρεσθαι. γῆ δὲ καὶ ὕδωρ κάτω: συναγούσης τῆς φιλίας τὰ στοιχεῖα, τὸ ἐν ἐμοὶ ὕδωρ κάτω πεφυκὸς φέρεσθαι, ἐκοίλανε τὸν τόπον

μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν, ὑπὸ τῶν ἐπιμελητῶν ἰέναι ἀφίενται. καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον. ζωσάμενοί τε σκέπασι λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν εἰς ἴδιον οἴκημα συνίασιν· ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν. αὐτοί τε καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται, τὸ δειπνητήριον. καθισάντων δὲ μεθ᾽ ἡσυχίας, ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους. ὁ δὲ μάγειρος, ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ. προκατεύχεται δ᾽ ὁ ἱερεὺς τῆς τροφῆς, ἁγνῆς οὔσης καὶ καθαρᾶς. καὶ γεύσασθαί τινι πρὶν τῆς εὐχῆς, ἀθέμιτον. ἀριστοποιησαμένοις δ᾽ ἐπεύχεται πάλιν· ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν θεόν. ἔπειθ᾽ ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ᾽ ἔργα μέχρι δείλης τρέπονται· δειπνοῦσι δ᾽ ὑποστρέψαντες ὁμοίως· συγκαθεζομένων τῶν ξένων εἰ τύχοιεν αὐτοῖς παρόντες. οὔτε δὲ κραυγή ποτε τὸν οἶκον, οὐ θόρυβος μιαίνει. τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν, ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. τούτου δ᾽ αἴτιον ἡ διηνεκὴς νῆψις. καὶ τὸ μετρεῖσθαι παρ᾽ αὐτοῖς τροφὴν καὶ ποτὸν μέχρι κόρου· τοῖς δὲ ζηλοῦσι τὴν αἵρεσιν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ᾽ ἐπ᾽ ἐνιαυτὸν ἔξω μένοντι, τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε καὶ περίζωμα δόντες καὶ λευκὴν ἐσθῆτα. ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἔγγιον τῇ διαίτῃ. καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει. παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις, οὐδέπω· μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται. καὶ φανεὶς ἄξιος, οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις. πρῶτον μὲν, εὐσεβήσειν τὸ θεῖον· ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια διαφυλάξειν. καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ, μήτ᾽ ἐξ ἐπιτάγματος. μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνίζεσθαι τοῖς δικαίοις· τὸ πιστὸν, πᾶσι μὲν παρέξειν· μάλιστα δὲ τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τισι τὸ ἄρχειν. κἂν αὐτὸς ἄρχῃ μηδέποτε ἐξυβρίσαι εἰς τὴν ἐξουσίαν. μηδ᾽ ἐσθῆτί τινι πλέονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ καὶ τοὺς ψευδομένους προβάλλεσθαι. χεῖρας κλοπῆς καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς, μήθ᾽ ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. πρὸς δὲ τούτοις ὄμνυσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως, ἢ ὡς αὐτὸς παρέλαβεν. ἀφέξεσθαι δὲ λῃστείας καὶ συντηρήσειν ὁμοίως τά, τε τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιοῦτοι μὲν οἱ ὅρκοι. οἱ δ᾽ ἁλόντες καὶ οἱ ἐκβληθέντες κακῷ μόρῳ φθείρονται. τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένοι, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύνανται μεταλαμβάνειν· ποιηφαγοῦντες δὲ, καὶ λιμῷ τὸ σῶμα διαφθειρόμενοι, ἀπόλλυνται. διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀνάγκαις ἔλαβον, ἱκανὴν τιμωρίαν δεδωκέναι νομίζοντες ὑπὲρ τοῖς ἁμαρτήμασι, τὴν μέχρι θανάτου βάσανον. τὴν δὲ σκαλίδα διδόασι τοῖς μέλλουσιν αἱρετισταῖς. ἐπεὶ καὶ αὐτοὶ ἄλλως οὐ θακεύουσιν, ἢ βόθρον ὀρύξαντες εἰς βάθος ποδιαῖον. περικαλύψαντές τε θοιματίῳ, ὡς μὴ ταῖς αὐταῖς ἐνυβρίζειν τοῦ θεοῦ. τοσαύτη μέντοι ἐστὶν αὐτῶν ἡ λιτότης ἡ περὶ τὴν δίαιταν καὶ ὀλιγότης, ὡς τῇ ἑβδομάδι μὴ δεῖσθαι κενώσεως· ἣν τηρεῖν εἰώθασιν εἰς τοὺς ὕμνους τῷ θεῷ, καὶ εἰς ἀνάπαυσιν. οἱ δὲ τῆς ἀσκήσεως ταύτης τοσαύτην περιποίηνται τὴν καρτερίαν, ὡς στρεβλούμενοι, καὶ λυγιζόμενοι, καὶ καιόμενοι, καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἢ βλασφημήσωσι τὸν νομοθέτην ἢ φάγωσι τῶν ἀσυνήθων οὐδ᾽ ἕτερον ὑπομένειν. διέδειξαν δὲ τοῦτο, ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ· ἐπεὶ οὐδὲ κολακεῦσαι τοὺς αἰκιζομένους ἢ δακρῦσαι ὑπέμενον· μειδιῶντες δ᾽ ἐν ταῖς ἀλγηδόσι, καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων, εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι· καὶ γὰρ ἔρρωται παρ᾽ αὐτοῖς ἥδε ἡ δόξα. φθαρτὰ μὲν εἶναι τὰ σώματα, καὶ τὴν ὕλην οὐ μόνιμον αὐτῶν· τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν. καὶ συμπλέκεσθαι μὲν ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ἴυγγι φυσικῇ κατασπωμένας. ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν. οἷον

δὴ μακρᾶς

δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. ἀπὸ δὲ τῆς τοιαύτης διαίτης καὶ τῆς πρὸς ἀλήθειαν καὶ τὴν εὐσέβειαν ἀσκήσεως, εἰκότως ἐν αὐτοῖς πολλοί, οἳ καὶ τὰ μέλλοντα προγινώσκουσιν. ὡς ἂν βίβλοις ἱεραῖς, καὶ διαφόροις ἁγνείαις, καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπανίως μέντοι ἐν ταῖς προαγορεύσεσιν, ἀστοχοῦσιν. τοιοῦτο μὲν, τὸ τῶν Ἐσσαίων παρὰ τοῖς Ἰουδαίοις τάγμα. πᾶσι γοῦν ἀπηγόρευτο ὑὸς ἐσθίειν ἢ ἰχθύων τῶν ἀφολιδώτων: ἃ σελάχια καλοῦσιν Ἕλληνες, ἢ τι τῶν μωνύχων ζώων. ἀπηγορεύετο δὲ καὶ μὴ τὰ ἱκετεύοντα, καὶ οἷον, προσφεύγοντα ταῖς οἰκίαις ἀναιρεῖν, οὐχ ὅτι μὴ ἐσθίειν. οὐδὲ νεοττοῖς ἐπέτρεψεν ὁ νομοθέτης τοὺς γονέας συνεξαιρεῖν. φείδεσθαι δὲ κελεύει κἂν τῇ πολεμίᾳ τῶν συνεργαζομένων ζώων καὶ μὴ φονεύειν. καὶ οὐκ ἐφοβήθη μὴ πληθύναν τὸ γένος τῶν μὴ θυομένων ζώων, λιμὸν ἐργάσηται τοῖς ἀνθρώποις: ἤδει γὰρ πρῶτον μὲν, ὅτι τὰ πολύτοκα, καὶ ὀλιγοχρόνια. ἔπειτα ὡς πολὺ τὸ ἀπολλύμενον, ὅταν μὴ τύχῃ τῆς ἐξ ἀνθρώπων ἐπιμελείας. καὶ μὴν καὶ ὅτι ἐστὶν ἄλλα ζῶα, ἃ τῷ πληθύνοντι ἐπιτίθεται. τεκμήριον δὲ, ὅτι πολλῶν ἀπεχόμεθα, οἷον σαυρῶν, σκωλήκων, μυῶν, ὄφεων, κυνῶν καὶ ὅμως οὐ δέος μὴ ἐκ τῆς ἀποχῆς λιμώττοντες διαφθαρῶμεν πληθυνόντων. ἔπειτα οὐ ταυτὸν τὸ ἐσθίειν τῷ φονεύειν. ἐπεὶ καὶ τούτων ἀναιροῦντες τὰ πολλὰ, οὐδενὸς ἐπιγευόμεθα. καὶ μὴν καὶ τοὺς Σύρους ἱστοροῦσι τὸ παλαιὸν ἀπέχεσθαι τῶν ζώων καὶ διὰ τοῦτο μηδὲ τοῖς θεοῖς θύειν. ὕστερον δὲ θῦσαι μὲν εἰς ἀποτροπήν τινων κακῶν. αὐτοὺς δὲ, μηδὲ ὅλως προσίεσθαι τὴν σαρκοφαγίαν. προϊόντος δὲ τοῦ χρόνου, ὥς φησι Νεάνθης ὁ Κυζικηνὸς: καὶ Ἀσκληπιάδης ὁ Κύπριος, κατὰ Πυγμαλίωνα, τὸν γένει μὲν, Φοίνικα: βασιλεύσαντα δὲ Κυπρίων, τὴν σαρκοφαγίαν παραδεχθῆναι ἐκ τῆς τοιαύτης παρανομίας: λέγει δὲ ὁ Ἀσκληπιάδης ἐν τῷ περὶ Κύπρου, καὶ Φοινίκης ταῦτα.
» Τὸ μὲν γὰρ πρῶτον οὐκ ἐθύετο τοῖς θεοῖς οὐδὲν
» ἔμψυχον: ἀλλ' οὐδὲ νόμος ἦν περὶ τούτου, διὰ τὸ νόμῳ φυσικῷ κεκωλῦσθαι. ἀπὸ δέ τινας
» χρόνους πρῶτον ἱερεῖον θῦσαι μυθεύονται, ψυχὴν ἀντὶ ψυχῆς αἰτουμένους. εἶτα τούτου γε-
» νομένου ὁλοκαυτίζειν τὸ τυθέν. ὕστερον δέ ποτε φλεγομένου τοῦ ἱερείου, πεσεῖν σάρκα εἰς
» γῆν: ἣν ἀνελόντα τὸν ἱερέα, καὶ κατακαιόμενον, ἀβουλήτως προσαγαγεῖν τῷ στόματι τοὺς
» δακτύλους, ἀκούμενον τὴν κατάκαυσιν. γευσάμενον δὲ τῆς κνίσσης ἐπιθυμῆσαι καὶ
» μὴ ἀποσχέσθαι, ἀλλὰ καὶ τῇ γυναικὶ μεταδοῦναι: γνόντα δὲ τοῦτο τὸν Πυγμαλίωνα, αὐ-
» τόν τε καὶ τὴν γυναῖκα κατὰ κρημνῶν ἀφεῖναι. ἑτέρῳ δὲ τὴν ἱερωσύνην παραδοῦναι:
» ὃς οὐ πολλοῦ χρόνου διαλείποντος, τὴν μὲν αὐτὴν θυσίαν ἔτυχε ποιούμενος. ὅστις δὲ
» τῶν αὐτῶν κρεῶν ἔφαγεν ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς περιέπιπτεν. περὶ πλέον δὲ τοῦ
» πράγματος προβαίνοντος. καὶ τῶν ἀνθρώπων τῇ θυσίᾳ χρωμένων, καὶ διὰ τὴν ἐπιθυμί-
» αν οὐκ ἀπεχομένων, ἀλλὰ τῆς σαρκὸς ἁπτομένων, οὐκ ἀποστῆναι τοῦ κολάζειν. Τὸ μέντοι
τῶν ἰχθύων ἀπέχεσθαι, ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμενε: λέγει γάρ.
» Παράδειγμα τοὺς Σύρους λάβε, ὅταν φάγωσιν ἰχθὺν ἐκεῖνοι διά τινα αὐτῶν ἀκρασίαν τοὺς
» πόδας καὶ τὴν γαστέρα οἰδοῦσιν, εἶτ' ἔλαβον σακκίον. εἶτ' εἰς τὴν ὁδὸν ἐκάθησαν αὐτοὶ
» ἐπὶ κόπρου καὶ τὴν θεὸν ἐξιλάσαντο τῷ ταπεινῶσαι σφόδρα.
Παρά γε μὴν τοῖς Πέρσαις, οἱ περὶ τὸ θεῖον σοφοί, καὶ τούτου θεράποντες, Μάγοι μὲν προσαγορεύονται: τοῦτο γὰρ δηλοῖ κατὰ τὴν ἐπιχώριον διάλεκτον ὁ Μάγος. οὕτω δὲ μέγα καὶ σεβάσμιον γένος τοῦτο παρὰ Πέρσαις νενόμισται, ὥστε καὶ Δαρεῖον τὸν Ὑστάσπου ἐπιγράψαι τῷ μνήματι πρὸς τοῖς ἄλλοις, ὅτι καὶ μαγικῶν γένοιτο διδάσκαλος. Διῄρηντο δὲ οὗτοι εἰς γένη τρία, ὥς φησι Εὔβουλος, ὅσπερ τὴν τοῦ Μίθρα ἱστορίαν ἐν πολλοῖς βιβλίοις ἀναγράψας. ὧν οἱ πρῶτοι καὶ λογιώτατοι, οὔτ' ἐσθίουσιν ἔμψυχον, οὔτε φονεύουσιν: ἐμμένουσι δὲ τῇ παλαιᾷ τῶν ζώων ἀποχῇ. οἱ δὲ δεύτεροι, χρῶνται μὲν: οὐ μέντοι τῶν ἡμέρων ζώων τι κτείνουσιν. οὐδ' οἱ τρίτοι ὁμοίως τοῖς ἄλλοις ἐφάπτονται πάντων: καὶ γὰρ δόγμα πάντων ἐστὶ τῶν πρώτων, τὴν μετεμψύχωσιν εἶναι, ὃ καὶ ἐμφαίνειν ἐοίκασιν ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις: τὴν γὰρ κοινότητα ἡμῶν τὴν πρὸς τὰ ζῶα αἰνιττόμενοι, διὰ τῶν ζώων ἡμᾶς μηνύειν εἰώθασιν. ὡς τοὺς μὲν μετέχοντας τῶν αὐτῶν ὀργίων μύστας, λέοντας καλεῖν: τὰς δὲ γυναῖκας, ὑαίνας: τοὺς δὲ ὑπηρετοῦντας, κόρακας. ἐπί τε τῶν πα-

τρῶν· ἀετοὶ γὰρ καὶ ἱέρακες οὗτοι προσαγορεύονται· ὅ τε τὰ λεοντικὰ παραλαμβάνων, περιτίθεται παντοδαπὰς ζώων μορφάς· ὧν τὴν αἰτίαν ἀποδιδοὺς Πάλλας, ἐν τοῖς περὶ τοῦ Μίθρα, τὴν κοινὴν φησὶ φορὰν οἴεσθαι, ὡς πρὸς τὴν τοῦ ζωδιακοῦ κύκλου ἀποτείνειν· τὴν δὲ ἀληθινὴν ὑπόληψιν καὶ ἀκριβῆ περὶ τῶν ἀνθρωπίνων ψυχῶν αἰνίττεσθαι, ἃς παντοδαποῖς περιέχεσθαι σώμασι λέγουσι. καὶ γὰρ Λατίνων τινὰς τῇ σφῶν διαλέκτῳ ἄπρους, καὶ σκώρπους. λασούρεις τε καὶ μορμούλοις καλεῖν. καὶ θεοὺς δὲ τούτους δημιουργοὺς, οὕτω προσηγόρευσαν. τὴν μὲν Ἄρτεμιν λύκαιναν. τὸν δὲ Ἥλιον, σαῦρον, λέοντα, δράκοντα, ἱέρακα. τὴν δ' Ἑκάτην, ἵππον, ταῦρον, λέαιναν. κύνα. τῆς δὲ Φερεφάττης, παρὰ τὸ φέρβειν τὴν φάτταν, φασὶν οἱ πολλοὶ τοὔνομα τῶν θεολόγων. ἱερὸν γὰρ αὐτῆς ἡ φάττα. διὸ καὶ αἱ τῆς Μαίας ἱέρειαι, ταύτην αὐτῇ ἀνατιθέασι· Μαῖα δὲ ἡ αὐτὴ τῇ Φερσεφόνῃ, ὡς ἂν μαῖα καὶ τροφὸς οὖσα· χθονία γὰρ ἡ θεὸς καὶ Δημήτηρ ἡ αὐτή. καὶ τὸν ἀλεκτρυόνα δὲ, ταύτῃ ἀφιέρωσαν. διὸ καὶ ἀπέχονται οἱ ταύτης μύσται, ὀρνίθων οἰκιδίων· παραγγέλλεται γὰρ καὶ Ἐλευσῖνι ἀπέχεσθαι καὶ κατοικιδίων ὀρνίθων καὶ ἰχθύων καὶ κυάμων· ῥοιᾶς τε καὶ μήλων καὶ ἐπίσης μεμίανται οὐ λέχους ἅψασθαι ὡς τὸ θνησειδίων. ὅστις δὲ φασμάτων φύσιν ἱστόρησεν, οἶδεν καθ' ὃν λόγον ἀπέχεσθαι χρὴ πάντων ὀρνίθων· καὶ μάλιστα, ὅταν σπεύδῃ τις ἐκ τῶν χθονίων ἀπαλλαγῆναι, καὶ πρὸς τοῖς οὐρανίοις θεοὺς ἱδρυνθῆναι. ἀλλ' ἡ κακία, ὅπερ πολλάκις φαμὲν, ἱκανὴ συναγορεῦσαι ἑαυτῇ καὶ μάλιστα, ὅταν ἐν οὐκ εἰδόσι ποιῆται τοὺς λόγους. δὴ γὰρ ὄντως οἱ μέτριοι τῶν κακῶν, ματαιολογίαν ἡγοῦνται τὴν τοιαύτην παραίτησιν. καὶ τὸ δὴ λεγόμε-
10 νον, γραῶν ὕθλον. οἱ δὲ, δεισιδαιμονίαν· οἱ δ' ἐπίδοσιν ἐν τῇ σφῶν πονηρίᾳ πεποιημένοι, ἕτοιμοι οὐ μόνον βλασφημεῖν κατὰ τῶν ταῦτα παραινούντων τε καὶ ἀποδεικνύντων, ἀλλ' ἤδη καὶ ἁγνὸν εἰς γοητείαν καὶ τῦφον, διαβάλλειν. ἀλλ' οὗτοι μὲν δίκας καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις, ὧν ἁμαρτάνουσιν ἐκτίνοντες, αὐτοὶ πρῶτον τῇ τοιαύτῃ διαθέσει ἱκανὴν τιμωρίαν διδόασιν. ἡμεῖς δ' ἔτι τῶν ἀλλοφύλων ἐθνῶν ἑνὸς μνημονεύσαντες, ἐνδόξου γε καὶ δικαίου· περί τε τὰ θεῖα πεπιστευμένου εὐσεβοῦς, ἐπ' ἄλλα μεταβησόμεθα. Ἰνδῶν γὰρ τῆς πολιτείας εἰς πολλὰ νενεμημένης, ἔστι τι γένος παρ' αὐτοῖς τὸ τῶν θεοσόφων· οὓς γυμνοσοφιστὰς καλεῖν εἰώθασιν Ἕλληνες. τούτων δὲ, δύο αἱρέσεις. ὧν τῆς μὲν, Βραχμᾶνες προΐστανται· τῆς δὲ, Σαμαναῖοι. ἀλλ' οἱ μὲν Βραχμᾶνες, ἐκ γένους διαδέχονται, ὥσπερ ἱερατείαν, τὴν τοιαύτην θεοσοφίαν· Σαμαναῖοι δὲ, λογάδες εἰσὶν, κἀκ τῶν βουληθέντων θεοσοφεῖν συμπληρούμενοι. ἔχει δὲ τὰ κατ' αὐτοὺς τοῦτον τὸν τρόπον, ὡς Βαρδησάνης, ἀνὴρ Βαβυλώνιος, ἐπὶ τῶν πατέρων ἡμῶν γεγονὼς, καὶ ἐντυχὼν τοῖς περὶ Δάνδαμιν πεπεμμένοις Ἰνδοῖς πρὸς τὸν Καίσαρα, ἀνέγραψεν· πάντες γὰρ Βραχμᾶνες ἑνὸς εἰσὶ γένους· ἐξ ἑνὸς γὰρ πατρὸς, καὶ μιᾶς μητρὸς πάντες κατάγονται. Σαμαναῖοι δὲ, οὐκ εἰσὶ τοῦ γένους αὐτῶν. ἀλλ' ἐκ παντὸς τοῦ τῶν Ἰνδῶν ἔθνους ὡς ἔφαμεν, συνειλεγμένοι· οὔτε δὲ βασιλεύεται Βραχμὰν, οὔτε συντελεῖ τι τοῖς ἄλλοις. τούτων δὲ οἱ φιλόσοφοι. οἱ μὲν, ἐν ὄρει οἰκοῦσιν. οἱ δὲ, περὶ Γάγγην ποταμόν. σιτοῦνται δὲ οἱ μὲν ὄρειοι, τήν τε ὀπώραν καὶ γάλα βόειον, βοτάναις πηχθέν. οἱ δὲ περὶ τὸν Γάγγην, ἐκ τῆς ὀπώρας· ἣ πολλὴ περὶ τὸν ποταμὸν γεννᾶται. φέρει δὲ ἡ γῆ σχεδὸν καρπὸν ἀεὶ νέον καὶ μέντοι καὶ τὴν ὄρυζαν πολλήν τε καὶ αὐτόματον. ᾗ χρῶνται ὅταν τὸ τῆς ὀπώρας ἐπιλείπῃ. τὸ δ' ἄλλου τινὸς ἅψασθαι, ἢ ὅλως θιγεῖν ἐμψύχου τροφῆς, ἴσον καὶ τῇ ἐσχάτῃ ἀκαθαρσίᾳ τε καὶ ἀσεβείᾳ νενόμισται. καὶ τοῦτο αὐτοῖς τὸ δόγμα. θρησκεύουσί τε τὸ θεῖον. καὶ εὐσεβοῦσι περὶ αὐτὸ, καθορῶνται. τὸν τοίνυν χρόνον τῆς ἡμέρας, καὶ τῆς νυκτὸς τὸν πλεῖστον, εἰς ὕμνους τῶν θεῶν ἀπένειμαν καὶ εὐχὰς, ἑκάστου ἰδίαν καλύβην ἔχοντος καὶ ὡς ἐνὶ μάλιστα, ἰδιάζοντος· κοινῇ γὰρ Βραχμᾶνες μένειν οὐκ ἀνέχονται· οὐδὲ πολλὰ διαλέγεσθαι· ἀλλ' ὅταν τοῦτο συμβῇ, ἀναχωρήσαντες, ἐπὶ πολλὰς ἡμέρας οὐ φθέγγονται· πολλάκις δὲ καὶ νηστεύουσιν. Σαμαναῖοι δὲ, εἰσὶ μὲν ὡς ἔφαμεν, λογάδες. ὅταν δὲ μέλλῃ εἰς τὸ τάγμα τις ἐγγράφεσθαι ἄρχεσθαι, πρόσεισι τοῖς ἄρχουσι τῆς πόλεως. ὅπου δ' ἂν τύχῃ τῆς πόλεως ἢ τῆς κώμης καὶ τῶν κτημάτων ἐξίσταται πάσης τῆς ἄλλης οὐσίας. ξυράμενος δὲ τοῦ σώματος τὰ περιττὰ, λαμβάνει στολὴν, ἄπεισί τε πρὸς Σαμαναίους,

οὔτε πρὸς γυναῖκα, οὔτε πρὸς τέκνα, εἰ τύχοι κεκτημένος, ἐπιστροφὴν, ἤ τινα λόγον ἔτι ποιούμενος ἢ πρὸς αὐτὸν ὅλως νομίζων. καὶ τῶν μὲν τέκνων, ὁ βασιλεὺς κήδεται, ὅπως ἔχωσι τὰ ἀναγκαῖα: τῆς δὲ γυναικὸς οἱ οἰκεῖοι. ὁ δὲ βίος τοῖς Σαμαναίοις, ἐστὶ τοιοῦτος. ἔξω τῆς πόλεως διατρίβουσι διημερεύοντες ἐν τοῖς περὶ τοῦ θείου λόγοις. ἔχουσι δὲ οἴκους καὶ τεμένη ὑπὸ τοῦ βασιλέως οἰκοδομηθέντα. ἐν οἷς οἰκονόμοι εἰσὶν, ἀπότακτόν τι λαμβάνοντες παρὰ τοῦ βασιλέως εἰς τροφὴν τῶν συνιόντων. ἡ δὲ παρασκευὴ γίνεται ὀρύζης καὶ ἄρτων καὶ ὀπώρας καὶ λαχάνων. καὶ εἰσελθόντων εἰς τὸν οἶκον ὑποσημαίνοντι κώδωνι, οἱ μὴ Σαμαναῖοι ἐξίασιν: οἱ δὲ προσεύχονται. εὐξαμένων δὲ πάλιν διακωδωνίζειν καὶ οἱ ὑπηρέται ἑκάστῳ τρύβλιον διδόντες: δύο γὰρ ἐκ ταυτοῦ οὐκ ἐσθίουσιν, τρέφοντες αὐτοὺς τῇ ὀρύζῃ: τῷ δὲ δεομένῳ ποικιλίας, προσετίθεται τὸ λάχανον ἢ τῆς ὀπώρας τι. τραφέντες δὲ συντόμως ἐπὶ τὰς αὐτὰς διατριβὰς ἐξίασιν. ἄγυνοι δ' εἰσὶ πάντες καὶ ἀκτήμονες καὶ τοσοῦτον αὐτῶν τε καὶ τῶν Βραχμάνων σέβας ἔχουσιν οἱ ἄλλοι, ὥστε καὶ τὸν βασιλέα ἀφικνεῖσθαι παρ' αὐτοὺς, καὶ ἱκετεύειν εὔξασθαί τι καὶ δεηθῆναι ὑπὲρ τῶν καταλαμβανόντων τὴν χώραν, ἢ συμβουλεῦσαι τὸ πρακτέον. αὐτοὶ δὲ οὕτως πρὸς θάνατον διάκεινται, ὡς τὸν μὲν τοῦ ζῆν χρόνον, ὥσπερ ἀναγκαίαν τινὰ τῇ φύσει λειτουργίαν ἀκουσίως ὑπομένειν. σπεύδειν δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων. καὶ πολλάκις, ὅταν εὖ ἔχειν σκέψωνται, μηδενὸς αὐτοὺς ἐπείγοντος κακοῦ, μηδὲ ἐξελαύνοντος, ἐξίασι τοῦ βίου. προειπόντες μέντοι τοῖς ἄλλοις καὶ ἔστιν οὐδεὶς ὁ κωλύσων. ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες πρὸς τοὺς οἰκείους τῶν τεθνηκότων ἐπισκήπτουσί τινα. οὕτως βεβαίαν καὶ ἀληθεστάτην, αὐτοί τε καὶ οἱ πολλοὶ, ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. οἱ δ' ἐπειδὰν ὑπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες, ὅπως δὴ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχὴν, ὑμνούμενοι τελευτῶσιν: ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι ἀποπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστοι, τοὺς πολίτας εἰς μηκίστας ἀποδημίας. καὶ σφᾶς μὲν αὐτοὺς, δακρύουσιν, ἐν τῷ ζῆν διαμένοντας: ἐκείνους δὲ, μακαρίζουσι, τὴν ἀθάνατον λῆξιν ἀπολαμβάνοντας: καὶ οὐδεὶς οὔτε παρὰ τούτοις, οὔτε παρὰ τοῖς ἄλλοις τοῖς εἰρημένοις, σοφιστὴς προελθὼν, οἷ-
20 ον βροτοὶ νῦν παρ' Ἕλλησιν, ἀπορεῖν ἔδοξε λέγων: ἐὰν ὑμᾶς πάντες μιμήσωνται, τί ἡμῖν ἔσται: οὔτε δὴ τούτους συγκεχύσθαι τὰ τῶν ἀνθρώπων: οὔτε γὰρ ἐμιμήσαντο πάντες, οἵτε μιμούμενοι εὐνομίας μᾶλλον, οὐ συγχύσεως τοῖς ἔθνεσι γεγόνασιν αἴτιοι. καὶ μὴν οὐδὲ ὁ νόμος τούτους ἠνάγκασεν, ἀλλὰ τοῖς ἄλλοις ἐπιτρέψας σιτεῖσθαι κρέασι, τούτους αὐτονόμους εἴασε. καὶ ἐσέφθη ὡς αὐτοῦ κρείττονας. οὐ μὴν ὡς ἀδικίας κατάρχοντας, ὑπάγαγε τῇ παρ' αὐτοῦ δίκῃ, ἀλλὰ τοὺς ἑτέρους. πρὸς μέντοι τοὺς ἐρωτῶντας, τί ἔσται, μιμησαμένων πάντων τοὺς τοιούτους, ἐπιτέον τὸ τοῦ Πυθαγόρου: καὶ γὰρ βασιλέων πάντων γινομένων, δυσδιέξακτος ὁ βίος φησὶν ἔσται, καὶ οὐ δήπου φευκτέον τὸ τῆς βασιλείας. καὶ σπουδαίων ἁπάντων, οὐκ ἔστιν εὑρεῖν πολιτείας διέξοδον τηροῦντας τὴν ἀξίαν τῇ σπουδαιότητι. καὶ οὐ δήπου τοσοῦτον αὐτις μανεὶς, ὡς μὴ πᾶσιν ἐπιβάλλειν ἡγεῖσθαι σπουδαίοις εἶναι προθυμεῖσθαι. πολλὰ μέντοι καὶ ἄλλα ὁ νόμος τῷ μὲν χυδαίῳ, συνεχώρησεν: οὐχ ἔτι δὲ φιλοσόφῳ, ἀλλ' οὐδὲ τῷ καλῶς πολιτευομένῳ ἐπέτρεψεν. οὐδὲ γὰρ ἐκ πάσης τέχνης παραδέξαιτ' ἂν, εἰς τὸ πολίτευμα. καίτοι οὐκ ἐκώλυσε μὲν μετιέναι τὰς τέχνας, οὐδ' ἐκ παντὸς ἐπιτηδεύματος, καὶ ὅμως τοὺς ἐκ τῶν βαναύσων, ἄρχειν ἀπείργει. ὅλως τε ἐν αἷς δικαιοσύνης χρεία, καὶ τῆς ἄλλης ἀρετῆς τῆς προσαιρέσεως, κωλύει. ἐπειδ' οὐδ' ἑταίραις ὁμιλεῖν ἀπαγορεύει τοῖς πολλοῖς, ἀλλὰ καὶ πραττόμενος τὰς ἑταίρας τὸ μίσθωμα, ἐπονείδιστον ἡγεῖται μετρίοις ἀνδράσιν. καὶ αἰσχρὰν τὴν πρὸς ταύτας ὁμιλίαν. τό, τ' ἐν καπηλείοις διαζῆν οὐ κεκώλυκεν ὁ νόμος. καὶ ὅμως ἐπονείδιστον τῷ μετρίῳ. τοιοῦτον οὖν τι καὶ τὸ ἐπὶ τῆς διαίτης φαίνεται. καὶ οὐχ ἥτις τοῖς πολλοῖς συγκεχώρηται, ταύτην αὐτῆς καὶ τοῖς βελτίστοις συγχωρήσειεν. φιλοσοφῶν δὲ ἀνὴρ μάλιστα ἂν τοὺς ἱεροὺς ἑαυτῷ ὑπογράψειε νόμους, οὓς θεοί τε καὶ ἄνθρωποι ἀφώριζον, θεοῖς ἑπόμενοι. οἱ δ' ἱεροὶ πεφήνασι νόμοι κατὰ ἔθνη καὶ κατὰ πόλεις. ἁγνεύειν μὲν, προστάττοντες ἐμψύχων δὲ βρῶσιν, ἀπαγορεύοντες. τοῖς ἱεροῖς ἤδη καὶ εἰς πλῆθος τινῶν κωλύοντες. ἢ δι' εὐσέβειαν ἢ διά τινας βλα-

σας ἐκ τῆς σοφίας. ὥστε ἢ τῶν ἱερέων μιμητέον, ἢ πᾶσι πιστέον τοῖς νομοθέταις· ἑκατέρως τῶν
πάντων ἀφεκτέον, τὸν νόμιμόν τε τελείως καὶ εὐσεβῆ· εἰ γὰρ κατὰ μέρος τινὲς διὰ εὐ-
σέβειάν τινων ἀπέχονται, ὁ πρὸς πάντα εὐσεβὴς, πάντων ἀφέξεται. μικροῦ με παρῆλ-
θε καὶ τὸ Εὐριπίδειον παραθέσθαι, ὃς τοὺς ἐν Κρήτῃ τοῦ Διὸς προφήτας ἀπέχεσθαι φησὶ
» δεῖ τούτων. λέγουσι δ' οἱ κατὰ τὸν χορὸν πρὸς τὸν Μίνω. Φοινικογενοῦς παῖ τῆς Τυρίας
» τέκνον Εὐρώπας καὶ τοῦ μεγάλου Ζανὸς, ἀνάσσων Κρήτης ἑκατονπτολιέθρου. ἥκω ζαθέους
» ναοὺς προλιπὼν. οὓς αὐθιγενὴς τμηθεῖσα δοκὸς, στεγανοὺς παρέχει χάλυβι πελέ-
» κει. καὶ ταυροδέτῳ κραθεῖσ' ἀτρεκεῖς ἁρμοὺς, κυπαρίσσου. ἁγνὸν δὲ βίον τείνομεν· ἐξ οὗ
» Διὸς Ἰδαίου μύστης γενόμην. καὶ νυκτιπόλου Ζαγρέως βροντὰς. τούς τ' ὠμοφάγους δαῖ-
» τας τελέσας μητρί τ' ὀρείᾳ δᾷδας ἀνασχών. καὶ κουρήτων βάκχος ἐκλήθην ὁσιωθείς· πάλ-
» λευκα δ' ἔχων εἵματα, φεύγω γένεσίν τε βροτῶν καὶ νεκροθήκης οὐ χριμπτόμενος· τήν
» τ' ἐμψύχων βρῶσιν ἐδεστῶν πεφύλαγμαι. ἁγνείαν γὰρ ἐτίθεντο οἱ ἱεροὶ, πρὸς τοὐναντίον
ἀμιξίαν· μολυσμὸν δὲ, τὴν μῖξιν. ὅθεν τὴν μὲν τῶν καρπῶν τροφὴν, οὐκ ἐκ νεκρῶν λη-
φθεῖσαν· οὐδὲ οὖσαν ἔμψυχον τῇ φύσει προσφέροντες, τὰ ὑπὸ φύσεως διοικούμενα, μὴ μιαί-
νεσθαι ᾤοντο. τῶν δὲ ζώων, αἰσθητικῶν ὄντων, τὰς σφαγὰς καὶ ἀφαιρέσεις τῶν ψυχῶν,
ὡς πρὸς τοὺς ζῶντας μιασμοὺς, ἡγοῦντο. καὶ πολλῷ μᾶλλον τὸ αἰσθητικὸν γενόμενον σῶμα,
ἀφῃρημένον τῆς αἰσθήσεως. καὶ νεκρὸν μιγνύειν τῇ αἰσθήσει ζῶντος. διὸ ἐν πᾶσιν ἡ ἁγνεία,
ἐν ἀποθέσει μὲν καὶ ἀφέξει τῶν πολλῶν καὶ ἐναντίων, μονώσει δὲ καὶ λήψει τῶν οἰκεί-
ων καὶ προσφυῶν. διὸ καὶ τὰ ἀφροδίσια μιαίνει· σύνοδος γὰρ θήλεος καὶ ἄρρενος. καὶ κρα-
τηθὲν μὲν τὸ σπέρμα ψυχῆς παρέχει μίανσιν, τῇ πρὸς τὸ σῶμα ὁμιλίᾳ· μὴ κρατηθὲν δὲ,
τῇ νεκρώσει τοῦ παραπεσόντος. ὁ δὲ πρὸς ἄρσενας ἀρσένων, καὶ ὅτι εἰς νεκρὸν, καὶ ὅτι πα-
ρὰ φύσιν. καὶ καθάπαξ ἀφροδίσια καὶ ὀνειρώξεις, ὅτι ψυχῆς σώματι μεμιγμένης, καὶ
πρὸς τὴν ἡδονὴν κατασπωμένης· μιαίνει δὲ καὶ τὰ πάθη τῆς ψυχῆς τῇ συμπλοκῇ καὶ τοῦ
ἀλόγου θηλυνομένου τοῦ ἐντὸς ἄρρενος· καὶ γὰρ πᾶς καὶ ὁ μολυσμὸς καὶ ἡ μίανσις δηλοῖ
τὴν μῖξιν τοῦ ἑτερογενοῦς πρὸς ἕτερον καὶ μάλιστα ὅταν δυσέκνιπτον γίνηται. ὅθεν καὶ
ἐπὶ τῶν βαμμάτων, ἃ δὴ διὰ μίξεων συνίσταται, εἴδους ἄλλου ἄλλῳ συμπλεκομένου, μιαίνειν
» φασίν. Ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ. καὶ ἔμπαλιν τὰς μίξεις φθορὰς οἱ
ζωγράφοι λέγουσιν. ἡ δὲ συνήθεια τὸ ἄμικτον καὶ καθαρὸν, ἄφθαρτον καὶ ἀκραιφνὲς καὶ
ἀκέραιον· καὶ γὰρ ὕδωρ γῇ ἀναμιχθὲν, ἔφθαρται. καὶ οὐκ ἔστιν ἀκραιφνές· τὸ δὲ διαῤῥέ-
ον καὶ διαφεῦγον, διακρούεται τὴν προσφερομένην γῆν. ὅταν φησὶν ὁ Ἡσίοδος ἀπὸ κρήνης
» ἔῃ ἀενάου καὶ ἀποῤῥύτου. ἥτ' ἀθόλωτος. καὶ ὑγιεινόν γε τὸ πόμα, ὅτι ἀδιάφθορον καὶ
ἄμικτον. καὶ θήλεια μὴ ἀναδεξαμένη εἰς ἑαυτὴν ἀναθυμίασιν σπέρματος, ἄφθορος λέ-
γεται. ὥστε καὶ φθορὰ καὶ μίανσις ἡ τοῦ ἐναντίου μῖξις. εἰ δὲ πρὸς τὰ ζῷα ἡ νεκρῶν καὶ
ἡ πρὸς αἴσθησιν ζησάντων, εἰς τὰ ζῷα ἔνθεσις καὶ σαρκῶν νεκρῶν εἰς ζώσας, εἰκότως φέρει μό-
λυσμα καὶ τῇ φυσικῇ ἡμῶν μίανσιν, ὥσπερ αὖ καὶ ψυχὴ ὅταν ἐνσωματῶται, μεμόλυν-
ται. Διὸ καὶ ὁ γινόμενος μιαίνει τῇ μίξει τῆς ψυχῆς, τῆς πρὸς τὰ σώματα καὶ ὁ ἀποθα-
νὼν, ὅταν σῶμα καταλείπῃ νεκρὸν ἀλλόφυλον τῷ ζῶντι καὶ ἀλλότριον· μιαίνεται δὲ καὶ
ἡ ψυχὴ ὀργαῖς, ἐπιθυμίαις, πλήθει παθῶν. ὧν συναιτία πως καὶ ἡ δίαιτα. ὡς δὲ ὕδωρ
διὰ πέτρας ἀποῤῥέον, ἀδιάφθορον, ἢ διὰ ἑλῶν ἰόντος, τῷ μὴ πολλὴν ἰλὺν ἀποσπᾶν, οὕτω
καὶ ψυχὴ διὰ ξηροῦ σώματος καὶ μὴ χυμοῖς ἀλλοτρίων σαρκῶν ἀρδομένου τὰ ἑαυτῆς
διοικοῦσα, κρείττων καὶ ἀδιάφθορος καὶ πρὸς σύνεσιν ἑτοιμοτέρα. ἐπεὶ καὶ ταῖς μελίτταις
τὸ καλὸν μέλι φασὶ φέρειν τὸ ξηρότατον καὶ δριμύτατον θύμον. μιαίνεται τοίνυν ἡ διά-
νοια· μᾶλλον δὲ ὁ διανοούμενος, ὅταν ἡ φανταστικῇ ἢ δοξαστικῇ ἀναμίγνυται. καὶ ταῖς
τούτων ἐνεργείαις τὰς ταύτης συγκεράννυται. καθαρμὸς δὲ πάντων ὁ τούτων χωρι-
σμός. καὶ ἁγνεία ἡ μόνωσις καὶ τροφὴ τὸ τηροῦν ἕκαστον ἐν τῷ εἶναι. οὕτως γὰρ καὶ λίθου
τροφὴν, τὸ αἴτιον τοῦ συμμένειν εἴποις ἂν καὶ τὸ ἐκτικῶς διαμένειν· καὶ φυτοῦ, τὴν διατηροῦ-
σαν ἐν τῷ αὔξειν ἢ καρπογονεῖν· καὶ ζώου σώματος, τὴν τηροῦσαν αὐτοῦ τὴν σύστασιν. ἄλ-
λο δ' ἦν, τρέφειν· ἄλλο, πιαίνειν. καὶ ἄλλο, τὸ ἀναγκαῖον διδόναι. ἄλλο, τὸ τρυφὰς πορίζειν. διά-
φοροι τοίνυν αἱ τροφαὶ καὶ τὸ διάφορον τῶν τρεφομένων. καὶ δεῖ πάντα μὲν τρέφειν· πιαί-

αὔξειν δὲ πιαίνειν τὰ ἐν ἡμῖν κυριώτατα. καὶ ψυχῆς οὖν λογικῆς τροφὴ ἡ περὶ τὸ λογικήν. νοῦς δὲ αὐτή. ὥστε νῷ θρεπτέον καὶ σπουδαστέον πιαίνειν ἀπὸ τούτου ἢ ἀπὸ τῶν βρωτῶν τὴν σάρκα· ὁ μὲν γὰρ τὴν αἰωνίαν ἡμῖν ζωὴν συνέχει· τὸ δὲ σῶμα πιαινόμενον, λιμώττειν τὴν ψυχὴν ποιεῖ ἀπὸ τῆς μακαρίας ζωῆς καὶ τὸ θνητὸν αὔξει παραιρεῖν καὶ ἐμποδίζον πρὸς τὸν ἀθάνατον βίον. μιαίνει τε ἐν σώματι οὖν τὴν ψυχήν. καὶ κατασπᾷ πρὸς τὸ ἀλλότριον. ὁ δὲ Μάγνης λίθος σιδήρῳ ψυχὴν δίδωσι, πλησίον γινομένῳ καὶ ὁ βαρύτατος ἀνακουφίζεται σίδηρος, ἐνδύματι προσανατρέχων λίθου. πρὸς θεὸν δέ τις ἀναρτηθεὶς, ἀσώματόν τε καὶ νοερὸν, τροφὴν πολυπραγμονήσει τὴν πιαίνουσαν τὸ ἐμπόδιον πρὸς νοεῖν, σῶμα, οὐχὶ δὲ εἰς ὀλίγον καὶ εὐπόριστον συστείλας τῆς σαρκὸς τὸ ἀναγκαῖον αὐτὸς θρέψεται προσπεφυκὼς τῷ θεῷ μᾶλλον ἢ σίδηρος τῷ μάγνητι. εἰ γὰρ καὶ τῆς ἐκ τῶν καρπῶν οἷόν τ' ἦν ἄνευ πραγμάτων τροφῆς ἀποστῆναι. εἰ μὴ τοῦτ' ἦν ἡμῶν τῆς φύ» σεως τὸ φθαρτόν. εἰ γὰρ καθάπερ φησὶν Ὅμηρος, μηδὲ σίτου ἐδεήθημεν, μηδὲ ποτοῦ, ἵν' ὄντως ὦμεν ἀθάνατοι. καλῶς τοῦ ποιητοῦ παραστήσαντος, ὡς οὐ μόνον τοῦ ζῆν, ἀλλὰ καὶ τοῦ ἀποθνήσκειν ἡ τροφὴ ὑπάρχει ἐφόδιον. εἰ οὖν μηδὲ ταύτης ἐδεήθημεν, πόσῳ ἂν ἦμεν μακαριώτεροι, ὅσῳ καὶ ἀθανατώτεροι. νῦν δὲ ἐν θνητῷ ὄντες, ἔτι θνητοτέρους, εἰ χρὴ οὕτως εἰπεῖν, ἀγνοοῦμεν ἑαυτοὺς ποιοῦντες, τῇ τούτου προσθέσει· οἱ πολὺ τὸ ἐνοί» κιον, ὥς φησί που Θεόφραστος, τῷ σώματι διδούσης τῆς ψυχῆς, τῆς ἐν αὐτῷ κατοικήσεως, » ἀλλ' ὅλην ἑαυτὴν προστεθείσης· ὡς εἴθε τὴν μυθευομένην ἄλιμον καὶ ἄδιψον εὔπορον ἦν κεκτῆσθαι, ἵν' αὐτῆς τὸ διαρρέον τοῦ σώματος ἐπισχὼν δι' ὀλίγου, πρὸς τοῖς ἀρίστοις ἦν, πρὸς οἷσπερ ὢν καὶ θεὸς, ἔσῃ θεός. ἀλλὰ ταῦτα μὲν τί αὐτῆς ἀποκλαύσαιτο πρὸς ἀνθρώπους τοσοῦτον ἐσκοτωμένους, ὡς τὸ ἑαυτῶν κακὸν περιέπειν. μισεῖν δὲ πρῶτον μὲν, ἑαυτοὺς καὶ τὸν ὄντως αὐτοὺς τεκόντα· ἔπειτα καὶ τοὺς ἀπομνήσκοντας, καὶ ἐκ τῆς μέθης ἀνανήψαι παρακαλοῦντας. διὸ μήποτε τῶν τοιούτων ἀφεμένους, χρὴ ἤδη τὰ λειπόμενα τῶν ζητημάτων μεταβαίνειν. οἱ γὰρ δὴ πρὸς τὰ ἐκ τῶν ἐθνῶν ἡμῖν παρατεθέντα νόμιμα, ἀντιπαράγοντες Νομάδας, ἢ Τρωγλοδύτας ἢ Ἰχθυοφάγους, ἀγνοοῦσιν ὡς δι' ἀνάγκην, τῆς χώρας ἀκάρπου οὔσης ἐπὶ τοσοῦτον, ὡς μηδὲ βοτάνας φέρειν· θῖνας δὲ μόνον καὶ ψάμμον, ἐπὶ τοσοῦτον περιέστησαν τῆς τροφῆς τὸ ἀναγκαῖον. τεκμήριον δὲ τὸ τῆς ἀνάγκης τὸ μηδὲ τῷ πυρὶ χρῆσθαι δύνασθαι, ἀπορίᾳ καυσίμου ὕλης. ἐπὶ δὲ τῶν πετρῶν ἀφαυαίνειν ἐκ τῆς θινὸς, τοὺς ἰχθῦς. καὶ οὗτοι μὲν δι' ἀνάγκην· τινὰ δὲ τῶν ἐθνῶν ἐξηγρίωται καὶ ἔστι φύσει θηριώδη. ἐξ ὧν οὐ προσήκει τοὺς εὐγνώμονας τῆς ἀνθρωπίνης καταψεύδεσθαι φύσεως. ἐπεὶ οὕτω γε ἀμφισβητήσιμον ἔσται οὐ μόνον τὸ τῆς ζωοφαγίας, ἀλλὰ καὶ τὸ τῆς ἀνθρωποφαγίας καὶ τῆς ἄλλης ἡμερότητος. ἱστοροῦνται γοῦν Μασσαγέται καὶ Δέρβικες ἀθλιωτάτους ἡγεῖσθαι τῶν οἰκείων τοὺς αὐτομάτως τελευτήσαντας. διὸ καὶ φθάσαντες καταθύουσι καὶ ἑστιῶνται τῶν φιλτάτων τοὺς γεγηρακότας. Τιβαρηνοὶ δὲ ζῶντας κατακρημνίζουσι τοὺς ἐγγυτάτω γέροντας. Ὑρκάνιοι δὲ καὶ Κάσπιοι. οἱ μὲν, οἰωνοῖς καὶ κυσὶν παραβάλλουσι ζῶντας· οἱ δὲ, τεθνεῶτας. Σκύθαι δὲ συγκατορύττουσιν ζῶντας καὶ ἐπισφάττουσι ταῖς πυραῖς, οὓς ἠγάπων οἱ τεθνεῶτες μάλιστα. καὶ Βάκτριοι μέντοι κυσὶ παραβάλλουσι ζῶντας τοὺς γεγηρακότας· καὶ τοῦτ' ἐπιχειρήσας καταλῦσαι Στασάνωρ ὁ Ἀλεξάνδρου ὕπαρχος, μικροῦ τὴν ἀρχὴν ἀπέβαλεν. ἀλλ' ὥσπερ οὐ δὴ τούτους τὴν πρὸς τοὺς ἀνθρώπους ἡμερότητα κατελύσαμεν, οὕτως οὐδὲ τὰ δι' ἀνάγκην ξηροφαγοῦντα ἔθνη μιμησόμεθα· τὰ δὲ εὐσεβῆ καὶ θεοῖς μᾶλλον ἀνακείμενα· τὸ γὰρ κακῶς ζῆν καὶ μὴ φρονίμως καὶ σωφρόνως καὶ ὁσίως Δημοκράτης ἔλεγεν οὐ κακῶς ζῆν εἶναι, ἀλλὰ πολὺν χρόνον ἀποθνήσκειν. Λοιπὸν δὲ καὶ κατὰ ἄνδρα ὀλίγας μαρτυρίας τῆς ἀποχῆς παραφέρωμεν· ἓν γὰρ καὶ τοῦτ' ἦν τῶν ἐγκλημάτων. Τῶν τοίνυν Ἀθήνησι νομοθετῶν, Τριπτόλεμον παλαιότατον παρει» λήφαμεν. περὶ οὗ Ἕρμιππος ἐν δευτέρῳ περὶ τῶν νομοθετῶν γράφει ταῦτα. Φασὶ δὲ καὶ » Τριπτόλεμον Ἀθηναίοις νομοθετῆσαι. καὶ τῶν νόμων αὐτοῦ, τρεῖς ἔτι Ξενοκράτης ὁ φιλό» σοφος λέγει διαμένειν Ἐλευσῖνι τούσδε. Γονεῖς τιμᾶν. Θεοὺς καρποῖς ἀγάλλειν. Ζῷα μὴ » σίνεσθαι. τοὺς μὲν οὖν δύο, καλῶς παραδοθῆναι· δεῖν γὰρ τοὺς μὲν γονεῖς, εὐεργέτας ἡμῶν γε» γενημένους, ἀντευποιεῖν ἐφ' ὅσον ἐνδέχεται· τοῖς θεοῖς δὲ, ἀφ' ὧν ἔδωκαν ἡμῖν ὠφελίμων

εἰς τὸν βίον, ἀπαρχὰς ποιεῖσθαι. περὶ δὲ τοῦ τρίτου διαπορεῖ τί ποτε διανοηθεὶς ὁ Τριπτόλεμος παρήγγειλεν ἀπέχεσθαι τῶν ζώων. πότερον γάρ φησιν, ὅλως οἰόμενος εἶναι δεινὸν τὸ ὁμογενὲς κτείνειν, ἢ συνιδὼν, ὅτι συνέβαινεν ὑπὸ τῶν ἀνθρώπων τὰ χρησιμώτατα τῶν ζώων εἰς τροφὴν ἀναιρεῖσθαι. βουλόμενον οὖν, ἥμερον ποιῆσαι τὸν βίον πειραθῆναι καὶ τὰ συνανθρωπεύοντα καὶ μάλιστα τῶν ζώων ἥμερα, διασώζειν. εἰ μὴ ἄρα δὴ τὸ προστάξαι τοῖς καρποῖς τοὺς θεοὺς τιμᾶν, ὑπολαβὼν μᾶλλον ἂν διαμένειν τὴν τιμὴν ταύτην, εἰ μὴ γίγνοιντο τοῖς θεοῖς διὰ τῶν ζώων θυσίαι. πολλὰς δὲ αἰτίας τοῦ Ξενοκράτους καὶ ἄλλας οὐ πάνυ ἀκριβεῖς ἀποδιδόντος, ἡμῖν αὐταρκὲς τοσοῦτον ἐκ τῶν εἰρημένων. ὅτι τοῦτο νενομοθέτητο ἐκ τοῦ Τριπτολέμου. ὅθεν ὕστερον παρανομούντων, ὅτι ἥψαντο τῶν ζώων μετὰ πολλῆς ἀνάγκης καὶ ἁμαρτημάτων ἀκουσίων, ὥσπερ ἐπεδείξαμεν, ἐπὶ τοῦτο πεπλώκασιν. ἐπεὶ καὶ Δράκοντος νόμος μνημονεύεται τοιοῦτος.

» Θεσμὸς αἰώνιος τοῖς Ἀτθίδα νεμομένοις, κύριος τὸν ἅπαντα χρό-
» νον. Θεοὺς τιμᾶν καὶ ἥρωας ἐγχωρίους ἐν κοινῷ, ἑπομένοις
» νόμοις πατρίοις ἰδίᾳ κατὰ δύναμιν, σὺν εὐφημίᾳ
» καὶ ἀπαρχαῖς καρπῶν πελανοῖς ἐπετείοις.

Τοῦ νόμου ἀπαρχαῖς καρπῶν, οἷς χρῆται ὁ ἄνθρωπος, τιμᾶν τὸ θεῖον προστάττοντος καὶ πελανοῖς.

ΤΕΛΟΣ.

IC

ΠΟΡΦΥΡΙΟΥ ΤΩΝ ΠΡΟΣ ΤΑ ΝΟΗΤΑ ΑΦΟΡΜΩΝ.

α΄. Πᾶν σῶμα, ἐν τόπῳ· οὐδὲν δὲ τῶν καθ' ἑαυτὰ ἀσωμάτων ἢ τι τοιοῦτον, ἐν τόπῳ.

β΄. Τὰ καθ' ἑαυτὰ ἀσώματα, αὐτῷ ᾧ κρείττω παντός ἐστι σώματος καὶ τόπου, πανταχῆ ἐστιν· οὐ διαστατῶς, ἀλλ' ἀμερῶς.

γ΄. Τὰ καθ' ἑαυτὰ ἀσώματα, οὐ τοπικῶς παρόντα τοῖς σώμασι, πάρεστιν αὐτοῖς, ὅτ' ἂν βούλωνται, πρὸς αὐτὰ ῥέψαντα ᾗ καὶ πέφυκε ῥέπειν, ἀλλὰ τοπικῶς αὐτοῖς οὐ παρόντα, τῇ σχέσει πάρεστιν αὐτοῖς.

δ΄. Τὰ καθ' ἑαυτὰ ἀσώματα, ὑποστάσει μὲν καὶ οὐσίᾳ οὐ πάρεστιν· οὐ γὰρ συγκιρνᾶται τοῖς σώμασι· τῇ δὲ ἐκ τῆς ῥοπῆς ὑποστάσει τινὸς δυνάμεως μεταδίδωσι προσεχοῦς τοῖς σώμασιν· ἡ γὰρ ῥοπὴ δευτέραν τινὰ δύναμιν ὑπέστησε, προσεχῆ τοῖς σώμασιν.

ε΄. Ἡ μὲν ψυχὴ τῆς ἀμερίστου καὶ περὶ τὰ σώματα μεριστῆς οὐσίας, μέσον τι ἐστί. ὁ δὲ νοῦς ἀμέριστος οὐσία μόνον· αἱ δὲ ποιότητες καὶ τὰ ἔνυλα εἴδη, κατὰ τὰ σώματα μεριστά.

ς΄. Οὐ πᾶν τὸ ποιοῦν εἰς ἄλλο, πελάσει καὶ ἁφῇ ποιεῖ ἃ ποιεῖ· ἀλλὰ καὶ τὰ πελάσει καὶ ἁφῇ τι ποιοῦντα, κατὰ συμβεβηκὸς τῇ πελάσει χρῆται.

ζ΄. Ψυχὴ καταδεῖται πρὸς τὸ σῶμα τῇ ἐπιστροφῇ τῇ πρὸς τὰ πάθη, τὰ ἀπ' αὐτοῦ. καὶ λύεται δὲ πάλιν διὰ τῆς ἀπ' αὐτοῦ ἀπαθείας.

η΄. Ὃ ἔδησεν ἡ φύσις, τοῦτο καὶ φύσις λύει, καὶ ὃ ἔδησεν ἡ ψυχή, τοῦτο αὐτὴ λύει· ἔδησε μὲν ἡ φύσις σῶμα ἐν ψυχῇ. ψυχὴ δὲ ἑαυτὴν ἐν σώματι. φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς· ψυχὴ δὲ ἑαυτὴν λύει ἐκ τοῦ σώματος.

θ΄. Οὐχ ὁμοίως μὲν νοοῦμεν ἐν πᾶσιν, ἀλλ' οἰκείως ἑκάστου οὐσίᾳ· ἐν νῷ μὲν γὰρ, νοερῶς· ἐν ψυχῇ δὲ, λογικῶς· ἐν δὲ τοῖς φυτοῖς, σπερματικῶς· ἐν δὲ σώμασιν, εἰδωλικῶς· ἐν δὲ τῷ ἐπέκεινα, ἀνεννοήτως τε καὶ ὑπερουσίως.

ι΄. Αἱ ἀσώματοι ὑποστάσεις ὑποβαίνουσαι καὶ, μερίζονται καὶ πληθύνονται εἰς τὰ κατὰ ἄτομον ὑφέσει δυνάμεως. ὑπερβαίνουσαι δὲ, ἑνίζονται καὶ εἰς τὸ ὁμοῦ ἀντιχωροῦσι δυνάμεως περιουσίᾳ.

ια΄. Οὐ μόνον ἐν τοῖς σώμασι τὸ ὁμώνυμον, ἀλλὰ καὶ ἡ ζωὴ τῶν πολλαχῶς. ἄλλη γὰρ ζωὴ, φυτοῦ καὶ ἄλλη, ἐμψύχου· ἄλλη, νοεροῦ· ἄλλη, φύσεως τῆς ἐπέκεινα· ἄλλη ψυχῆς· ἄλλη νοερά· ζῇ γὰρ κἀκεῖνα, εἰ καὶ μηδὲν τῶν παρ' αὐτὸ παραπλησίαν αὐτῷ ζωὴν κέκτηται.

ιβ΄. Πᾶν τὸ γεννῶν τῇ οὐσίᾳ αὐτοῦ, χεῖρον αὐτοῦ γεννᾷ· καὶ πᾶν τὸ γεννηθὲν φύσει πρὸς τὸ γεννῆσαν ἐπιστρέφει. τῶν δὲ γεννώντων τὰ μὲν, οὐδ' ὅλως ἐπιστρέφει πρὸς τὰ γεννηθέντα· τὰ δὲ, καὶ ἐπιστρέφει καὶ οὐκ ἐπιστρέφει. τὰ μὲν μόνον ἐπέστραπται πρὸς τὰ γεννήματα, εἰς ἑαυτὰ μὴ ἐπιστρέφοντα.

ιγ΄. Ἡ μνήμη οὐκ ἔστι φαντασιῶν σωτηρία, ἀλλὰ τῶν μελετηθέντων προβάλλεσθαι ἐκ νέας προβλήματα.

ιδ΄. Ἡ ψυχὴ ἔχει μὲν πάντων τοὺς λόγους· ἐνεργεῖ δὲ κατ' αὐτοὺς ἢ ὑπ' ἄλλου εἰς προχείρισιν ἐκκαλουμένη, ἢ ἑαυτὴν εἰς αὐτοὺς ἐπιστρέφουσα εἰς τὸ εἴσω. καὶ ὑπ' ἄλλου μὲν ἐκ-

καλουμένη ὡς πρὸς τὰ ἔξω τὰς αἰσθήσεις εἰσάγειν δίδωσιν· εἰς δὲ ἑαυτὴν εἰσδῦσα, ὡς ἐν ταῖς νοήσεσι γίνεται. οὔτε οὖν αἰσθήσεις ἔξω φαντασίας· οὔτε αἱ νοήσεις εἶεν ἄν τις ὡς τῷ ζώῳ οὐκ ἄνευ πάθους τῶν αἰσθητικῶν ὀργάνων αἱ αἰσθήσεις. οὕτω καὶ αἱ νοήσεις οὐκ ἄνευ φαντασίας εἰ μὴ τὸ ἀνάλογον. ὡς τύπος παρακολούθημα ζώου αἰσθητικοῦ, οὕτω τὸ φάντασμα ψυχῆς ζώου ἑπόμενον νοήσει.

ιε. Ἡ ψυχή, οὐσία ἀμεγέθης, ἄϋλος, ἄφθαρτος· ἐν ζωῇ παρ' ἑαυτῆς ἐχούσῃ τὸ ζῆν κεκτημένη τὸ εἶναι.

ις. Ἄλλο τὸ πάσχειν τῶν σωμάτων· ἄλλο τῶν ἀσωμάτων· τῶν μὲν γὰρ σωμάτων, σὺν τροπῇ τὸ πάσχειν· τῆς δὲ ψυχῆς αἱ οἰκειώσεις καὶ τὰ πάθη, ἐνέργειαι· οὐδὲν ἐοικυῖαι θερμάνσεσι καὶ ψύξεσι σωμάτων. διὸ εἴπερ τὸ πάσχειν τῶν σωμάτων σὺν τροπῇ, ῥητέον ἀπαθῆ πάντα τὰ ἀσώματα· τὰ μὲν γὰρ ὕλης κεχωρισμένα καὶ τῶν σωμάτων, ἐνεργείᾳ ἦν τὰ αὐτά· τὰ δὲ ὕλῃ πλησιάζοντα καὶ σώμασιν, αὐτὰ μὲν ἀπαθῆ· τὰ δὲ ἐφ' ὧν θεωρεῖται, πάσχει· ὅταν γὰρ ζῷον αἰσθάνηται, ἔοικεν ἡ μὲν ψυχὴ ἁρμονίᾳ χωριστῇ ἐξ ἑαυτῆς· τὰς χορδὰς κινούσῃ ἡρμοσμένας· τῇ δὲ ἐν ταῖς χορδαῖς ἁρμονίᾳ ἀχωρίστῳ τὸ σῶμα. τὸ δ' αἴτιον τοῦ κινῆσαι τὸ ζῷον δὴ τὸ εἶναι ἐναρμόνιον· τὰ δὲ πληγέντα σώματα διὰ πάθος αἰσθητικὸν ταῖς ἡρμοσμέναις χορδαῖς· ἢ γὰρ ἐκεῖ οὐχ ἡ ἁρμονία πέπονθεν ἡ χωριστή, ἀλλ' ἡ χορδή. καὶ κινεῖ μὲν ὁ μουσικὸς κατὰ τὴν ἐν αὐτῷ ἁρμονίαν. οὐ μὴν ἐκινήθη ἂν ἡ χορδὴ μουσικῶς, εἰ καὶ ὁ μουσικὸς ἐβούλετο· μὴ τῆς ἁρμονίας τοῦτο λεγούσης.

ιζ. Ἡ τῶν ἀσωμάτων προσηγορία, οὐ κατὰ κοινότητα εἶδος καὶ ταυτοῦ γένους οὕτω προσηγόρευται καθάπερ τὰ σώματα. κατὰ δὲ ψιλὴν τὴν πρὸς τὰ σώματα στέρησιν. ὅθεν τὰ μὲν αὐτῶν ὄντα· τὰ δὲ οὐκ ὄντα εἶναι οὐ κωλύεται· καὶ τὰ μὲν, πρὸ σωμάτων· τὰ δὲ, μετὰ σωμάτων· καὶ τὰ μὲν, χωριστὰ σωμάτων· τὰ δὲ, ἀχώριστα· καὶ τὰ μὲν, καθ' ἑαυτὰ ὑφεστηκότα· τὰ δέ, ἄλλων εἰς τὸ εἶναι δεόμενα. καὶ τὰ μὲν ἐνεργείαις τὰ αὐτὰ καὶ ζωαῖς αὐτοκινήτοις· τὰ δὲ ταῖς ζωαῖς παρυφιστάμενα ταῖς ποιαῖς ἐνεργείαις· κατὰ γὰρ ἀπόφασιν, ὧν οὐκ ἔστιν· οὐ κατὰ παράστασιν, ὧν ἐστι, προσηγόρευται.

ιη. Τῆς ὕλης τὰ ἴδια κατὰ τοὺς ἀρχαίους τάδε. ἀσώματος· ἑτέρα γὰρ σωμάτων. ἄζωος· οὔτε γὰρ νοῦς, οὔτε ψυχή, οὐ ζῶν καθ' ἑαυτό. ἀνείδεος. ἀλλοῖος. ἄπειρος. ἀδύναμος. διὸ οὐδὲ ὄν, ἀλλ' ἀληθινὸν μὴ ὄν, εἴδωλον καὶ φάντασμα ὄγκου. ὅτι τὸ πρώτως ἐν ὄγκῳ τὸ ἀδύναμον καὶ ἔφεσις ὑποστάσεως. καὶ ἑστὼς οὐκ ἐν στάσει. καὶ τὸ ἀεὶ ἐφ' ἑαυτοῦ φανταζόμενον, μικρὸν καὶ μέγα καὶ ἧττον καὶ μᾶλλον, ἐλλεῖπον καὶ ὑπερέχον. ἀεὶ γινόμενον καὶ οὐ μένον, οὐδ' αὖ φεύγειν δυνάμενον. ἔλλειψις παντὸς τοῦ ὄντος. διὸ πᾶν ὃ ἐπαγγέλλεται, ψεύδεται. κἂν μέγα φαντασθῇ, μικρόν ἐστιν· οἷον γὰρ παίγνιόν ἐστι, φεῦγον εἰς τὸ μὴ ὄν. ἡ γὰρ φυγὴ οὐ τόπῳ, ἀλλὰ τῇ ἐκ τοῦ ὄντος ἀπολείψει. ὅθεν καὶ τὰ ἐν αὐτῇ εἴδωλα, ἔστιν ἐν εἰδώλῳ χείρονι, ὥσπερ ἐν κατόπτρῳ τὸ ἀλλαχοῦ ἱδρυμένον, ἀλλαχοῦ φανταζόμενον. καὶ πιμπλάμενον ὡς δοκεῖ καὶ ἔχον οὐδὲν καὶ δοκοῦν.

ιθ. Τὰ πάθη περὶ ἐκεῖνο πάντα, περὶ ὃ καὶ ἡ φθορά· ὁδὸς γάρ ἐστιν εἰς φθορὰν, ἡ παραδοχὴ τοῦ πάθους καὶ τούτου τὸ φθείρεσθαι, οὗ καὶ τὸ πάσχειν ἐστίν. φθείρεται δὲ οὐδὲν ἀσώματον. τινὰ δὲ αὐτῶν ἢ ἔστιν ἢ οὐκ ἔστιν. ὥστε πάσχει οὐδέν· τὸ γὰρ πάσχον οὐ τοιοῦτον εἶναι δεῖ, ἀλλ' οἷον ἀλλοιοῦσθαι καὶ φθείρεσθαι, ταῖς ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων. τῷ γὰρ ἐνόντι ἀλλοίωσις ὑπὸ τοῦ τυχόντος· οὔτε οὖν ἡ ὕλη πάσχει· ἄποιος γὰρ καθ' ἑαυτήν, οὔτε τὰ ἐπ' αὐτῆς εἴδη εἰσιόντα καὶ ἐξιόντα, ἀλλὰ τὸ πάθος περὶ τὸ συναμφότερον καὶ ᾧ τὸ εἶναι ἐν τῷ συναμφοτέρῳ· τοῦτο γὰρ ἐν ταῖς ἐναντίαις δυνάμεσι καὶ ποιότησι τῶν ἐπεισιόντων καὶ τὸ πάσχειν ἐμποιούντων ὑποκείμενον θεωρεῖται. διὸ καὶ ὧν τὸ ζῆν ἔξωθεν, καὶ οὐ παρ' ἑαυτῶν, ταῦτα τὸ ζῆν καὶ τὸ μὴ ζῆν παθεῖν οἷά τε. οἷς δὲ τὸ εἶναι ἐν ζωῇ ἀπαθεῖ, κατὰ ζωὴν μένειν ἀνάγκη. ὥσπερ τῇ ἀζωίᾳ τὸ μὴ παθεῖν καθ' ὅσον ἀζωία. ὡς οὖν τὸ τρέπεσθαι καὶ πάσχειν, ἐν τῷ συνθέτῳ τῷ ἐξ ὕλης τε καὶ εἴδους, ὅπερ ἦν τὸ σῶμα, οὐ μὴν τῇ ὕλῃ ὑπῆρχε προσῆν. οὕτω καὶ

τὸ ζῆν καὶ ἀποθνήσκειν, καὶ πάσχειν κατὰ ταῦτα ἐν συνθέτῳ ἐκ ψυχῆς, καὶ σώματος θεωρεῖται· οὐ μὴν καὶ τῇ ψυχῇ καὶ ταῦτα συμβαίνει, ὅτι οὐκ ἂν εἴη ἐξ ἀζωΐας, καὶ ζωῆς συγκείμενον πρᾶγμα, ἀλλὰ ζωῆς, καὶ μόνον, καὶ τοῦτο ἐν τῷ ἁπλῆν οὐσίαν εἶναι, καὶ λόγον τῆς ψυχῆς αὐτοκίνητον.

κ. Ἡ νοερὰ οὐσία, ὁμοιομερής ἐστιν, ὡς καὶ ἐν τῷ μερικῷ νῷ εἶναι τὰ ὄντα, καὶ ἐν τῷ παντελείῳ, ἀλλ' ἐν μὲν τῷ καθόλου, καὶ τὰ μερικὰ καθολικῶς· ἐν δὲ τῷ μερικῷ, καὶ τὰ καθόλου καὶ μερικὰ μερικῶς.

κα. Τῆς οὐσίας, ἧς ἐν ζωῇ τὸ εἶναι, καὶ ἧς τὰ πάθη ζωαί. ταύτης καὶ ὁ θάνατος ἐν ποιᾷ ζωῇ κεῖται. οὐκ ἐν ζωῆς καθάπαξ στερήσει. ὅτι μὴ δὲ πάθος, ἡ ὁδὸς ἦν πάντη πρὸς τὸ μὴ ζῆν, ἡ ἀζωΐα, ἢ ἐν αὐτῇ.

κβ. Ἐπὶ τῶν ζωῶν τῶν ἀσωμάτων, αἱ πρόοδοι μενόντων τῶν προτέρων ἑδραίων καὶ βεβαίων γίνονται, καὶ οὐ φθειρόντων τι αὐτῶν εἰς τὴν τῶν ὑπ' αὐτὰ ὑπόστασιν· οὐδὲ μεταβαλλόντων. ὥστε οὐδὲ τὰ ὑφιστάμενα μετά τινος φθορᾶς ὑφίσταται, ἢ μεταβολῆς· οὐδὲ ταῦτα οὐδὲ γίνεται, ὡς ἡ φθορᾶς μετέχουσα γένεσις, καὶ μεταβολῆς. ἀγένητα ἄρα καὶ ἄφθαρτα, καὶ ἀγενήτως καὶ ἀφθάρτως γεγονότα κατὰ ταῦτα.

κγ. Περὶ τοῦ ἐπέκεινα νοῦ, κατὰ μὲν νόησιν πολλὰ λέγεται· θεωρεῖται δὲ ἀνοησίᾳ κρείττονι νοήσεως, ὥσπερ ἐπὶ τοῦ καθεύδοντος, διὰ μὲν ἐγρηγόρσεως πολλὰ λέγεται· διὰ δὲ τοῦ καθεύδειν ἡ γνῶσις, καὶ ἡ κατάληψις· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον γινώσκεται, ὅτι πᾶσα γνῶσις, τοῦ γνωστοῦ ὁμοίωσις.

κδ. Μὴ ὂν τὸ μὲν γεννῶμεν, χωρισθέντες τοῦ ὄντος· τὸ δὲ προεννοοῦμεν, ἐχόμενοι τοῦ ὄντος. ὡς εἴγε χωρισθείημεν τοῦ ὄντος, οὐ προεννοοῦμεν τὸ ὑπὲρ τὸ ὂν μὴ ὄν, ἀλλὰ γεννῶμεν ψευδὲς πάθος τὸ μὴ ὄν· συμβεβηκὸς περὶ τὸν ἐκστάντα ἑαυτοῦ. καὶ γὰρ αὐτὸς ἕκαστος ὥσπερ ὄντως καὶ δι' ἑαυτοῦ ἐστὶν ἀναχθῆναι ἐπὶ τὸ ὑπὲρ τὸ μὴ ὂν καὶ παραχθῆναι ἐπὶ τὸ κατάπτωμα τοῦ ὄντος μὴ ὄν.

κε. Οὐδὲν πρὸς τὸ ἀσώματον τὸ καθ' ἑαυτό, ἡ τοῦ σώματος ἐμποδίζει ὑπόστασις πρὸς τὸ μὴ εἶναι ὅπου βούλεται, καὶ ὡς θέλει, ὡς γὰρ τῷ σώματι τὸ ἄογκον, ἄληπτον, καὶ οὐδὲν πρὸς αὐτό· οὕτω τῷ ἀσωμάτῳ τὸ ἔνογκον καὶ ἀνεπιπρόσθητον, καὶ ὡς μὴ ὄν, κεῖται· οὐδὲ τοπικῶς διέρχεται τὸ ἀσώματον ὅπου βούλεται. ὄγκῳ γὰρ συνυφίσταται τόπος, οὐδὲ στενοχωρεῖται σωμάτων ὄντων. τὸ γὰρ ὅπως οὖν ἐν ὄγκῳ στενοχωρεῖσθαι δύναται, καὶ τοπικῶς ποιεῖσθαι τὴν μετάβασιν· τὸ δ' ἄογκον παντελῶς, καὶ ἀμέγεθες ὑπὸ τῶν ἐν ὄγκῳ ἀκράτητον τοπικῆς τε κινήσεως ἄμοιρον· διαθέσει τοίνυν ποιᾷ ἐκεῖ εὑρίσκεται ὅπου καὶ διάκειται, τόπῳ ὂν πανταχοῦ, καὶ οὐδαμοῦ. διὸ ποιᾷ διαθέσει, ἢ ὑπὲρ οὐρανόν, ἢ ἐν μέρει που τοῦ κόσμου κεκράτηται· ὅταν δὲ κρατηθῇ ἔν τινι μέρει τοῦ κόσμου, οὐκ ὀφθαλμοῖς ὁρᾶται· ἀλλ' ἐκ τῶν ἔργων αὐτοῦ φανερὰ ἡ παρουσία αὐτοῦ γίνεται.

κς. Τὸ ἀσώματον ἂν ἐν σώματι κατασχεθῇ, οὐ συγκλεισθῆναι δέει, ὡς ἐν ζωγρείῳ θηρία· συγκλεῖσαι γὰρ αὐτὸ οὐδὲν οὕτω δύναται, καὶ περιλαβεῖν σῶμα. οὐδ' ὡς ἀσκὸς ὑγρόν τι ἔληψεν ἢ πνεῦμα, ἀλλ' αὐτὸ δεῖ ὑποστῆσαι δυνάμεις ῥεπούσας ἀπὸ τῆς πρὸς αὐτὸ ἑνώσεως εἰς τὸ ἔξω. αἷς δὴ κατιόν, συμπλέκεται τῷ σώματι. δι' ἐκτάσεως οὖν ἀρρήτου τῆς ἑαυτοῦ ἡ εἰς σῶμα σύνερξις· διὸ οὐδ' ἄλλο αὐτὸ καταδεῖ, ἀλλ' αὐτὸ ἑαυτό· οὐδὲ λύει τοίνυν θραυσθὲν τὸ σῶμα, καὶ φθαρέν, ἀλλ' αὐτὸ ἑαυτὸ στραφὲν ἐκ τῆς προσπαθείας.

κζ. Τῶν μὲν ὅλων, καὶ τελείων ὑποστάσεων οὐδεμία πρὸς τὸ ἑαυτῆς γέννημα ἐπέστραπται· πᾶσαι δὲ αἱ τέλειαι ὑποστάσεις πρὸς τὰ γεννήσαντά εἰσιν ἀνηγμέναι. ἄχρι καὶ τοῦ κοσμικοῦ σώματος· τέλειον γὰρ ὂν ἀνῆκται πρὸς τὴν ψυχήν, νοερὰν οὖσαν. καὶ κύκλῳ διὰ τοῦτο κινούμενον. ἡ δὲ ψυχὴ αὐτοῦ πρὸς τὸν νοῦν. νοῦς δὲ πρὸς τὸ πρῶτον. διήκει τοίνυν ἅπαντα ταῦτα ἀπὸ τοῦ ἐσχάτου ἀρξάμενον, καθ' ὃ δύναται ἕκαστον ἡ καὶ πρὸς τὸ πρῶτον ἀναγωγή. προσεχῆς μέντοι ἡ πόρρωθεν οὖσα, διὸ ταῦτα οὐκ ἐφίεσθαι μόνον τοῦ θεοῦ λέγοιτ' ἄν, ἀλλὰ καὶ ἀπολαύειν κατὰ δύναμιν· ἐν δὲ ταῖς μερισταῖς ὑποστάσεσι, καὶ πρὸς πολλὰ ῥέπειν δυναμέναις, ἔνεστι καὶ πρὸς τὰ γεννήματα ἐπιστρέφειν. ὅθεν καὶ

ἐν ταύταις ἦν ἡ ἁμαρτία· ἐν ταύταις ἡ λελοιδορημένη ἀπιστία. ταύτας οὖν κακοῖ ἡ ὕλη, τῷ ἐπιστρέφεσθαι ἐπ' αὐτὴν δύνασθαι· δυναμένας ἐστράφθαι καὶ πρὸς τὸ θεῖον. ὥστε ἡ μὲν τελειότης ὑφίστησι τὰ δεύτερα ἀπὸ τῶν προτέρων· τηροῦσα αὐτὰ ἐπεστραμμένα πρὸς τὰ πρῶτα· τὸ δ' ἀτελὲς στρέφει καὶ πρὸς τὰ ὕστερα τὰ πρῶτα καὶ φιλεῖν ταῦτα ποιεῖ τὰ πρὸ αὐτῶν ἀποστραφέντα.

κη'. Ὁ θεὸς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ὁ νοῦς πανταχοῦ, ὅτι οὐδαμοῦ· καὶ ἡ ψυχὴ πανταχοῦ, ὅτι οὐδαμοῦ. ἀλλ' ὁ θεὸς μὲν πανταχοῦ καὶ οὐδαμοῦ τῶν μετ' αὐτὸν πάντων. αὐτοῦ δὲ ἔστι μόνον ὡς ἔστι καὶ ἐθέλει. νοῦς δὲ ἐν θεῷ μὲν, πανταχοῦ δὲ καὶ οὐδαμοῦ τῶν μετ' αὐτόν. καὶ ψυχὴ ἐν νῷ τε καὶ θεῷ πανταχοῦ καὶ οὐδαμοῦ ἐν σώματι· σῶμα δὲ καὶ ἐν ψυχῇ καὶ ἐν νῷ καὶ ἐν θεῷ καὶ ὡς πάντα τὰ ὄντα καὶ μὴ ὄντα ἐκ τοῦ θεοῦ καὶ ἐν θεῷ καὶ οὐκ αὐτὸς τὰ ὄντα καὶ οὐκ ὄντα καὶ ἐν αὐτοῖς. εἰ μὲν γὰρ μόνον ἦν πανταχοῦ, αὐτὸς ἂν ἦν τὰ πάντα καὶ ἐν πᾶσιν. ἐπεὶ δὲ καὶ οὐδαμοῦ, τὰ πάντα γίνεται δι' αὐτοῦ καὶ ἐν αὐτῷ, ὅτι πανταχοῦ ἐκεῖνος. ἕτερα δὲ αὐτοῦ, ὅτι αὐτὸς οὐδαμοῦ. οὕτω καὶ νοῦς πανταχοῦ ὢν καὶ οὐδαμοῦ, αἴτιος ψυχῶν καὶ τῶν μετ' αὐτὰς καὶ οὐκ αὐτὸς ψυχή, οὔτε μετὰ ψυχήν, οὐδὲ ἐν τούτοις. ὅτι οὐκ ἦν μόνον πανταχοῦ τῶν μετ' αὐτόν, ἀλλὰ καὶ οὐδαμοῦ καὶ ἡ ψυχὴ οὐ σῶμα, οὔτε ἐν σώματι, ἀλλ' αἰτία σώματος· ὅτι πανταχοῦ οὖσα τοῦ σώματος, ἔστιν οὐδαμοῦ. καὶ ἔστι γε ἡ πρόοδος τοῦ παντὸς, εἰς τὸ μήτε πανταχοῦ ἅμα· μήτε μηδαμοῦ εἶναι δυνάμενον, ἀλλ' ἀνὰ μέρος ἑκατέρων μετέχον.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ ΜΙΧΑΗΛ ΤΟΥ ΕΦΕΣΙΟΥ.

ὩΣΠΕΡ ἘΝ τοῖς ἠθικοῖς ἐπιγραφομένοις νικομαχείοις, πρότερον προεῖπε ποταπὰς δεῖ ζητεῖν τὰς ἀποδείξεις, τὰς περὶ τὰ καλὰ, καὶ τὰ δίκαια γινομένας. ὁποῖον τὸν περὶ τούτων τι ἀκουσόμενον εἶναι χρὴ, πεπαιδευμένον. κρίνει γάρ φησὶ ἐν ἐκείνοις, ἕκαστος καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής· καθ᾽ ἕκαστον ἄρα ὁ πεπαιδευμένος. ὡς οὖν ἐν ἐκείνοις ταῦτα προειπὼν, οὕτω τὸν περὶ τῶν ἠθῶν λόγον ἐποιήσατο, οὕτω κἀνταῦθα ποιεῖ καὶ ἐκτίθηται τὸν ἀκουσόμενόν τε περὶ τῶν ζώων μορίων, καὶ τῶν αἰτιῶν, δι᾽ ἃς ταῦτα ἔχει τὰ ζῶα, πραγματείας. καὶ φησί. Περὶ πᾶσαν θεωρίαν τιμιωτέραν τε καὶ ταπεινοτέραν δύο ἕξεις εἰσίν· ὧν τὴν μὲν, ἐπιστήμην προσαγορεύομεν, καὶ τὸν ἔχοντα αὐτὴν, ἐπιστήμονα καλοῖμεν· βαιτόσαν τε, παιδείαν, καὶ τὸν ἀπ᾽ αὐτῆς δὲ πεπαιδευμένον· πεπαιδευμένος δὲ λέγεται, οἷον φέρε εἰπεῖν, περὶ γεωμετρίας, οὐχ ὁ ἔχων ἀκριβεστάτην πάντων ἕξιν τῶν γεωμετρικῶν θεωρημάτων· ὁ γὰρ τοιοῦτος κυρίως ἐπιστήμων ὀνομάζεται. ἀλλ᾽ ὁ ἔχων γεωμετρικὰς ἀρχὰς, καὶ τινῶν θεωρημάτων γνῶσιν· καὶ δυνάμενος ἐκ τούτων κρίνειν τὸν διαλεγόμενον, ὡς γεωμέτρην κατὰ τὰς γεωμετρικὰς ἀρχὰς, καὶ ὡς δεῖ γεωμέτρην, διαλέγεσθαι. ὅστις οὖν ἔχει ἀρχὰς γεωμετρικὰς, ἀριθμητικάς τε καὶ ἀστρονομικὰς, καὶ φυσικὰς, καὶ ἁπλῶς ἁπασῶν τεχνῶν τε, καὶ ἐπιστημῶν· καὶ δυνάμενος ἐκ τούτων κρίνειν τόν τε φυσικὸν, εἰ φυσικῶς διαλέγεται· καὶ τὸν μαθηματικὸν, εἰ μαθηματικῶς· καὶ τοὺς ἄλλους ὁμοίως, ὁ δὴ τοιοῦτος ὀνομάζεται ὅλως πεπαιδευμένος ἤγουν περὶ ἅπαντα πεπαιδευμένος. καὶ ἁπάντων ἀρχὰς ἔχων, καὶ πάντων κριτικὸς νομιζόμενος, εἷς ὢν τῷ ἀριθμῷ· οὐ γὰρ πολλοὶ ὁ τοιοῦτος, ἀλλ᾽ εἷς. ὅστις δὲ ἔχει ἀρχὰς μιᾶς τινὸς φύσεως, καὶ ἐπιστήμης, οἷον γεωμετρίας μόνης, οὗτος διάκειται περὶ ἕν τι μόριον τῆς ὅλης ἐπιστήμης, ὡς ὁ πρότερος περὶ ἅπαντα. ἐκ δὴ τούτων δῆλον, ὅτι ὁ μὲν ἐπιστήμων καὶ πεπαιδευμένος ἐστίν· οὐ πᾶς δὲ πεπαιδευμένος, ἐπιστήμων. εἰ δὴ τῶν πάντων οὕτως ἔχει, δεῖ καὶ τῆς περὶ φύσεως ἱστορίας ὑπάρχειν ἀρχὰς, καὶ ὅρους τοιούτους, πρὸς οὓς ἀναφέρων ὁ ἀκροώμενος, ἀποδέξεται τὰ δεικνύμενα. χωρὶς τοῦ πῶς ἔχει τἀληθές. εἰ γὰρ καὶ τοῦτο ποτὲ θεωρεῖ, ἀλλ᾽ οὖν οὐ προηγουμένως ὁ πεπαιδευμένος σκοπεῖ, κἂν ἀληθὲς ᾖ μὴ, τὸ δεικνύμενόν ἐστιν· ἐπιστήμονος γάρ ἐστι τοῦτο. ἀλλ᾽ ἔργον ἐστὶν αὐτῷ θεωρῆσαι, εἰ γεωμετρικόν ἐστι τὸ δεικνύμενον, εἰ ἐκ τῶν γεωμετρικῶν ἀρχῶν δείκνυται. ταῦτ᾽ εἰπὼν ἐπάγει. ἆρα δεῖ λαβόντα ἑκάστην οὐσίαν περὶ ἑκάστης ἰδίᾳ ζητῆσαι. οἷον χωρὶς μὲν περὶ

οἰκία τοδί ἐστι, δεῖ τοιαύτης ὕλης, καὶ ἐπεὶ τοιαύτη ὕλη ἐστιν, ἔσται οἰκία: ἐπὶ δὲ τῶν ἀϊδίων, δυνατὸν λέγειν: ἐπεὶ ὁ ἥλιος ἐν κριῷ ἐστιν, ἦν ἐν τοξότῃ: καὶ ἐπεὶ ἐν τοξότῃ ἐστιν, ἔσται ἐν κριῷ: ἀλλὰ περὶ μὲν τούτων εἴρηκε καὶ ἐν δευτέρῳ τῆς ἀποδεικτικῆς, καὶ ἐν τῷ τέλει τῆς περὶ γενέσεως καὶ φθορᾶς, καὶ ἐν τῇ μετὰ τὰ φυσικά. [Δεῖ δὲ μὴ λεληθέναι καὶ πότερον προσήκει λέγειν:] καὶ τοῦτο φησὶ δεῖν γινώσκειν ἡμᾶς, ἆρ' οὕτω ποιητέον τὴν παροῦσαν σκέψιν, ὥσπερ οἱ πρὸ ἡμῶν ἐποίουν: ἐκεῖνοι γὰρ ἔλεγον, ὅτι τὴν τοῦ πράγματος γένεσιν, ὅπως γίνεται, πρότερον ζητεῖν ἄξιον: ταύτης γὰρ καταληφθείσης καὶ γνωρίμου γεγενημένης, ἔσεσθαι καὶ ἡ γνῶσις τῆς τοῦ πράγματος ὑπάρξεως καὶ τῆς οὐσίας αὐτῆς. ἀλλ' ἐκεῖνοι μὲν οὕτως, ὁ δὲ οὐκ ἀρέσκεται, ἀλλὰ φησίν. [Ἔοικεν ἐντεῦθεν ἀρκτέον εἶναι, καθάπερ καὶ πρότερον εἴπομεν.] καὶ ληπτέον τὰ ὑπάρχοντα ἑκάστῳ γένει ὡς ὑπάρχοντα: καὶ θεωρητέον τίνα τίσιν ὑπάρχει καὶ ἐστίν, οἷον τοῖς μὲν βουσὶν ἐχῖνος: σηπίαις δὲ τὸ σηπίον καὶ ἄλλοις ἄλλα. καὶ μετὰ τὴν γνῶσιν τῶν ὑπαρχόντων ἑκάστοις οὕτω ζητητέον τήν τε γένεσιν αὐτῶν καὶ τὰς αἰτίας, καθ' ἃς ταῦτα αὐτοῖς ὑπάρχει. εἰ γὰρ μὴ γνῶμεν πρότερον ὅτι ἐστίν, πῶς ἂν ὅπως γέγονεν, εὕροιμεν: οὕτω γὰρ καὶ ἐπὶ οἰκοδομήσεως ποιοῦμεν: ὥς οὐδὲν γὰρ τὴν οἰκίαν λαβόντες, οὕτω τὴν γένεσιν αὐτῆς ζητοῦμεν, ὅπως ἐγένετο. εἰ δὲ ἡ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, οὐκ ὀρθῶς Ἐμπεδοκλῆς εἴρηκεν ὑπάρχειν πολλὰ ζῴοις κατὰ συμβεβηκὸς καὶ ἀπὸ τύχης: ἔλεγε γὰρ τὴν ῥάχιν ἀπὸ τύχης καὶ κατὰ συμβεβηκὸς ἔχειν τοὺς σπονδύλους: μία γὰρ οὖσα φησὶ καὶ συνεχής, ὥσπερ καὶ ῥάβδος ἢ κάλαμος, καὶ στραφέντος τοῦ ζῴου ἢ κύψαντος κατεάγη. ἀγνοήσας πρῶτον μὲν ὅτι τὸ σπέρμα, ἀφ' οὗ τὰ μέρη τοῦ ζῴου συνέστη, δεῖ δυνάμει εἶναι ταῦτα τὰ πάντα: εἶθ' ὅτι καὶ ὁ πατήρ, ἀφ' οὗ τὸ σπέρμα, πρότερός ἐστι τοῦ υἱοῦ. ὥστε δὴ τὸ τὸν πατέρα τοιόνδ' εἶναι, καὶ τὸ σπέρμα δυνάμει τὰ μέρη, διὰ τοῦτο γέγονεν ἡ ῥάχις τοιαύτη, καὶ τὰ λοιπὰ μόρια. ἀλλ' οὐχ ὅτι ἐστράφη ἢ ἔκυψε, κατεαγεῖσα ἔχει τοὺς ἁρμούς. ἰστέον δὲ καὶ τόδε ὅτι ὥσπερ ἐπὶ τῶν ἀπὸ φύσεως καὶ τέχνης γινομένων προϋπάρχοντος τοῦ ποιητικοῦ, ὑπ' αὐτοῦ γίνεται τὰ γινόμενα οἷα ἐστιν, οὕτω καὶ ἐπὶ τῶν αὐτομάτως δοκούντων γίνεσθαι ἔνια γίνεται, οἷα ἂν ἐποίησε φύσις ἢ τέχνη. εἰπὼν δὲ ὅτι τῶν τεχναστῶν ὑπάρχει τὸ ποιητικὸν ὅμοιον ὂν τῷ γινομένῳ ἐπήγαγεν: ἡ γὰρ τέχνη λόγος καὶ εἶδος τοῦ τεχναστοῦ ἐστιν, ἄνευ τῆς ὕλης: καὶ τοῦτο παντάπασιν ἀληθές: ἡ γὰρ οἰκοδομικὴ οὐδὲν ἄλλο τυγχάνει οὖσα ἢ τὸ εἶδος τῆς οἰκίας χωρὶς ξύλων καὶ λίθων. διὸ οὐ τὴν τύχην καὶ τὸ κατὰ συμβεβηκὸς αἰτιατέον, ἀλλὰ λεκτέον: ἐπεὶ τοῦτ' ἐστι τῷ ἀνθρώπῳ εἶναι, διὰ τοῦτο ταῦτα τὰ μόρια ἔχει: οὐ γὰρ ἐνδέχεται εἶναι ἄνευ τῶν μορίων τούτων ἢ πάντων ἢ τῶν γε κυριωτάτων, καὶ ὧν ἄνευ ἀδύνατον εἶναι: τούτου γάρ ἐστι δηλωτικὸν τό. [Εἰ δὲ μή, ἀλλ' ὅτι ἐγγυτάτω τούτοις καὶ ἢ ὅλως:] ἐχέτω τὰ μόρια ἤτοι καὶ ἢ τὰ κυριώτατα ἐχέτω μόρια καρδίαν, ἧπαρ, τὰ ὅμοια, ὅτι χωρὶς τούτων ἀδύνατον εἶναι. [Ἢ καλῶς γε οὕτως:] τουτέστιν ἢ πάντα ἐχέτω: τὸ γὰρ κάλλιον τοῦτό ἐστι: τὸ μηδὲν ἐλλείπειν τῶν ἐν αὐτῷ μορίων. τὸ δέ, [Ταῦτα δὲ ἕπεται.] ἴσον ἐστὶ τῷ, εἰ καλῶς ἔχοι ὁ ἄνθρωπος, ἕπεται ταῦτα μόρια αὐτοῦ: τῷ γὰρ καλῶς ἔχοντι τοῦτ' ἀκολουθεῖ, τὸ μηδὲν ἐλλείπειν. μήτε τῶν κυριωτάτων, μήτε τῶν ἀκύρων: εἰπὼν δὲ ἀνωτέρω ὅτι πρῶτον τὰ φαινόμενα καὶ ὄντα ληπτέον περὶ ἕκαστον γένος. εἶθ' οὕτως τὰς αἰτίας τούτων λεκτέον, καὶ μεταξὺ πολλὰ παρενείρας, ἐπάγει. [Ἐπεὶ δὲ ἐστι τοιοῦτον, τὴν γένεσιν ὡδί.] δυνάμει λέγων, δεῖ δὴ τὸ πρᾶγμα ὡς ὂν λαμβάνειν. εἶτα λέγειν: ἐπειδὴ τοιοῦτόν ἐστι καὶ φύσιν εἴληφε τοιαύτην, δεῖ τὴν γένεσιν ὧδε γενέσθαι, πρότερον μὲν καρδίαν, εἶτα ἄλλο καὶ οὕτως ἕτερον: ἀλλ' οὗτος μὲν οὕτω δαιμονίως περὶ τούτου διορίζει: Ἐμπεδοκλῆς δὲ τὴν ὕλην αἰτιᾶται τῆς γενέσεως λέγων. ἐπεὶ καὶ τὸ πῦρ καὶ ὁ ἀὴρ ἄνω πεφύκασι φέρεσθαι. γῆ δὲ καὶ ὕδωρ κάτω: συναγούσης τῆς φιλίας τὰ στοιχεῖα, τὸ ἐν ἐμοὶ ὕδωρ κάτω πεφυκὸς φέρεσθαι, ἐκοίλανε τὸν τόπον

ὃν καλοῦμεν κοιλίαν, καὶ πεποίηκεν αὐτήν: ῥαδίως γὰρ ἐνδελεχῶς καὶ πέτραν κοιλαίνει. ὁμοίως καὶ ὁ ἀὴρ ὢν τὸ ἄνω φερόμενος, διέῤῥηξε τὸν τόπον καθ᾽ ὃν οἱ μυκτῆρες, καὶ γεγόνασι μυκτῆρες. εἰ οὖν ἄτοπον ταῦτα λέγειν, ἔστι δὲ καὶ ὁ ἄνθρωπος καὶ τὰ ζῶα, καὶ τὰ μόρια αὐτῶν φύσει, λεκτέον ἂν εἴη περὶ σαρκὸς καὶ ὀστοῦ καὶ τῶν ὁμοίων: οὐ γὰρ ἱκανὸν τὸ λέγειν, ὅτι ἐκ πυρός εἰσι καὶ ἀέρος: ὥσπερ γὰρ εἰ περὶ κλίνης ἐποιούμεθα τὸν λόγον ἐπειρώμεθα μᾶλλον περὶ τοῦ εἴδους λέγειν ἢ περὶ τῆς ὕλης: εἰ δὲ μὴ, ἀλλ᾽ οὖν περὶ ἀμφοῖν καὶ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀλλ᾽ οὐ περί γε τῆς ὕλης μόνης καὶ πῶς ἂν περὶ ἀμφοῖν ἐλέγομεν, ἐπήγαγεν: κλίνη γάρ ἐστι τόδε ἐν ὑποκειμένῳ οὐσία τωδί: ἢ τόδε τὸ ὑποκείμενον ἐστὶ, τοιονδί. [Εἰ μὲν οὖν τῷ σχήματι καὶ τῷ χρώματι ἕκαστον τῶν ζώων:] Δημόκριτος τὴν ἅπασαν ζήτησιν περὶ τῆς ὑλικῆς αἰτίας ποιούμενος ἀπεκρίνατο: τὸ δέ τινος ἕνεκα, ἤτοι τὴν εἰδικὴν εἴα, λέγων. ἅπασι δῆλόν ἐστιν ὁποῖον τι κατὰ τὴν μορφὴν καὶ τὸ χρῶμα ὑπάρχει ὁ ἄνθρωπος καὶ ἕκαστον τῶν ζώων. κατὰ δὲ τὴν ὕλην, ἄδηλον: εἰ δὲ ἄδηλον, περὶ τοῦ ἀδήλου τὴν ζήτησιν ποιητέον: καὶ οὐ περὶ τοῦ φανερωτάτου: πρὸς ταῦτα ἐνίσταται ὁ Ἀριστοτέλης, λέγων: εἰ μὲν οὖν κατὰ τοιονδὶ σχῆμα, καὶ χρῶμα ὁ ἄνθρωπος οὐσίωται, καὶ ἕκαστον τῶν ζώων καὶ τῶν μορίων, ὀρθῶς ἂν ὁ Δημόκριτος λέγει: εἰ δὲ μὴ κατὰ ταῦτα, ἀλλὰ κατὰ τὸν ὁριστικὸν λόγον, οὐκ ὀρθῶς. εἰ γὰρ ἦν τῷ ἀνθρώπῳ τὸ ἀνθρώπῳ εἶναι κατὰ τοιονδὶ σχῆμα, ἦν ἂν καὶ ὁ τεθνεὼς ἄνθρωπος: σώζει γὰρ καὶ οὗτος τὸ τῶν ζώων σχῆμα: ἀλλ᾽ ἄνθρωπος οὐκ ἔστιν: λίαν οὖν περὶ τούτων ἁπλῶς καὶ ἀνεπισκέπτως εἴρηκε: καὶ τὸν αὐτὸν τρόπον ὥσπερ ἂν εἰ τέκτων λέγει περὶ χειρὸς ξυλίνης, ὅτι χείρ ἐστι ξύλον οὑτωσὶ λεανθὲν, κοιλανθέντε καὶ σχισθὲν: οὕτω γὰρ καὶ οἱ φυσιολόγοι τὰς τῶν σχημάτων αἰτίας λέγουσιν. ἐπεὶ τὸ ὕδωρ κάτω ῥεῖ, γέγονεν ἡ κοιλία καὶ οἱ μυκτῆρες ὅτι ὁ ἀὴρ ἄνω: ἀπὸ γὰρ τῆς ὕλης καὶ τῶν δυνάμεων κουφότητος. βαρύτητος τὰς αἰτίας τοῦ σχήματος ἀποδιδόασι. καὶ ἴσως ὁ μὲν τέκτων αἴτια τοῦ σχήματος εἴποι ἂν τὰ ὄργανα, τρύπανον καὶ σκέπαρνον. ὁ δὲ Δημόκριτος ἀέρα καὶ γῆν, ἀλλὰ βέλτιον ὁ τέκτων τὰς αἰτίας ἐρεῖ λέγων: καταλέγει οὖν αὐτὰς οὗτος λίαν σαφῶς. δῆλον οὖν ὅτι οὐκ ὀρθῶς λέγουσιν, ἀλλὰ λεκτέον τὸ εἶδος τοῦ ζώου, κἂν ἄνθρωπος, κἂν ἄλλο ὁτιοῦν ἐστιν, ὅτι τοιοῦτον. καὶ περὶ ἐκείνου τοῦ εἴδους ζητητέον καὶ τί ἐστι καὶ ποῖον τι: καὶ τῶν μορίων ἕκαστον. καὶ εἰ ἔστι τὸ εἶδος τοῦ ἀνθρώπου ἡ πᾶσα ψυχὴ, ἡ λογική τε καὶ ἄλογος: ἢ μέρος ψυχῆς, τουτέστι μόνη ἡ ἄλογος ἢ ἂν ἀδύνατον χωρὶς ψυχῆς εἶναι τὸ τοῦ ἀνθρώπου εἶδος: ἀπελθούσης γὰρ ψυχῆς οὐκ ἔτι ζῶον ἐστὶν ἄνθρωπος: οὐδὲ τῶν μορίων οὐδὲν πλὴν τῷ σχήματι μόνον. καθάπερ καὶ τὴν μυθευομένην Νιόβην ἀπολιθωθεῖσαν. ἄνθρωπον μὲν μηκέτι εἶναι, σώζειν δὲ τὸ σχῆμα: εἰ δὲ εἶδος ἀνθρώπου ψυχὴ ἢ μέρος ψυχῆς: τοῦ φυσικοῦ περὶ ψυχῆς ἂν εἴη λέγειν καὶ εἰ μὴ περὶ πάσης, τῆς τε λογικῆς καὶ ἀλόγου, ἀλλὰ πάντως περὶ τῆς ἀλόγου, καθ᾽ ἣν τὰ ζῶα τὸ ζῶα εἶναι, ἔσχηκεν. ἄλλως τε καὶ τῆς φύσεως τῆς μὲν, ὡς ὕλης λεγομένης: τῆς δὲ, ὡς εἴδους: καί ἐστιν ἡ εἰδικὴ φύσις καὶ ὡς κινοῦσα καὶ ὡς τέλεια: αὕτη γὰρ ὡς ἐφετὸν καὶ κοσμοῦν κινεῖ τὴν ὕλην, ἀλλὰ καὶ τὸ τέλος αὕτη. πάντα γὰρ τὰ πρὸ τοῦ εἴδους γινόμενα ἕνεκα τούτου γίνεται. διχῶς οὖν τῆς φύσεως λεγομένης, ἂν ἡ μέν ἐστιν ὡς οὐσία καί ἐστιν αὕτη ἤτοι ἡ πᾶσα ψυχὴ, ἡ λογικὴ καὶ ἄλογος, ἢ μέρος τι αὐτῆς οἷον ἡ ἄλογος. καὶ δὴ τοίνυν ῥητέον ἂν εἴη τῷ φυσικῷ περὶ ψυχῆς καὶ τοῦ εἴδους μᾶλλον ἢ περὶ τῆς ὕλης: ὅσῳ μᾶλλον ἡ ὕλη ὥσπερ φύσις ἐστὶ διὰ τὸ εἶδος ἢ ἐκεῖνο δι᾽ ἐκείνην. ταῦτα εἰπὼν ζητεῖ, πότερον περὶ πάσης ψυχῆς ἐστι τῆς φυσικῆς εἰπεῖν ἢ περὶ τινός: εἰ γὰρ περὶ πάσης δῆλον ὅτι καὶ περὶ τοῦ νοῦ: ὁ δὲ νοῦς τῶν πρός τι: ὁ γὰρ νοῦς νοητῶν ἐστι νοῦς: εἰ δὲ τῶν πρός τι ὁ θάτερον εἰδὼς, καὶ θάτερον εἴδειν: ὥστε εἰ περὶ τοῦ νοῦ λέγει ὁ φυσικὸς, ἐρεῖ καὶ περὶ τῶν νοητῶν. εἰ οὖν ἡ φυσικὴ λέγει καὶ περὶ τῶν αἰσθητῶν καὶ περὶ τῶν νοητῶν, οὐδεμία ἔσται ἄλλη ἐπιστήμη παρὰ τὴν φυσικήν: οἰ-

χήσεται ἄρα ἡ θεολογία. εἰπὼν δὲ ὅτι τῆς αὐτῆς ἐστιν ἐπιστήμης λέγειν περὶ νοῦ καὶ τῶν νοητῶν ἐπήγαγεν. [Εἴπερ ἅμα.] τουτέστιν εἴπερ ἑτέρου ὁ νοῦς καὶ τὰ νοητά: ἀλλὰ μὴ ταυτά. εἴρηκε γὰρ ἐν τῷ τρίτῳ τῶν περὶ ψυχῆς ὅτι πᾶς νοῦς, νοητὸς καὶ πᾶν κυρίως νοητὸν, νοῦς. ἀπορήσας οὖν λύει λέγων. οὐκ ἔστι πᾶσα ψυχὴ κινουμένη ἀρχὴ ἡ οὐδὲ τὰ μόρια πάντα τῆς ψυχῆς: ἀλλ᾽ αὐξήσεως μὲν αἴτιον τὸ θρεπτικὸν μόριον. ἀλλοιώσεως δὲ τῆς μετὰ συναισθήσεως γινομένης καὶ μὴ ἄνευ αἰσθήσεως, τὸ αἰσθητικόν. φορᾶς δὲ, τὸ ὀρεκτικόν: καὶ οὐ τὸ νοητικόν. ἐπεὶ οὖν ἡ φύσις ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας. τὸ δὲ νοητικὸν αἴτιον κινήσεως οὐκ ἔστι, δῆλον ὅτι περὶ τῶν κινητικῶν μορίων τῆς ψυχῆς ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τῶν νοητικῶν: τὸ δὲ, [Ἓν ἢ καὶ πλείω,] εἶπεν, ὡς εἰ ἔλεγε. τὰ δὲ κινητικὰ τῆς ψυχῆς μόρια, εἴτε ἕν ἐστιν ἢ καὶ πλείω ἑνὸς, περὶ τῶν τοιούτων ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τοῦ νοητικοῦ: δείκνυσι δὲ ὅτι οὐδὲ περὶ τῶν μαθηματικῶν ὁ φυσικὸς ἐρεῖ: διότι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ. τὰ δὲ ἐξ ἀφαιρέσεως, ἅπερ ἐστὶ τὰ μαθηματικά, οὐχ ἕνεκά του εἰσί. καὶ ὥσπερ φησὶν ἐν τοῖς τεχναστοῖς ἐστιν ἀρχὴ κινήσεως ἡ τέχνη, οὕτως ἐν ἡμῖν ἐστί τις ἀρχὴ καὶ αἰτία: εἴτε ψυχὴν, εἴτε φύσιν αὐτὴν καλεῖν δεῖ. αὐτὸς γὰρ καὶ τὴν ψυχὴν φύσιν ἐνταῦθα εἴρηκεν. ὥστε καθολικώτερον ἡ φύσις τῆς ψυχῆς: ταύτην δέ φησι, τὴν ἀρχὴν καὶ αἰτίαν τὴν ἀνάλογον τῇ τέχνῃ, ἔχομεν ἐκ τοῦ σύμπαντος κόσμου, ὥσπερ καὶ τὸ ψυχρὸν καὶ τὸ θερμὸν: ἐκ τοῦ κόσμου γὰρ καὶ αὐτὰ συνέστη ἡμῖν. σαφῆ δὲ τὰ λοιπά. τὸ δὲ, [Ἀλλὰ μὴν τούτου πρότερον τὸ τέλος τὸ σπέρμα,] εἴρηκεν αὐτὶ τοῦ. τὸ δὲ σπέρμα ὕστερόν ἐστι τοῦ, οὗ ἐστι σπέρμα: τὸ γὰρ ποιοῦσαν τὸν Σωκράτην σπέρμα εἰ καὶ πρότερόν ἐστι Σωκράτους τῷ χρόνῳ, ἀλλὰ τῇ φύσει καὶ τῇ τιμῇ καὶ ὅλως τῷ τελείῳ, ὕστερόν ἐστι τοῦ Σωκράτους: ὃ καὶ κατασκευάζων ἐπήγαγε τὸ, [Γένεσις μὲν γὰρ τὸ σπέρμα, οὐσία δὲ τὸ τέλος.] ἴσον λέγων τῷ. τὸ μὲν σπέρμα γενέσεώς ἐστι. πᾶσα δὲ γένεσις ἀτελής. τὸ δὲ ἐκ τοῦ σπέρματος γεγονὸς, τέλος καὶ οὐσία. τὸ δὲ τέλος καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ ἀτελοῦς: ἀλλ᾽ ὁ μὲν Σωκράτης πρότερος τῇ φύσει, τοῦ ἐξ οὗ γέγονε σπέρματος. ὁ δὲ Σωφρονίσκος ἀμφοτέρων τῷ χρόνῳ καὶ Σωκράτους καὶ τοῦ ἐξ οὗ ὁ Σωκράτης, σπέρματος: λέγεται δὲ τὸ σπέρμα διχῶς. τὸ γὰρ σπέρμα ἐξ οὗ ὁ Σωκράτης, λέγεται καὶ Σωκράτους σπέρμα, λέγεται καὶ Σωφρονίσκου: ἀλλ᾽ οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸν εἰρημένον. τοῦ μὲν γὰρ Σωφρονίσκου, ὡς ἐξ οὗ: ἐξ αὐτοῦ γὰρ ἐξῆλθε. τοῦ δὲ Σωκράτους, ὡς οὗ: αὐτοῦ γὰρ ἕνεκα ἢ τούτου χάριν ποιητικόν. [Ἴσως δὲ ἄν τις ἀπορήσειε, ποίαν λέγουσιν ἀνάγκην.] εἰπὼν ὅτι πολλὰ γὰρ γίνεται καὶ διὰ τὴν ἀνάγκην λέγει. ἀπορήσειεν δ᾽ ἄν τις, ἐπειδὴ πολλαχῶς ἡ ἀνάγκη λέγεται, ὡς ἐν τῷ δ΄ τῶν μετὰ τὰ φυσικὰ εἴρηται: ταῦτα γὰρ ᾐνίξατο διὰ τοῦ, ὡς ἐν τοῖς κατὰ φιλοσοφίαν ἄρηται: εἴτε γὰρ ἐκεῖ ἀναγκαῖον λέγεται καὶ τὸ βίᾳ ἀναγκαῖον, καὶ αἱ προτάσεις. εἰ γὰρ ἔσται τοιόνδε συμπέρασμα, ἀνάγκη τοιάσδε εἶναι προτάσεις. λέγεται ἀναγκαῖον καὶ οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι. λέγει οὖν ὅτι ἡ ζητουμένη ἐνταῦθα ἀνάγκη κατ᾽ οὐδένα λέγεται τῶν προτέρων δύο τρόπων. οὔτε ὡς τὸ βίᾳ, οὔτε ὡς αἱ προτάσεις, ἀλλὰ κατὰ τὸν τρίτον τὸν, οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι: ἄνευ γὰρ τροφῆς οὐχ οἷόν τε ζῷον εἶναι. τοῦτο δέ φησι τὸ τρίτον ἀναγκαῖον ὥσπερ ἐξ ὑποθέσεώς ἐστιν, ἤτοι τρόπον τινὰ ἐξ ὑποθέσεως ἐστὶ καὶ σαφηνίζει διὰ παραδείγματος ὅπως ἐστὶν ὡσπερ ἐξ ὑποθέσεως. ὥσπερ γάρ φησιν ἐπειδὴ δεῖ σχίζειν τῷ πελέκει, ἀνάγκη σκληρὸν εἶναι, εἰ δὲ σκληρὸν, χαλκοῦν: οὕτω καὶ ἐπειδὴ τὸ σῶμα ὄργανον, ἀνάγκη τοιόνδε εἶναι καὶ συμπεραίνεται λέγων. [Ὅτι μὲν οὖν δύο τρόποι εἰσὶ τῆς αἰτίας.] Ὕλη καὶ εἶδος [Καὶ δεῖ λέγοντας τυγχάνειν ἀμφοῖν. εἰ δὲ μὴ, δῆλόν γε πειρᾶσθαι ποιεῖν.] Τουτέστιν εἰ δὲ μή ἐστιν ὕλη, ὥσπερ ἐν τῷ οὐρανίῳ σώματι, δεῖ πειρᾶσθαι δηλοῦν καὶ φανερὸν ποιεῖν ὡς ἐνταῦθα ὑλικὸν αἴτιον οὐκ ἔστιν. ὅτι μὲν οὖν ταῦθ᾽ οὕτως ἔχει δῆλον. λείπει γὰρ τὸ δῆλον. τὸ δὲ, [Ἐνιαχοῦ δέ που αὐτῇ καὶ Ἐμπεδοκλῆς περιπίπτει.] εἴρηται ἀντὶ τοῦ, ἄκων ὑπ᾽ αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενος ἅπτεται τῆς εἰδικῆς αἰτίας. ἥψατο δέ φησιν αὐτῆς καὶ Δημόκριτος. οὐχ ὡς ἀναγκαίας δὲ οὔσης τῷ περὶ φύσεως λέγοντι εἴρηκε περὶ αὐτῆς. ἀλλὰ καὶ οὗτος ἄκων ὑπὸ τῆς ἀληθείας παρασυρείς: τοῦτο γάρ ἐστι δηλωτικὸν τό. [Ἀλλ᾽ ἐκφερόμενος ὑπ᾽ αὐτοῦ τοῦ πράγματος.] Ταῦτα εἰπὼν

λέγῃ καὶ πῶς δεῖ ποιεῖσθαι τὰς τοιαύτας ἀποδόσεις τῆς ἀνάγκης λέγων, ἔστιν ἡ ἀναπνοὴ χάριν τοῦ περιψύχεσθαι τὴν καρδίαν. τοῦτο δὲ γίνεται διὰ τάδε ἐξ ἀνάγκης. ὧν δὲ τῆς ἀνάγκης φησὶν ὅταν λέξῃ τις, ὅτι τοῦτο γίνεται διὰ τάδε ἐξ ἀνάγκης. ὁ τὶ μὲν τοῦτο λέγῃ, ὡς εἰ μέλλοι ἔσεσθαι ἐκεῖνο, ἀνάγκη τὸ οὗ ἕνεκα ταῦτα ἔχειν τὰ μόρια. εἰ γὰρ ἔσται ἀναπνοὴ δεῖ πνεύμονος, βραγχίων, ἀρτηρίας, πνοῆς τῆς ἕνεκα ἀναπνοῆς ταῦτα γέγονεν. ὁ τὶ δὲ οὐ τοῦτο σημαίνει δὴ τοῦ ἐξ ἀνάγκης, ἀλλ᾽ ὅτι ἐστὶ τόδε ὅτι οὕτω πέφυκεν: ἔσται γὰρ ἐξ ἀνάγκης τῷ πυρὶ τὸ ἄνω φέρεσθαι οὐχ ὅτι ἕνεκα τῆς ἄνω φορᾶς γέγονέ τινα ἀλλ᾽ ὅτι οὕτω πέφυκεν. ἔστι δὲ ἐπειδὴ ἀνάγκη τὸ πῦρ ἄνω φέρεσθαι. τοῦτό φησι πέφυκε τὸ πῦρ ἄνω φέρεσθαι. ἀσαφῶς δὲ τῆς ἀνάγκης τῆς δευτέρας τέθηκε τὸ παράδειγμα, εἰπών. [Τὸ θερμὸν γὰρ ἀναγκαῖον ἐξιέναι καὶ πάλιν εἰσιέναι ἀντικροῦον.] Ῥητέον δὲ πρὸς σαφήνειαν αὐτοῦ ταῦτα: ὁ Πλάτων πῶς ποτὲ τὸ ἀναπνεῖν γίνεται λέγων, εἴρηκεν ὅτι ὁ εἰσερχόμενος ἐν τῷ πνεύμονι ἀὴρ διὰ τῶν μυκτήρων ἢ τοῦ στόματος θερμαινόμενος ἐν τῷ πνεύμονι καὶ διὰ τοῦτο λεπτυνόμενος φέρεται ἄνω καὶ ἐξέρχεται διὰ τῶν μυκτήρων: ἐξερχόμενος δὲ καὶ προσεγγίζων, τῷ ἐκτὸς ἀέρι τῷ εὐθὺς ἁπτομένῳ τῶν μυκτήρων ψυχρῷ ὄντι πυκνοῦται καὶ συστέλλεται ἐντὸς εἰς ἐλάττονα κατὰ πολὺ τόπον τοῦ ὃν κατεῖχε πρὸ τοῦ πυκνωθῆναι. ἐπεὶ δὲ οὐκ ἔστι κενὸν, διὰ τὴν τοιαύτην ἀνάγκην συνέπεται τῷ πυκνωθέντι ἀέρι ἐκτὸς ἄλλος ἀὴρ ἀναπληρώσων τὸν τόπον ὃν ἀπέλιπεν ὁ πυκνωθείς: οὕτως οὖν ὁ Πλάτων ἐφυσιολόγει τὸ ἀναπνεῖν. λαμβάνει δὲ ταύτην Ἀριστοτέλης τὴν δόξαν εἰς παράδειγμα, οὐχ ὡς ἀρεσκόμενος ταύτῃ: ἀλλὰ σαφηνίσαι δι᾽ αὐτῆς βουληθεὶς πῶς τὸ ἀναγκαῖον ποτὲ σημαίνῃ τὸ οὕτω πέφυκε: τὸ θερμὸν γάρ φησιν ἀναγκαῖον ἐξιέναι: λέγων θερμὸν τὸν ἐν τῷ πνεύμονι ἀέρα: ἀναγκαῖον οὖν τουτέστι πέφυκε τὸ θερμὸν ἄνω φέρεσθαι. ἐξέρχεσθαί τε ἢ ἂν εὑρίσκει δίοδον καὶ ἐξερχόμενον ἀντικρούσαν τῷ ἐκτὸς ἀέρι. καὶ πυκνωθεὶ πέφυκε συστέλλεσθαι καὶ εἰσιέναι ἐντὸς ὥσπερ τὶς κοχλίας ἢ χελώνη ἐν τῷ οἰκείῳ ὀστράκῳ: τούτου δὲ συστελλομένου εἰσρεῖν τὸν ἐκτὸς ἀέρα εἴσω διὰ τῶν μυκτήρων. [Τοῦτο δὲ ἀναγκαῖον.] Ἤτοι τοῦτο δὲ οὕτω πέφυκε γίνεσθαι. τίθησι καὶ παράδειγμα τοῦ αὐτοῦ λέγων. τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικόπτοντος, ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος. ἡ εἴσοδος ἀποστικτέον δὲ εἰς τὸ, ἀντικόπτοντος, εἶτα ἀπαρκτέον τὸ, Ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος. Τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι. τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικοπτομένου καὶ οἱονεὶ ἀνακαμπτομένου καὶ εἰς τοὐπίσω παλινοστοῦντος. [Ἐν τῇ ψύξει.] Ἤτοι διὰ τῆς ψύξεως γίνεται τοῦ θύραθεν ἀέρος ἡ εἴσοδος. τούτου δὲ εἰσελθόντος καὶ θερμανθέντος καὶ φερομένου ἄνω ὡς πέφυκε φέρεσθαι, γίνεται ἡ ἔξοδος. [Λαμβάνουσι δ᾽ ἔνιοι τὸ καθ᾽ ἕκαστον, διαιρούμενοι τὸ γένος εἰς δύο διαφοράς:] Τὰ εἰδικώτατα εἴδη λαμβάνειν ὁ Πλάτων βουλόμενος: (ταῦτα γὰρ εἶπε καθ᾽ ἕκαστον,) ἐλάμβανε τὸ γένος καὶ διῄρει εἰς δύο, καὶ ἕκαστον πάλιν τῶν τμημάτων εἰς δύο κἀκεῖνο: οὕτω λέγων, τῆς ποδότητος τὸ μέν ἐστι πολύπουν, τὸ δ᾽ ὀλιγόπουν. καὶ ἑκάτερον τούτων διῄρει πάλιν εἰς δύο: καὶ διὰ τῆς τοιαύτης διαιρέσεως ἐπειρᾶτο λαμβάνειν τὰ εἰδικώτατα εἴδη: δείκνυσι δὲ οὗτος διὰ πλειόνων ὡς ἀδύνατον ἐστὶ διὰ τῆς τοιαύτης μεθόδου λαμβάνειν τὰ εἴδη: συμβαίνει γὰρ οὕτω τὸ αὐτὸ καὶ ἓν εἶδος πίπτειν ὑπὸ τὰς ἐναντίας διαφορὰς ὡς δείξει, ὅπερ οὐ καλόν: ἡ γὰρ διαίρεσις τῶν τούτῳ γίνεται ἵνα ἐν θατέρῳ τμήματι τὸ ζητούμενον ἐμπέσῃ, ἀλλ᾽ οὐκ ἐν τοῖς ἀμφοτέροις. γίνεται δὲ τοῦτο διὰ τὸ τὴν διαίρεσιν εἰς δύο βούλεσθαι ποιεῖν: πῶς δὲ δεῖ τὰς διαιρέσεις ποιεῖσθαι αὐτὸς ἐρεῖ μετὰ τὰς πρὸς τὸν Πλάτωνα ἀντιλογίας. ἃ δὲ νῦν λέγει ταῦτά ἐστι. λαμβάνειν φησὶ πειρῶνται τὸ καθ᾽ ἕκαστον, ἤτοι τὸ εἰδικώτατον εἶδος, διαιροῦντες τὸ γένος εἰς δύο διαφοράς. τὸ δὲ οὕτω λαμβάνειν αὐτὸ πειρᾶσθαι τῇ μέν ἐστιν, οὐ ῥᾴδιον, τῇ δὲ ἀδύνατον. καὶ τῆς δυσκολίας καὶ τοῦ ἀδυνάτου τὴν αἰτίαν ἐπήγαγεν εἰπών, [Ἐνίων γὰρ ἔσται διαφορὰ μία μόνη:] Τῶν γὰρ ἐστιν ἐπὶ τινῶν μία διαφορὰ ἡ τελευταία ἐστὶν ἡ τὸ πρᾶγμα εἰδοποιοῦσα. συμβαίνει οὖν ἐκ τῆς διχοτομίας πολλάκις λέγειν τὸ αὐτὸ ἔσται οὖν λαβεῖν ἐκ τῆς τοιαύτης διαιρέσεως τὸν ἄνθρωπον καὶ ἐρετέον: τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν, τὸ δ᾽ ἄπουν. ὁ δ᾽ ἄνθρωπος ἄπουν μὲν οὐκ ἔστιν, ὑπόπουν ἄρα. καὶ τοῦ ὑπόποδος τὸ μέν ἐστι δίπουν τὸ δὲ πολύπουν

ὁ δ' ἄνθρωπος πολύπουν μὲν οὐκ ἔστι· δίπουν δ' ἄρα. ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῷον ὑπόπουν δίπουν. ὥστε δὶς εἴρηται τὸ ὑπόπουν· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν. οὕτως δὲ ἔδει λέγειν. ὁ ἄνθρωπος ἐστὶ ζῷον δίπουν, οὐ μὴν ζῷον ὑπόπουν δίπουν. πάλιν τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, τὸ δίπουν εἰς σχιζόπουν καὶ ἀσχιδές· ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῷον πεζὸν δίπουν σχιζόπουν. τρὶς ἄρα εἴρηται τὸ ὑπόπουν καὶ δὶς τὸ δίπουν καὶ πολύπουν τὸ δίπουν· ὅτε γὰρ εἶπε δίπουν ὑπόπουν εἶπεν· ἀλλὰ μὴν εἶπε τὸ ὑπόπουν καὶ ἐν τῇ ἀπαριθμήσει. ὅτε λέγει ὁ ἄνθρωπός ἐστι ζῷον ὑπόπουν δίπουν· ὥστε ὅτε εἶπεν ὑπόπουν εἶπεν ἐξ ἀνάγκης τὸ καὶ δίπουν, ἀλλὰ καὶ ὅτε εἶπε τὸ δίπουν ὑπόπουν, εἶπε· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν· ἀλλὰ καὶ ὅτε σχιζόπουν εἶπεν ὑπόπουν εἴρηκεν ὁμοίως καὶ δίπουν. εἰ δὴ ἡ ἐσχάτη διαφορὰ κυρία ἐστὶ τοῦ εἰδοποιεῖσθαι τὰ πράγματα, μεθ' ἧς ἐναπειλημμέναι αἱ λοιπαί· συνεπιφέρει γὰρ ἡ ἐσχάτη τὰς πρὸ αὐτῆς· εἰ δὲ λέγει τις ὡς οὐκ ἔστιν αὕτη κυρία, ἀλλὰ καὶ αἱ λοιπαί, καὶ δεῖ κἀκείνας λέγειν, συμβήσεται τὸ αὐτὸ πολλάκις λέγειν. τοῦτο δὲ εἴρηκε καὶ ἐν τῷ ζ τῶν μετὰ τὰ φυσικά. [Ἔτι φησὶ, προσήκει μὴ διασπᾶν ἕκαστον γένος.] λέγων γένος τὸ εἰδικώτατον εἶδος. οὐ δεῖ οὖν διασπᾶν καὶ τιθέναι τὸ αὐτὸ καὶ ἓν εἶδος ἐν ταῖς ἐναντίαις διαφοραῖς οἷον εἴ τις διαιρεῖ τοὺς ὄρνιθας καὶ τοὺς μὲν τίθησιν ἐν τῇδε· τοὺς δὲ ἐν ἄλλῃ διαιρέσει καθάπερ ἔχουσιν αἱ γεγραμμέναι τῷ Πλάτωνι διαιρέσεις· ἐν ἐκείναις γὰρ τοὺς μὲν τῶν ὀρνίθων μετὰ τῶν ἐνύδρων τέταχε· τοὺς δὲ ἐν ἄλλῳ γένει. [Καὶ ταύτῃ μὲν οὖν τῇ ὁμοιότητι.] Τῷ τε σχιζοπτέρῳ, τῷ ἐγχωρίῳ, κεῖται ὄνομα ὄρνις, ἄλλῃ δὲ ὁμοιότητι ἰχθῦς. τινὲς δὲ ὁμοιότητες ἀνώνυμοί εἰσιν· τῶν γὰρ τῶν ἐναίμων οὐ κεῖται ὄνομα, ὥσπερ τῶν τῶν σχιζοπτέρων ὁ ὄρνις. ἀπορήσει δ' ἄν τις πῶς ὥσπερ ὁ ὄρνις ὄνομά ἐστι, οὐκ ἂν εἴη καὶ τὸ ἄναιμον ὄνομα, ἀλλ' ἀνώνυμον· ἡ τῶν μὲν τῶν ὀρνίθων πάνυ ἡ πολλὴ πρὸς ἄλληλα ὁμοιότης καὶ γὰρ κατὰ τὸ σχιζόπτερον ὅμοιοί εἰσι κόραξ, κορώνη, τὰ ἄλλα. καὶ κατὰ τὰ ῥύγχη, καὶ κατὰ τοὺς πόδας, ἀλλὰ δὴ καὶ κατὰ τὰ σπλάγχνα· μόνῳ δὲ τῷ μεγάλῳ καὶ μικρῷ διαφέρουσι. τῶν γὰρ ὀρνίθων, τινῶν μὲν εἰσὶ καὶ οἱ πόδες καὶ τὰ πτερὰ μείζονα. τινῶν δ' ἐλάττονα. διὸ οὖν τὴν τοιαύτην ὁμοιότητα ὄνομα καλεῖν τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, φημὶ δὴ τὸν ὄρνιν, οὐκ ἀπηξίωσεν. τῶν δὲ τῶν ἀναίμων ἐπειδὴ λίαν ἀνόμοιοι. ἢ καὶ πάντη πρὸς ἄλληλα τυγχάνουσιν οὐκ ἠθέλησε τὸ ἄναιμον ὄνομα εἰπεῖν. τίνα γὰρ ὁμοιότητα ἔχει ὁ τῶν ἀνθρώπων ποῦς, πρὸς τὸν τοῦ ἵππου ἢ ἡ κεφαλὴ πρὸς τὴν κεφαλὴν ἢ τὰ πλείω τούτων, ἵνα μὴ λέγω πάντα. εἰπὼν οὖν, ἔτι προσήκει μὴ διασπᾶν ἕκαστον γένος, καὶ μεταξὺ ἀκολουθεῖ τινα τοῖς λεχθεῖσιν ἐπαινέσαι γαμῶν. [Εἴπερ οὖν μηδὲν τῶν ὁμογενῶν διασπαστέον, ἡ εἰς δύο διαίρεσις μάταιος ἂν εἴη.] Τουτέστιν εἰ δεῖ μὴ διασπᾶν τὰ ὁμογενῆ, μηδὲ τὸ αὐτό. καὶ ἓν ὑπὸ τὰς ἐναντίας τιθέναι διαιρέσεις, μάταιός ἐστιν ἡ εἰς δύο διαίρεσις. διασπᾷ γὰρ καὶ ὑπὸ ἐναντίας τίθησι διαιρέσεις τὸ αὐτὸ καὶ ἕν. τοῦ γὰρ πολύποδες τὸ μέν ἐστιν ἐν τοῖς πεζοῖς, τὸ δ' ἐν τοῖς ἐνύδροις. ἔτι οἱ εἰς δύο τὴν διαίρεσιν ποιοῦντες ἀναγκαῖον στερήσει διαιρεῖν. καὶ οὐχ ἡμεῖς τοῦτο φαμέν, ἀλλὰ κἀκεῖνοι οὕτω ποιοῦσι. τοῦ γὰρ ζῴου φασὶ τὸ μὲν ἐστὶν ὑπόπουν, τὸ δ' ἄπουν· καὶ τὸ μὲν πτερωτόν, τὸ δ' ἀπτέρωτον. στέρησις δὲ καὶ τὸ ἄπτερον καὶ τὸ ἄπουν. συμβαίνει δ' ἐκ τούτου εἴδη εἶναι τῆς στερήσεως. [Οὐκ ἔστι δὲ διαφορά.] Τουτέστιν οὐκ ἔστιν εἴδη τῆς στερήσεως καθ' ὃ στέρησις. τοῦ γὰρ μὴ ὄντος. (μὴ ὂν γὰρ ἡ στέρησις, ὡς ἐν τῷ α τῆς φυσικῆς ἀκροάσεως, εἴρηται) τοῦ δὲ μὴ ὄντος ἀδύνατον εἶναι εἴδη. δεῖ δὲ καὶ ἔχειν εἴδη, εἴπερ ἐστὶ καθόλου διαφορά· εἰ γὰρ μὴ ἔχει εἴδη, διὰ τί ἂν εἴη τῶν καθόλου καὶ οὐ τῶν καθέκαστα, τὰ μὲν οὖν λεγόμενα τοιαῦτα. κατὰ δὲ τὴν λέξιν τήν. [Οὐκ ἔστι δὲ διαφορὰ στερήσεως ᾗ στέρησις.] Τὸ διαφορὰ αὐτὴ τὸ εἶδος εἶπεν· ἴδιον τὸ εἰπεῖν· οὐκ ἔστι δὲ εἶδος στερήσεως· τοῦτο δὲ εἶπεν διὰ τὸ τὰ εἴδη ὑπὸ τῶν διαφορῶν συνίστασθαί τε καὶ οὐσιοῦσθαι· [Χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφορὰς ὧν ἐστιν εἴδη.] Εἰπὼν ὅτι τοῖς διαιροῦσιν εἰς δύο τὰ γένη ἀναγκαῖον στερήσει τὴν διαίρεσιν ποιεῖν καὶ δὴ ποιοῦσι, καὶ εἰς ἄτοπον συμβαίνει τὸν λόγον· τὸ εἴδη εἶναι τῆς στερήσεως καὶ τοῦ μὴ ὄντος. λέγει ὅτι καὶ τῶν τῶν διαφορῶν τῶν ὡς ἕξεων λεγομένων, ὑφ' ἃς φανερῶς ἐστιν εἴδη, χαλεπόν ἐστι διχοτομοῦντας διαλα-

βεῖν καὶ κατὰ μίαν διαίρεσιν θεῖναι εἶδός τι ὡς μὴ ἐμπεσεῖν καὶ εἰς τὸ ἀντικείμενον, εὐθὺς ὁ μύρμηξ καὶ ὑπὸ τὸ πτερωτόν ἐστι καὶ ὑπὸ τὸ ἄπτερον, ἀνάγκη οὖν μὴ μόνον τῶν τῆς στερήσεως τοῦτο πάσχειν πρός τῳ καὶ εἴδη εἶναι αὐτῆς, ἀλλὰ καὶ τῶν τῆς ἕξεως. [Πάντων δὲ χαλεπώτατον ἢ ἀδύνατον εἰς τὰ ἄναιμα.] Τοῦτο οὐ πρὸς τὸ, χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφορὰς ὧν ἐστιν εἴδη, εἴρηται ἀλλὰ πρὸς τὸ, δεῖ δὲ, τῆς καθόλου διαφορᾶς εἴδη εἶναι. εἰ γὰρ μὴ ἔσται, διὰ τί αὖ εἴη τῶν καθόλου. ὥστε ἔσται τῆς στερήσεως εἴδη τῆς ἀποδίας. τοῦτο δὴ κἀνταῦθα κατασκευάζει λέγων. [Πάντων δὲ χαλεπώτατον, ἢ ἀδυνάτον εἰς τὰ ἄναιμα.] καὶ προσυπακουστέον τοῦ μὴ εὑρίσκεσθαι εἴδη: ἀδύνατον γάρ φησι μὴ εἶναι εἴδη τῆς ἀναιμίας καὶ συντόμως ἐπήγαγε τὴν τοῦ ἀδυνάτου αἰτίαν εἰπών, ἀναγκαῖον ἑκάστην τῶν διαφορῶν ὑπάρχειν τινὶ τῶν καθ' ἕκαστον. εἰ οὖν τὸ ἔναιμον ὑπάρχῃ τινὶ, δῆλον ὅτι καὶ τὸ ἀντικείμενον, τὸ ἄναιμον: εἴπερ ἐστὶ διαφορά. δείξας οὖν οὕτως ὅτι ὑπάρχει καὶ τὸ ἄναιμον τισὶ τῇ τοῦ ἐναίμου παραθέσει κατασκευάζει τὰ προκείμενα. φημὶ δὴ τὸ εἶναι εἴδη καὶ τοῦ ἀναίμου, λέγων. [Εἰ δὲ μὴ ἐνδέχεται, τοῖς εἴδει διαφέρουσι.] καὶ τὰ ἑξῆς: διαφέρει δὲ τῷ εἴδει ἄνθρωπος καὶ ὄρνις καὶ τὰ ὅμοια. εἰ οὖν μὴ ἐνδέχεται τοῖς διαφέρουσι τῷ εἴδει, ὑπάρχειν εἶδός τι ἄτομον τῆς οὐσίας καὶ ἕν, λέγων εἶδος τι ἄτομον καὶ ἓν ἐνταῦθα, τὴν διαφορὰν: οἷον τὴν διποδίαν. εἰ οὖν μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν τῷ ἀριθμῷ διποδίαν ὑπάρχειν ἀνθρώπῳ καὶ ὄρνιθι. ἄλλη γὰρ ἡ ἐν τῷ ἀνθρώπῳ διποδία καὶ ἑτέρα ἡ ἐν τῷ ὄρνιθι ὡσαύτως ἄλλο τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἕτερον τὸ ἐν ὄρνιθι καὶ ὅτι ἕτερον καὶ ἕτερον καὶ τὸ ἔναιμον καὶ τὸ δίπουν κατασκευάζει δή του. [Ἢ οὐδὲν τῆς οὐσίας τὸ αἷμα θετέον.] Ἐλλειπῶς δὲ τοῦτο τέθειν καὶ ἀσαφῶς. εἴη αὖ τὸ πλῆρες τοιοῦτο: πότερον τὸ ἔναιμον τῆς οὐσίας ἐστὶ τοῦ ἀνθρώπου καὶ ὄρνιθος, ἢ οὔ. εἰ μὲν οὐκ ἔστιν, ἔσται ἄναιμον ὁ ἄνθρωπος καὶ ὄρνις: ὅπερ ἀδύνατον. εἴπερ δὲ τῆς οὐσίας αὐτοῦ, πότερον ἕτερον τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἕτερον τὸ ἐν ὄρνιθι, ἢ ταυτόν. εἰ μὲν οὖν ταυτὸν, ἡ μία καὶ ἡ αὐτὴ διαφορὰ ὑπάρξει δυσὶ καὶ ἔσται ὁ ἄνθρωπος καὶ ὁ ὄρνις τὸ αὐτό. λείπεται ἄρα ἕτερον εἶναι καὶ ἕτερον. εἰσὶν ἄρα εἴδη τοῦ ἐναίμου: εἰ δὲ τοῦτο ἢ ἀδύνατον, τὸ ἄναιμον καὶ τὴν στέρησιν, διαφορὰν εἶναι ἢ εἴπερ ἐστιν, ἔσονται τῆς στερήσεως εἴδη: διατί γὰρ τοῦ ἐναίμου διαφορᾶς ὄντος ἔσονται εἴδη, τοῦ δὲ ἀναίμου διαφορᾶς καὶ αὐτοῦ ὄντος, οὐκ ἔσται, ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. εἰ γὰρ μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν διαφορὰν ὑπάρχειν τοῖς διαφέρουσι τῷ εἴδει, ἔσονται τοῦ ἐναίμου εἴδη. ἀλλὰ μὴν οὐκ ἐνδέχεται ὡς δέδεικται: εἰσὶν ἄρα τοῦ ἐναίμου εἴδη. εἰ δὲ τοῦτο καὶ τοῦ ἀναίμου ὅπερ ἔδει δεῖξαι. [Ἔσονται δὲ διαφοραὶ ἴσαι τοῖς ἀτόμοις ζώοις.] Καὶ τοῦτο ἐκ τῆς εἰς δύο διαιρέσεως τῶν γηϊνῶν συνάγεται τὸ εἶναι τοσαύτας τὰς διαφορὰς ὅσα τὰ εἴδη, ἐπειδὴ γὰρ τὴν διαίρεσιν ποιοῦνται ἕως ἂν εἰς διαφορὰν καταντήσωσι μὴ ἐπιδεχομένην διαίρεσιν. αὕτη δὲ μετὰ τοῦ οἰκείου γένους εὐθὺς εἶδός ἐστι, φανερὸν ὅτι ὅσα ἄτομα ζῷα ἢ ὡς εἰδικώτατα εἴδη, τοσαῦται καὶ αἱ διαφοραί: εἴπερ ἄτομοι καὶ αὗται καὶ μηδεμία κοινή: εἰ γὰρ ἐστι κοινή τις διαφορὰ, ἔσται τὸ αὐτὸ ὑπὸ τὰς ἀντικειμένας διαφορὰς: ὅπερ ἤδη λέγειν πεπαύμεθα. τὸ δὲ [Εἰ δὲ ἐνδέχεται μὴ ὑπάρχειν καὶ κοινὴν, ἄτομον δὲ δῆλον ὅτι ἐν τῷ αὐτῷ. ἐστι.] δυνάμει τοιοῦτον ἐστι. εἰ δὲ λέγοιεν οἱ τὰς τοιαύτας διαιρέσεις ποιούμενοι, ὅτι οὐκ ἐνδέχεται ἐν τῇ τοῦ εἴδους συστάσει, κοινὴν καὶ κατ' ἄλλων εἰδῶν λεγομένην, λαμβάνειν διαφορὰν, ἀλλ' ἄτομον: εἰ δὲ τοῦτο οὐκ ἔσονται τῆς στερήσεως εἴδη: εἰς τοῦτο γὰρ πάλιν ὁ λόγος τείνει. εἰ οὖν τοῦτο φησὶ λέγοιεν, δῆλον ὡς εἰ μὴ κατὰ τὰς ἀτόμους τοῦτο συμβαίνει διαφορὰς. ἀλλὰ κατὰ τὴν κοινὴν συμβήσεται. καὶ ἔσται τὰ ἕτερα τῷ εἴδει ζῷα ἐν τῇ αὐτῇ διαφορᾷ: τοῦτο δὲ ταυτόν ἐστι τῷ εἶναι εἴδη τῶν διαφορῶν: ὥστε καὶ τῶν στερήσεων, εἴπερ καὶ αὗται διαφοραί. εἰ οὖν ἴδιοι καὶ ἄτομοι εἰσὶν αἱ διαφοραὶ, οὐκ ἔσται οὐδεμία κοινὴ, ἢ εἰ ἔσονται κοιναὶ, τὰ ἕτερα τῷ εἴδει εἰς τὴν αὐτὴν βαδιεῖται καὶ ἔσται καὶ τῆς στερήσεως ὡς πολλάκις εἴπομεν, εἴδη. ταῦτα εἰπὼν προσδιορίζεται λέγων. [Δεῖ δὲ οὔτε τὸ αὐτὸ καὶ ἄτομον εἰς ἑτέραν καὶ ἑτέραν ἰέναι διαφοράν.] ὥσπερ ὁ μύρμηξ εἰς τὸ πτερωτὸν καὶ ἄπτερον. οὔτε εἰς τὴν αὐτὴν τὰ ἕτερα, ὥσπερ ὁ ἄνθρωπος καὶ ὁ ὄρνις, εἰς τὸ δίπουν: οὕτω γὰρ ἔσται καὶ τῶν στερήσεων εἴδη.

[Καὶ πάντα εἰς ταῦτα.] τουτέστι καὶ δεῖ τὴν τοῦ ζώου διαίρεσιν οὕτω ποιεῖσθαι ἵνα πάντα τὰ ζῷα εἰς τὰς τοῦ ζώου διαφορὰς ἐμπεσεῖται. καὶ λοιπὸν συμπεραίνεται λέγων. φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐκ τῆς διχοτομίας λαβεῖν τὰ ἄτομα εἴδη. ἀναγκαῖον γὰρ κατ' ἐκείνους ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν, ὅπερ ἀδύνατον: δεῖ γὰρ τὰ εἴδη πλείονα εἶναι τῶν διαφορῶν. εἶτα καὶ δι' ὑποδείγματος σαφηνίζει πῶς συμβαίνει ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν: ἔστω γάρ φησι σαφηνείας ἕνεκα τόδε τι γένος καὶ διῃρῆσθαι πρῶτον εἰς δύο: φέρε εἰπεῖν λευκὸν καὶ μέλαν: καὶ ἑκάτερον τούτων πάλιν εἰς δύο καὶ ἔστωσαν αὗται αἱ τελευταῖαι καὶ ἄτομοι τοῦ προκειμένου γένους διαφοραί. τέσσαρες οὖν, δύο μὲν αἱ τοῦ λευκοῦ, καὶ δύο αἱ τοῦ μέλανος. ἑκάστη δὲ τούτων μετὰ τοῦ οἰκείου γένους, ὡς κἂν αὐτοὶ φαῖεν, εἴδους ἐστὶ γεννητική. τέσσαρα οὖν καὶ τὰ εἴδη. ὅσαι ἄρα αἱ διαφοραὶ τοῦ προκειμένου γένους, τοσαῦτα καὶ τὰ εἴδη. τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. τὸ δὲ ἢ ἄλλο τι πλῆθος τῶν ἀφ' ἑνὸς διπλασιαζομένων, ἴσον ἐστὶ τῷ κἂν μὴ λευκὰ καὶ μέλανα εἴη τὰ διαιρούμενα, καὶ διπλασιαζόμενα: εἰς δύο γὰρ τὸ λευκὸν διῄρηται ἓν ὄν. τὰ δὲ δύο διπλάσια τοῦ ἑνός. κἂν οὖν μὴ λευκὸν εἴη, ἀλλ' ἄλλό τι τὸ αὐτὸ ποιήσει. ἐπεὶ οὖν ἡ διαφορὰ ἐν τῷ οἰκείῳ γένει, ὡς εἶδος ἐν ὕλῃ ἐστὶν ὅσαι ἂν ὦσιν αἱ διαφοραὶ τοσαῦτα ἔσται καὶ τὰ εἴδη: οὔτε γὰρ τὰ εἴδη, τουτέστιν αἱ εἰδοποιοὶ διαφοραὶ χωρὶς ὕλης, ἤτοι χωρὶς τοῦ γένους ζῷον ποιοῦσιν, οὔτε ἡ ὕλη καὶ τὸ γένος χωρὶς τῶν εἰδῶν. [Ἔτι δεῖ τὰς διαιρέσεις ποιεῖσθαι τοῖς ἐν τῇ οὐσίᾳ.] τουτέστι δὴ τῶν οὐσιωδῶς ὑπαρχόντων, ἀλλ' οὐ τοῖς καθ' αὑτὰ συμβεβηκόσιν: ὡς οὗτοι ποιοῦσιν, ἐξ οὗ μάλιστα συμβαίνει τὸ καὶ τὸ αὐτὸ εἶδος ὑπὸ τὰς ἐναντίας πίπτειν διαφορὰς καὶ εἶναι τῶν στερήσεων εἴδη: τὸ γὰρ πτερωτὸν, καὶ ἄπτερον, καὶ ἄπουν, καὶ ὑπόπουν, τῶν καθ' ἑαυτὰ συμβεβηκότων εἰσὶ τῷ ζώῳ: ὥσπερ καὶ τῷ τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ἔτι φησὶ τοῖς ἀντικειμένοις διαιροῦσιν, οἷον εἰς λευκότητα καὶ μελανίαν, καὶ οὐχ εἰς λευκότητα, καὶ λειότητα: ἐξ οὗ συμβαίνει εἶναι εἴδη τῶν στερήσεων. [Πρὸς δὲ τούτοις,] ἐπεὶ τὰ ζῷα ἐκ ψυχῆς εἰσι καὶ σώματος, καὶ τὰ ἐν τοῖς ζῴοις, τὰ μὲν τῆς ψυχῆς εἰσι: τὰ δὲ, τοῦ σώματος: τὰ δὲ, τοῦ συναμφοτέρου ὡς ἐν τοῖς περὶ ψυχῆς εἴρηται, τὴν διαίρεσιν φησὶ τῶν ζώων κατὰ τὰ κοινὰ πάθη τῆς ψυχῆς καὶ τοῦ σώματος ποιεῖσθαι: τὸ γὰρ πτηνὸν καὶ τὸ πορευτικὸν καὶ τὰ ὅμοια τοῦ συναμφοτέρου τοῦ ἐκ ψυχῆς καὶ σώματος: συμβαίνει δ' ἐκ τούτου τὰ ἀντικείμενα τῷ αὐτῷ ὑπάρχειν ἂν ἑκαστον τῶν ἀπαριθμημένων: εἰ μὲν ὁμώνυμον τὸ ἄγριον πρόβατον καὶ ἥμερον, οὐ διῄρηται χωρὶς ἡ τοῦ προβάτου φύσις εἰς ἕτερα τῷ εἴδει: ὥσπερ χρὴ τὰς διαιρέσεις ποιεῖσθαι, ἀλλὰ μόνον τὸ ὄνομα. εἰ δὲ ἓν εἰσὶ τῷ εἴδει τὰ ἥμερα καὶ ἄγρια πρόβατα, οὐ διαφοραὶ τὸ ἥμερον καὶ ἄγριον ἀλλὰ συμβεβηκότα. τοῦτο δὲ οὐ διαίρεσις. εἰ δὲ διαφοραὶ, ἔσται τὸ αὐτὸ καὶ ἓν ἐν τοῖς ἀντικειμένοις: [Ὅλως δὲ ὁποιαοῦν διαφορᾷ μιᾷ διαιροῦντι, τοῦτο συμβαίνειν ἀναγκαῖον.] πρὸς τοῖς ἄλλοις ἀτόποις τοῖς ἐκ διαιρέσεως μεθόδῳ παρακολουθοῦσι καὶ ἐκεῖνο ἕπεται, δείξας τὸ συμβαίνειν τὸ αὐτὸ καὶ ἓν εἶδος ὑπὸ τὰ ἐναντία εὑρίσκεσθαι ἢ τὰ ἐναντία ἐν τῷ αὐτῷ. ὁ γὰρ μύρμηξ καὶ πτερωτόν ἐστι καὶ ἄπτερον, καὶ τὸ πτερωτὸν καὶ ἄπτερον ἐν τῷ μύρμηκι λέγει. ὅλως δὲ τοῖς διαιροῦσιν ὁποιανοῦν διαφορὰν μιᾷ διαιρέσει, ἤτοι δίχα, ἀνάγκη τοῦτο συμβαίνειν: ἢ ὡς τὸ τὰ ἐναντία ἐν τῷ αὐτῷ εὑρίσκεσθαι καὶ τὸ αὐτὸ εἰς τὰ ἐναντία. καὶ τοῦτο θεὶς, πάνυ διὰ βραχέων ἠνίξατο ὅπως δεῖ τὰς διαιρέσεις ποιεῖσθαι καὶ φησί. [Ἀλλὰ πειρατέον κατὰ γένος λαμβάνειν τὰ ζῷα, ὥσπερ καὶ οἱ πολλοὶ ποιοῦσιν:] παράγει δὲ τοὺς πολλοὺς συνήθως: συνήθως γὰρ αὐτῷ μαρτύρεσθαι καὶ τὴν τῶν πολλῶν ὑπόληψιν, ὅταν συμφωνῇ τῇ ἀληθείᾳ. δεῖ οὖν κατὰ γένος πειρᾶσθαι λαμβάνειν τὰ ζῷα. πῶς δὲ ῥητέον οὕτω. τοῦ ζώου τὸ μὲν, ἐστὶ πτερωτὸν: τὸ δὲ, πεζὸν: τὸ δὲ, ἔνυδρον: εἶτα τοῦ ζώου τὸ μὲν ἐστὶ πολύπουν: τὸ δὲ δίπουν. εἶτα τοῦ ζώου τὸ μὲν ἐστὶ λεπιδωτὸν τὸ δὲ φολιδωτόν. πάλιν τοῦ ζώου τὸ μὲν ἐστὶν, ἔναιμον: τὸ δ', ἄναιμον. καὶ

διαιρετέον τὸ ζῷον, εἰς ὅσα αὖ διαιρεθῆναι δύναται. εἶτα ἐπιβλεπτέον εἰς ποῖα αὖ τῶν τῆς διαιρέσεως ὁ ὄρνις ἐμπεσεῖν δύναται. κἂν μὲν ἐμπέσῃ φέρε εἰπεῖν, εἰς τὸ πτερωτὸν, εἰς τὸ ἔναιμον, εἰς τὸ δίπουν, εἰς τὸ ῥυγχωτὸν, ῥητέον ὄρνις ἐστὶ, ζῷον πτερωτὸν ἔναιμον δίπουν, ῥυγχωτὸν, καὶ ἐπὶ τοῦ ἰχθύος ὁμοίως. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὕτως οὖν τὰ τοῦ ζῴου γένη πειρατέον λαμβάνειν. ἐπιδιαιρέσεις ποιουμένοις τοῦ ζῴου. ἀλλ' οὐχὶ ἑκάστης τῶν διαιρέσεων ὑποδιαιρέσεις. κἂν οὕτω ποιῶμεν τά τε γένη καὶ τὰ εἴδη ληψόμεθα, καὶ τὰ ἑπόμενα ἄτοπα τοῖς τὰς ὑποδιαιρέσεις ποιουμένοις φευξούμεθα· εἵπετο γὰρ αὐτοῖς πρὸς ἄλλοις πολλοῖς καὶ τὸ εἶναι εἴδη τῆς στερήσεως, ἢ μὴ εἶναι τὴν στέρησιν διαφοράν. ἡμῖν δὲ ὥσπερ λέγομεν ποιουμένοις οὐχ ἕψεται τοῦτο. ἐκεῖνοι γὰρ λέγοντες, ὅτι τοῦ ζῴου τὸ μέν ἐστι πτερωτόν· τὸ δὲ ἄπτερον, καὶ ἑκάτερον τούτων, ὑποδιαιροῦντες καὶ λέγοντες. τοῦ δὲ πτερωτοῦ, τὸ μέν ἐστι σχιζόπτερον· τὸ δὲ, ἀσχιδὲς, καὶ τοῦ ἀπτέρου τὸ μέν ἐστι, πολύπουν· τὸ δ' οὐ πολύπουν. καὶ ἐπὶ τοῦ ἀναίμου, καὶ τῆς ἀναιμίας, καὶ τῶν ἄλλων ὁμοίως ποιοῦντες. οὕτως οὖν ἐκεῖνοι ποιοῦντες, ἀναγκαίως αὐτοῖς εἵπετο τὸ εἶναι εἴδη τῆς στερήσεως. ἢ ὡς τοῦ ἀπτέρου τὸ πολύπουν καὶ τὸ μὴ πολύπουν, ἢ μὴ εἶναι τὸ ἄπτερον διαφοράν. ἡμεῖς δὲ τὰς διαιρέσεις ποιοῦντες φαμὲν τοῦ ζῴου τὸ μέν ἐστιν, ἔναιμον· τὸ δ' ἄναιμον· καὶ τοῦτο εἰπόντες οὐχ ὑποδιαιροῦμεν τούτων ἑκάτερον. ὥστε ἐκ τούτου συμβαίνειν, καὶ ἡμῖν εἴδη ποιεῖν τῆς ἀναιμίας, ἀλλὰ πάλιν ἐπιδιαίρεσιν τοῦ ζῴου ποιούμεθα λέγοντες, τοῦ ζῴου τὸ μέν ἐστι πτερωτόν· τὸ δ' ἄπτερον, καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν· τὸ δ' ἄπουν. καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ἀμφίβιον· τὸ δὲ χερσαῖον· τὸ δὲ ἔνυδρον. εἶτα τοῦ ζῴου τὸ μέν ἐστι πελάγιον· τὸ δὲ πετραῖον. καὶ τὸ μὲν ἀγελαῖον. τὸ δὲ μοναδικόν. καὶ οὕτω διαιρέσαντες τὸ ζῷον εἰς ἅπαντα ὅσα ἂν διαιρεθῆναι δύναται, ὁρῶμεν εἰς τίνας τούτων ἐμπίπτει ὁ ἄνθρωπος ἢ ὁ κόραξ ἢ ἄλλο ὁποιονοῦν δύναται καὶ συντεθέντα ἀποτελοῦμεν εἶδος, ὥστε καὶ τὸ ἔναιμον μετὰ καὶ ἄλλων τινῶν οἷον φέρε τοῦ ὑπόποδος, τοῦ πτερωτοῦ συντεθέντος εἶδος μὲν ποιήσει, ὥσπερ καὶ ἄλλαι. εἴδη δὲ αὐτοῦ οὐκ ἔσται· οὐδὲ γὰρ ὑποδιαίρεσιν αὐτοῦ πεποιήκαμεν, ὥσπερ οἱ τὰς διαιρέσεις οὕτω ποιοῦντες· ἀλλὰ ταῦτα μὲν εἴρηταί μοι πρὸς σαφήνειαν τῶν λεχθησομένων. καὶ ὅπως τὰς διαιρέσεις γίνεσθαι ὁ δαιμόνιος οὗτος βούλεται. λοιπὸν δ' ἐπὶ τὰ ἑξῆς ἰέναι. δεῖ φησὶ πειρᾶσθαι λαμβάνειν κατὰ γένος τὰ ζῷα· ἔχοντες γὰρ ἁπάσας τὰς τοῦ ζῴου διαιρέσεις, οὕτω ληψόμεθα τὸν ὄρνιν, τὸν ἰχθὺν, τὰ ἄλλα καὶ ἐπεὶ πάλιν τούτων ἕκαστον τό τε ὄρνιθος, ἰχθύος καὶ τῶν ἄλλων, εἰς πολλὰ διαιρεῖται· τούτου γάρ ἐστι δηλωτικὸν τό· [Τούτων δ' ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς·] Εἴς τε μακρόπτερα καὶ κολεόπτερα καὶ εἰς ἄλλα πλεῖστα, ἔχοντες οὖν καὶ τούτων τὰς τοιαύτας διαφορὰς ἐν τῇ τοῦ ζῴου διαιρέσει· εἰς ἅπαντα γὰρ ὅσα δυνατὸν ἦν διαιρεθῆναι διῄρηται τὸ ζῷον, ληψόμεθα κατὰ τὰ τούτων εἴδη, τὸν κόρακα, τὴν κορώνην, τὸν δελφῖνα, τὸν λάβρακα, τὰ ὅμοια· εἰπὼν δὲ ὅτι τούτων ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς ἐπήγαγεν. [Οὕτω μὲν γὰρ ἤτοι οὐκ ἔστι τὸ παράπαν λαβεῖν.] τουτέστιν οὕτω μὲν ἐκ τῆς διχοτομίας κατὰ Πλάτωνα ἢ οὐκ ἔστι τὰ εἴδη λαβεῖν· εἰς πλείους γὰρ ἐμπεσεῖται διαφοράς. ὥσπερ ὁ μύρμηξ εἰς πτερωτὸν καὶ ἄπτερον ἢ μία μόνον διαφορὰ ἔσται. ἥτις ἢ ἐκ συμπλοκῆς ἢ ἁπλῶς ποιήσει τὸ τελευταῖον εἶδος. εἰ δὲ ποιεῖσθαι λόγου εἵνεκα τὸν ἄνθρωπον. τὸ δίπουν. εἰ οὖν λέγει τις ἄνθρωπος ἐστὶ ζῷον δίπουν, ἁπλῆ αὕτη. εἰ δὲ λέγει ἄνθρωπος ἐστὶ ζῷον ὑπόπουν, δίπουν ἐκ συμπλοκῆς. συνέπλεξε γὰρ τὸ ὑπόπουν τῇ ἑαυτοῦ διαφορᾷ· τὸ γὰρ δίπουν διαφορὰ ὑπόποδός ἐστι· εἴτε δὲ ἁπλῶς, εἴτε συμπεπλεγμένως τοῦτο ποιεῖ, συμβήσεται τὸ ἔναγχος λεχθέν. λέγω δὴ τὸ δὶς λαμβάνειν τὸ ὑπόπουν. ἐπεὶ δέ τις ἔμελλε προχείρως ἐνίστασθαι καὶ λέγειν. ἀλλ' οὐ ληψόμεθα τῆς τοῦ ὑπόποδος διαφορᾶς ἄλλην διαφοράν, οἷον τὸ δίπουν· ὥστε συμβαίνειν δὶς τὸ ὑπόπουν λαμβάνειν, ἀλλὰ ἑτέραν ἥτις οὐκ ἔσται ὑπὸ τὸ ὑπόπουν· εἴποιμι γὰρ ἂν φησὶν οὕτω. τοῦ ζῴου τὸ μὲν ἐστιν ἄπτερον· τὸ δὲ, πτερωτόν. ὁ δὲ κόραξ ἄπτερον μὲν οὐκ ἔστι· πτερωτὸν ἄρα. πάλιν

τοῦ πτερωτοῦ τὸ μὲν ἐστιν, ἥμερον· τὸ δέ, ἄγριον, ὁ δὲ κόραξ, ἄγριον· πάλιν τοῦ πτερωτοῦ, τὸ μέν, ἐστι λευκόν· τὸ δέ, μέλαν· ὁ δὲ κόραξ, μέλαν. ἔστιν ἄρα ὁ κόραξ ζῶον πτερωτὸν μέλαν. καὶ οὐδέτερον τούτων δὶς εἴρηται, οὔτε τὸ πτερωτόν, οὔτε τὸ ἄγριον· εἰ δὲ ταῦτα τις ἐνιστάμενος λέγει ὥσπερ φησὶ τὸ Σωκράτης περιπατεῖ. καὶ Πλάτων ἀναγινώσκει, καὶ Θεμιστοκλῆς ναυαρχεῖ, εἷς ἐστι ταῦτα λόγος· ἀλλὰ τῷ συνδέσμῳ εἷς. οὕτω κἀκείνους ἀναγκαῖον τοῖς συνδέσμοις ἕνα λόγον τοῦ κόρακος ποιῆσαι ἐκ τῶν τοιούτων διαιρέσεων· ἄλλως δ' οὐκ ἐνδέχεται· πᾶς γὰρ ἐκ τοῦ πτερωτοῦ καὶ ἀγρίου καὶ μέλανος, ἑτέρων ὄντων· ὥσπερ καὶ τὸ Σωκράτης διαλέγεται, ἕτερον τοῦ, Πλάτων βαδίζει. πῶς οὖν ἐκ τούτων ἄλλως δυνατόν ἐστιν ἕνα καὶ συνεχῆ ποιήσασθαι λόγον· εἰ μὴ τῷ συνδέσμῳ· οὐ γάρ ἐστι διαφορὰ τοῦ πτερωτοῦ τὸ ἥμερον, ἢ τὸ μέλαν, ἵνα φύσει ἓν γένωνται καὶ μὴ τῷ συνδέσμῳ. [Ἀλλ' ἑτέρας ἀρχὴ διαφορᾶς·] Ἄλλη γάρ τις διαφορὰ διαιρεῖται εἰς τὸ ἄγριον, ἀλλ' οὐ τὸ πτερωτόν. [Ἐκεῖ δὲ κατὰ συμβεβηκός.] τουτέστι κατὰ συμβεβηκός δὲ τὸ πτερωτὸν καὶ τὸ ἄγριον καὶ ἥμερον διαιρεῖται ἢ τὸ μέλαν καὶ λευκόν· διό φησιν οὐ διχοτομητέον, ἀλλ' εὐθὺς πολλαῖς διαφοραῖς τὸ ἓν διαιρετέον, ὥσπερ προείπομεν· καὶ γὰρ οὕτω μέν, ὡς ἡμεῖς λέγομεν, τὰς διαιρέσεις γίγνεσθαι, ποιήσουσι διαφορὰν αἱ στερήσεις. κατὰ δὲ τὴν διχοτομίαν οὐδαμῶς· ἔσονται γὰρ εἴδη τῆς στερήσεως. [Ὅτι δ' οὐκ ἐνδέχεται τῶν καθ' ἕκαστον εἰδῶν λαμβάνειν οὐδέν, διαιροῦσι δίχα τὸ γένος, ὥσπερ τινὲς ᾠήθησαν.] Καὶ δὴ τούτων δείκνυσιν, ὅτι ἐκ τῆς κατὰ τὴν διχοτομίαν διαιρέσεως, ἀδύνατόν ἐστι λαμβάνειν τὰ καθέκαστα εἴδη. ἰστέον δέ, ὅτι ὅτε ἔλεγε καὶ ἐν τῷ ζ'. τῶν μετὰ τὰ φυσικά, καὶ ἐνταῦθα μίαν εἶναι τὴν ἐλαχίστην διαφοράν, καθ' ἣν εἰδοποιεῖται καὶ τὸ εἶναι τὸ δέ τι λαμβάνει, τὰ εἴδη· οὐχὶ ἀρεσκόμενος τούτῳ ἔλεγεν· ἀλλ' ὡς ἑπόμενος τοῖς τὰς διαιρέσεις δίχα ποιουμένοις. εἰ γὰρ ἐκ τοῦ ζώου ὑπόποδος πεζοῦ, φέρει ὁ ἄνθρωπος ἐστί. τὸ ὑπόπουν συνεπιφέρει τὸ πεζόν, φανερώτατα ὅτι ἐκ τοῦ ζώου καὶ τοῦ πεζοῦ συνίσταται ὁ ἄνθρωπος· καὶ τοῦτο μὲν προλελέχθω πρὸς δήλωσιν τῆς τοῦ Ἀριστοτέλους γνώμης καὶ βουλήσεως· εἰπὼν δὲ ὅτι κἀντεῦθεν δῆλον ὡς οὐκ ἐνδέχεται οὐδὲν τῶν καθέκαστον εἰδῶν λαμβάνειν δίχα διαιροῦσιν, ἐπήγαγεν· [Ἀδύνατον γὰρ μίαν ὑπάρχειν διαφορὰν τῶν καθέκαστον διαιρετῶν·] τουτέστιν ἀδύνατον γὰρ ὑπὸ μιᾶς διαφορᾶς συνίστασθαι τὸ ἄτομον εἶδος, τὸ διαιρούμενον εἰς τὰ καθέκαστα καὶ ἓν ἀριθμῷ· τὸ γὰρ ἐλάχιστον πᾶν εἶδος ἐκ δύο διαφορῶν συνίσταται. εἴρηκε δὲ τό. [Τῶν καθέκαστον διαιρετῶν.] Ἀντὶ τοῦ τῶν εἰς τὰ καθέκαστα καὶ ἓν ἀριθμῷ διαιρουμένων· ὁ γὰρ ἄνθρωπος εἰς Σωκράτην, Πλάτωνα, καὶ τοὺς ἄλλους, τοὺς καθέκαστα διαιρεῖται. εἰ οὖν ἀδύνατον ἐκ μιᾶς διαφορᾶς, μὴ διαιρουμένης εἰς ἄλλας διαφοράς, συνίστασθαι τὰ εἴδη· ἐκ δὲ τῆς κατὰ διαίρεσιν διχοτομίας τοιαύτας διαφορὰς δύο ἢ τρεῖς λαβεῖν οὐκ ἐνδέχεται, εἰ μὴ μίαν μόνην, πῶς εἰδότι λέγειν, ὅτι ἐκ τῆς διχοτομίας ληψόμεθα τὰ εἴδη· σαφέστερον δὲ ἔσται τὸ λεγόμενον ἐκ τοῦ παραδείγματος· κείσθω εἶναι τοῦ κόρακος ὁρισμὸν τὸ ζῶον, δίπουν, ἐγχωτόν· δέον δὲ ἔστω ἐκ τῆς διχοτομίας λαβεῖν τὸν τοιοῦτον ὁρισμόν. διαιρετέον οὖν κατ' ἐκείνους οὕτω. τὸ ζῶον διαιρεῖται εἰς πτερωτὸν καὶ ἄπτερον. τὸ πτερωτὸν εἰς ὑπόπουν καὶ ἄπουν. τὸ ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, ὁ δὲ κόραξ πολύπουν μὲν οὐκ ἐστι, δίπουν. κείσθω δὲ ὅτι καὶ τὸ δίπουν τελευταῖον ἐστι καὶ ἐσχάτη διαφορὰ καὶ εἰς ἄλλας διαιρεῖσθαι μὴ δυναμένη. ἔστιν ἄρα ὁ κόραξ ζῶον δίπουν, ἀλλ' οὐκ ἐκ τοῦ δίποδος μόνον καὶ τοῦ ζώου ὑπόκειται συγκεῖσθαι, ἀλλὰ καὶ ἐκ τοῦ ἐγχωτοῦ. τὸ δὲ ἐγχωτὸν ἐκ τῆς τοιαύτης διαιρέσεως οὐδαμῶς ἐπακολουθοῦσαν ἔχομεν. ἀνάγκη οὖν καὶ ἄλλην διαίρεσιν ποιήσασθαι ἵνα ἐκ ταύτης ληφθῇ καὶ τὸ ἐγχωτόν. εἰ οὖν, ὥσπερ λέγομεν, τὰ εἴδη ἐκ πλειόνων ἀτόμων διαφορῶν συνίστανται· ταύτας δὲ ἐκ μιᾶς διαιρέσεως λαβεῖν οὐκ ἐνδέχεται· ἀνάγκη δύο ποιεῖν διαιρέσεις, εἰ δύο εἰσὶν αἱ συστατικαὶ διαφοραί, ἢ τρεῖς, ἐὰν τρεῖς, τί οὐκ εὐθὺς διαιροῦμεν τὸ ζῶον εἰς ὅσα δυνατὸν ἦν

διαιρεθῆναι κἀκεῖθεν λαβόντες τὰς συμπληρωτικὰς τοῦ κόρακος διαφορὰς ἀποπλέξομεν τὸν κόρακα· ἀλλὰ πολὺν χρόνον πονοῦμεν καὶ κακοπαθοῦμεν, τῇ ἐκ τῆς διχοτομίας διαιρέσει. ἡ μὲν οὖν αἰτία, δι' ἣν καὶ νῦν κακίζει τὴν διχοτομίαν διὰ τὸ μὴ δύνασθαι ἐκ ταύτης λαμβάνειν, αὕτη ἐστίν. εἰπὼν δὲ ὅτι ἀδύνατον γὰρ μίαν ὑπάρχειν τὴν συστατικὴν διαφορὰν τῶν εἰς τὰ καθέκαστα, καὶ ἓν ἀριθμῷ διαιρουμένων εἰδῶν, προσέθηκε τὸ [Ἐάν τε ἁπλᾶ λαμβάνῃ, ἐάν τε συμπεπλεγμένα.] τουτέστιν εἴτε τὴν τελευταίαν διαφορὰν μόνην μετὰ τοῦ γένους λαμβάνῃ ἡνίκα λέγει ζῷον δίπουν, εἴτε συμπεπλεγμένην, ὅταν μετὰ τῆς καθολικωτέρας, ἐπειδὰν λέγῃ ζῷον ὑπόπουν, δίπουν· εἴτε οὖν ἁπλᾶ, εἴτε συμπεπλεγμένα, ἀδύνατον ἐκ μιᾶς διαφορᾶς τὸ εἶδος συνίστασθαι. σαφηνίζων δὲ τί τὸ ἁπλοῦν καὶ τί τὸ συμπεπλεγμένον, προσέθηκε τὸ [Ἁπλᾶ μὲν, ἐὰν μὴ ἔχῃ διαφοράν.] τουτέστιν ἐὰν ἡ ἐσχάτη διαφορὰ μετὰ τοῦ οἰκείου γένους μόνου ληφθῇ. οἷον τὸ σχιζόπουν μετὰ τοῦ ζῴου· συμπεπλεγμένα δὲ, ἐὰν ἡ καθολικωτέρα διαφορὰ μετὰ τῆς ὑπ' αὐτὴν καὶ τοῦ οἰκείου γένους συντεθῇ, οἷον ζῷον σχιζόπουν πολυσχιδές· καθολικώτερον δὲ τὸ σχιζόπουν τοῦ πολυσχιδοῦς· τὸ δὲ. [Τοῦτο γὰρ ἡ συνέχεια βούλεται.] ἴσον ἐστὶ τῷ· βούλεται γὰρ αὐτοῖς ἡ συνέχεια καὶ ἡ σύνδεσις τῶν καθολικωτέρων διαφορῶν μετὰ τῶν μερικωτέρων ἕν τι ἐκ τῶν πολλῶν ποιεῖν. καὶ ἐπὶ τούτῳ συντιθέασι τὰ πολλά· τοῦτο δ' ἂν οἶμαι εἰδοποιητικὸν εἴη τοῦ, ὅτι οὐκ ἐνδέχεται ἐκ μιᾶς διαφορᾶς συνίστασθαι εἶδος τὸ οἱονοῦν. ὡς ἂν εἰ ἔλεγε τοσοῦτον ἐστὶ χρεία πλειόνων μιᾶς διαφορᾶς εἰς σύστασιν παντὸς εἴδους, ὥστε καὶ ἐκεῖνοι πολλὰς λαμβάνοντες, πειρῶνται ἕν τι ἐξ αὐτῶν ἀποτελεῖν. ἀλλὰ κἄν ποτε τὸ γένος λάβωσι καὶ τὴν τελευταίαν μόνην διαφορὰν, οἷον τὸ ζῷον, ἢ τὸ ζῷον καὶ τὸ πολυσχιδὲς ἐν τῷ λέγειν καὶ τῷ προφορικῷ λόγῳ. αὕτη δὴ τῇ ἐκφωνουμένῃ φωνῇ δοκεῖ. ὅτι μία ἐστὶ διαφορά· κατὰ ἀλήθειαν δὲ οὐ μία, ἀλλὰ πολλαὶ διὰ τὸ συνεπιφέρειν τὴν ἐσχάτην τὰς πρὸ αὐτῆς, κἂν μὴ ἐκφωνῶνται. τοσοῦτον δὲ συνεπιφέρει, ὥστε κἂν ἐκφωνηθείη, ἢ τὸ πολύπουν, ἢ τὸ ὑπόπουν, περίεργον καὶ μάτην εἰρῆσθαι δοκεῖ. εἰπὼν οὖν, ὅτι ἀδύνατον ἐκ μιᾶς ἀτόμου διαφορᾶς συνίστασθαι τὸ εἶδος λέγει. [Ὅτι δὲ ἀδύνατον.] ἐκ τῆς μιᾶς διχοτομίας πλείους λαβεῖν τοιαύτας διαφορὰς ἤγουν ἀτόμους, δῆλον· ἀεὶ γὰρ βαδίζων ἐκ τῆς διαιρέσεως ἐπὶ τὴν ἐσχάτην μὲν βαδίζει, καὶ ἄτομον διαφοράν· ἀλλ' οὐκ ἐπὶ τὴν εἰδοποιὸν, καὶ πληρωτικὴν τοῦ εἴδους, διὰ τί; ὅτι οὐκ ἐκ μιᾶς, ὡς πολλάκις εἴρηται, συνίσταται διαφορᾶς τὸ οἱονοῦν εἶδος· αὕτη δὲ ἡ ἐσχάτη διαφορὰ εἰς ἣν οἱ διχοτομοῦντες καταντῶσιν, ἢ τὸ σχιζόπουν ἐστὶ μόνον· εἰ γὰρ τὸ σχιζόπουν μόνον μετὰ τοῦ ζῴου λήψεται ὁ τὸν ἄνθρωπον λαβεῖν ζητῶν, ἢ καὶ τὰς ἐπάνω τοῦ σχιζόποδος τὸ ὑπόπουν, καὶ τὰς λοιπάς· σύμπλεξιν γὰρ τὴν σύνθεσιν εἴρηκε τῶν καθολικωτέρων μετὰ τῶν μερικωτέρων διαφορῶν. ἀλλ' εἰ μὲν ἦν ὁ ἄνθρωπος ζῷον σχιζόπουν μόνον, δυνατὸν ἦν ληφθῆναι τὸν ἄνθρωπον, ἐκ τῆς κατὰ διχοτομίαν διαιρέσεως. νῦν δ' ἐπειδὴ οὐκ ἔστιν ἀπὸ ζῴου, καὶ σχιζόποδος, ἀλλὰ καὶ ἐξ ἄλλων αἵτινες οὐκ εἰσὶν ὑπὸ τὴν αὐτὴν διαίρεσιν, ἐξ ἧς τὸ σχιζόπουν ἐλήφθη, ἀλλ' ἄλλη μὲν διαίρεσις τελευτᾷ καὶ περατοῦται εἰς τὸ σχιζόπουν. ἄλλη δὲ εἰς ἄλλο· νῦν δ' ἐπειδὴ οὐκ ἔστι τοῦτο, ἀδύνατον ὁτιοῦν τῶν καθέκαστον ζῴων λαβεῖν, διαιρουμένους δίχα· λέγων πάλιν καθέκαστον ζῷον τὸ εἰδικώτατον εἶδος. [Ἀπορήσειε δ' ἄν τις διατί οὐκ ἄνωθεν ἑνὶ ὀνόματι ἐμπεριλαβόντες ἅμα ἓν γένος προσηγόρευσαν οἱ ἄνθρωποι·] ζητήσειεν ἄν τις φησὶ, διατί οἱ ἄνθρωποι, ὥσπερ κόρακα, κορώνην, ἀετὸν, τὰ τοιαῦτα κοινῷ ὀνόματι τῷ ὄρνιθι, προσηγόρευσαν ὄρνιθας, οὐχ οὕτω καὶ τὸ πτηνὸν, καὶ ἔνυδρον ἐκάλεσαν φέρε εἰπεῖν, ἔμψυχον, ἢ αἰσθητικὸν· ὥσπερ ἐκεῖνο ὄρνις· εἰ γὰρ διὰ τὸ ἔχειν κοινὰ πάθη ὅτι κόραξ, ἡ κορώνη, ὁ ἀετὸς, ταῦτα δ' ἂν εἴη τὸ ῥύγχος, τὸ πτερὸν, τὰ λοιπὰ, ὅσα κοινῶς αὐτοῖς ὑπάρχει, εἰ οὖν διὰ τὴν τῶν παθῶν κοινωνίαν κοινῷ ὀ-

ὀνόματι ὄρνιθας αὐτὰ προσηγόρευσεν, διατί οὐ καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον; εἰσὶ γὰρ καὶ ἐν τούτοις τῷ πτηνῷ καὶ ἐνύδρῳ, ἔνια τινὰ κοινὰ πάθη; θεὶς οὖν τὴν ἀπορίαν λύει αὐτὴν, λέγων. καλῶς τοῦτο πεποιήκασιν οἱ ἄνθρωποι καὶ τὰ μὲν ἑνὶ ὀνόματι περιέλαβον· τὰ δὲ ἐχώρισαν. καὶ ἄλλως μὲν ταῦτα. ἑτέρως δὲ ἐκεῖνα προσηγόρευσαν· ὅσα μὲν γὰρ κατὰ τὴν φύσιν οὐ διαφέρει, ἀλλὰ μόνην τὴν ὑπεροχὴν καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. [Ταῦτα ὑπέζευκται ἑνὶ γένει.] τουτέστι ταῦθ' ὡς ἕν τι γένος περιέλαβον. καὶ κοινῷ ὀνόματι προσηγόρευσαν τὸ εἶπε, οἷον ὄρνιν ἢ ἰχθῦν· τὸ γὰρ τοῦ κόρακος πτερὸν ἢ τὸ ῥύγχος καὶ τοῦ πυργίτου ὁμοίως καὶ τῶν λοιπῶν ὀρνίθων, ἢ πτερὰ καὶ ἡ ῥύγχη. οὐδὲν διαφέρει· μόνῳ δὲ τῷ μακρῷ καὶ βραχεῖ· τὰ μὲν γὰρ τῶν ὀρνίθων ἐστὶ μακρότερα· τὰ δὲ βραχύτερα· ἀλλὰ καὶ οἱ πόδες γεράνου, καὶ πυργίτου, καὶ ἀλεκτορίδου, καὶ ἀετοῦ, τῷ μὲν σχήματι διαφέρουσιν οὐδέν· τῷ μᾶλλον δὲ καὶ ἧττον. ἀλλὰ καὶ κατὰ τὰ ἄλλα μέρη πολλὴν ἔχουσιν ἅπαντες οἱ ὄρνιθες πρὸς ἄλληλα τὴν ὁμοιότητα. ὅσα μὲν οὖν ἦν τοιαῦτα, ταῦτα ὑπέζευκται ἑνὶ γένει· ὅσα δὲ μὴ τῇ φύσει κοινωνεῖ, ἀλλὰ διαφέρει. μόνῃ δὲ τῇ ἀναλογίᾳ ἔχουσι ταυτὸν, ταῦτα κεχώρισται, καὶ διαφόροις ὀνόμασιν ὠνόμασταί τε. καὶ ὡς διάφορα φύσει νενόμισται· τίνα γὰρ κοινωνίαν φύσεως ἢ ταυτότητα ἔχει λεπὶς καὶ πτερὸν, ἢ βραγχίον καὶ πνεύμων. ὥστε ὡς μία τις φύσις λογίζεσθαι ὁ ὄρνις, καὶ ὁ ἰχθῦς. καὶ δὴ τοῦτο καὶ κοινῷ ὀνόματι πρὸς τῇ ταυτότητι τῆς φύσεως προσαγορεύεσθαι, πάντως οὐδεμίαν, ἀλλὰ μόνῃ τῇ ἀναλογίᾳ τὸ ταυτὸν σώζει· ὃ γὰρ ἐν κόρακι ποιεῖ πνεύμων, τοῦτο ἐν λαβράκι ποιεῖ βραγχίον. τὸ δέ. [Τοῦτο δὲ ποιεῖν ἐπὶ πᾶσιν οὐ ῥᾴδιον] εἴρηται ἀντὶ τοῦ ἐπὶ πᾶσι δὲ εὑρίσκειν κοινότητα μὲν φύσεως, ὥσπερ ἐπὶ τῶν πτερῶν, καὶ τῶν ῥυγχῶν· διαφορὰν δὲ κατὰ μόνον τὸ μᾶλλον, καὶ ἧττον, οὐ ῥᾴδιον· τὰ γὰρ πλεῖστα τῶν ζῴων τῇ ἀναλογίᾳ τὸ ταυτὸν σώζει· οὐ τῇ φύσει· εἰ δὲ τοῦτο, πῶς οἷόν τ' ἦν ἅπαντα ἑνὶ προσαγορεῦσαι ὀνόματι; [Ἐπεὶ δὲ οὐσίαι μὲν εἰσὶ τὰ ἔσχατα εἴδη] ἡ μὲν τοῦ ῥητοῦ διάνοια τοιαύτη, ὅτι μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη τῶν γενῶν· ἐλλιπῶς δὲ πέφρασται· λείπει γὰρ τὸ, τὰ διαιρούμενα εἰς τὰ ἔσχατα. λέγων ἔσχατα Σωκράτην, Πλάτωνα, ἁπλῶς τὰ ἄτομα, καὶ εἴη ἂν τὸ πλῆρες τῆς λέξεως τοιοῦτον. ἐπεὶ δὲ μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη, τὰ εἰς τὰ ἄτομα προσεχῶς διαιρούμενα, ταῦτα δὲ, τὰ ἄτομα, κατ' εἶδος ἀδιάφορα καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ λεγόμενον λύσις ἀπορίας τινὸς, δυναμένης φέρεσθαι πρὸς τὰ λεγόμενα· ἠπόρησε γὰρ αὐτῆς. ἐπειδὴ μᾶλλον οὐσίαι τὰ εἴδη τῶν γενῶν εἰσὶ, διὰ τί οὐκ ἐπὶ τῶν μᾶλλον οὐσιῶν τὰ μέλλοντα δείκνυσθαι, δεικνύεις; ἀλλ' ἐπὶ τῶν καθολικωτέρων, ἃ ἧττον εἰσὶν οὐσίαι. δεῖ δὲ τὰς δείξεις ἐπὶ τῶν μᾶλλον ὄντων ποιεῖσθαι· μᾶλλον δὲ ὄντα αἱ μᾶλλον οὐσίαι. πρὸς δὴ τοιαύτην ἀπορίαν ἐπάγει ταῦτα, δυνάμει λέγων· εἰ μὲν γὰρ εἰσὶ μᾶλλον οὐσίαι τὰ ἔσχατα εἴδη· ὅ, τι κόραξ, κορώνη, καὶ τὰ ὅμοια, δεῖ ἐπὶ τούτων τὰς δείξεις ποιεῖσθαι. εἰ δὲ ἐκ τούτων συμβαίνει πολλάκις τὰ αὐτὰ λέγειν, ὥσπερ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου εἴπομεν, ἀναγκαῖον τὰ καθόλου καὶ κοινῶς πᾶσιν ὑπάρχοντα πρῶτον εἰπεῖν· εἰ δέ που καὶ ἴδιά τινα πρόσεστιν αὐτοῖς, ὕστερον καὶ περὶ τούτων λελέξεται.

[Ἀπορίαν δ' ἔχει περὶ πότερα δεῖ πραγματεύεσθαι.] τὴν προρρηθεῖσαν ὑφ' ἡμῶν ἀπορίαν νῦν ἐκτίθεται καὶ λύει· ἔχει γάρ φησιν ἀπορίαν περὶ ποῖα δεῖ τὴν πραγματείαν ποιεῖσθαι. [Ἡ μὲν γὰρ οὐσία τὸ τῷ εἴδει ἄτομον κράτιστον.] τουτέστι καὶ εἰ μὲν γὰρ οὐσία κράτιστον καὶ κυριώτατον τὸ τῷ εἴδει ἄτομόν ἐστι· τοῦτο δὲ ταυτόν ἐστι τῷ, ἐπεὶ δὲ κρατίστη καὶ κυριωτάτη καὶ μᾶλλον οὐσία ἐστὶ τὸ ἄτομον καὶ εἰδικώτατον εἶδος· μᾶλλον γὰρ οὐσία τὸ εἶδος τοῦ γένους, ὥσπερ καὶ Σωκράτης, καὶ ὅλως τὰ ἄτομα τῶν εἰδῶν, εἴ τις ἐν τοῖς τοιούτοις εἴδεσι δύναται τὴν πραγματείαν οὕτω ποιεῖσθαι χωρὶς μὲν περὶ ἀνθρώπου· χωρὶς δὲ περὶ ὄρνιθος, λέγων ὄρνιθα οὐ τὸ τῶν ὀρνίθων γένος, ἀλλὰ στρουθὸν, ἢ γέρανον, ἢ τοιοῦτον ὃ καὶ σαφηνίζων ἐπήγαγεν· [Ἔχει γὰρ εἴδη τὸ γένος τοῦτο.] δυνάμει λέγων. ἐπεὶ ὁ ὄρνις λέγεται μὲν καὶ κατὰ τοῦ

τῶν ὀρνίθων γένους, λέγεται δὲ καὶ κατὰ τῶν τοῦ ὄρνιθος εἰδῶν, κόρακος. καὶ κορώνης, τῶν ἄλλων: ὄρνιθος εἰπὼν, οὐ τὸ γένος εἶπεν τῶν ὀρνίθων, ἀλλ' εἶδος ὄρνιθος: εἴτις γοῦν δύναιτο τὴν πραγματείαν ποιεῖσθαι περὶ ὁτουοῦν ὄρνιθος, ὥστε μὴ πολλάκις λέγειν τὰ αὐτὰ, δικαίως ἂν τοῦτο ποιήσειεν. ὁ δὲ τίς φησὶν ὄρνις ἢ στρουθός ἐστιν, ἢ γέρανος, ἢ ἄλλο τι τοιοῦτον ἢ δὲ περὶ ἑνὸς ἑκάστου τούτων λέγειν συμβαίνει πολλάκις λέγειν περὶ τοῦ αὐτοῦ πάθους, διὰ τὸ κοινῶς πλείοσιν ὑπάρχειν. ταύτη δ' ἐστὶν ὑπάτοπον τὸ χωρὶς περὶ ἑκάστου λέγειν: ὑπάτοπον δέ ἐστι τὸ μεταξὺ ἀτόπου καὶ μὴ ἀτόπου, ὥσπερ ὑπόξηρον τὸ μεταξὺ χλωροῦ καὶ ξηροῦ: Ταῦτα εἰπὼν πάλιν ἐπικρίνει λέγων. [Ὅσα καλῶς οἱ ἄνθρωποι ὥρισαν,] ἤτοι συνήθροισαν. καὶ ὡς μίαν τινὰ φύσιν, καὶ ἕν τι γένος τετάχασι διὰ τὸ μὴ πολὺ διεστάναι ἀπ' ἀλλήλων, ὁποῖόν ἐστιν ὁ ὄρνις: τοῦτο γὰρ ὡς ἕν τι γένος, καὶ μίαν φύσιν νομίζεσθαι ἔθεντο, διὰ τὸ μὴ πολὺ διεστηκέναι κόρακα, κορώνης. καὶ τοὺς ἄλλους ὄρνιθας ἀπ' ἀλλήλων: ὅσα δὴ οὖν τοιαῦτα, δεῖ περὶ τούτων κοινῶς λέγειν. [Ὅσα δὲ μὴ τοιαῦτα, καθέκαστον.] τουτέστι χωρὶς περὶ ἑνὸς ἑκάστου, οἷον χωρὶς μὲν περὶ ἀνθρώπου, καὶ ἰδίως περὶ ἵππου. τίνα δὲ εἰσὶν ἅπερ ὡς ἕν τι γένος ἐτάχθη, ἐπήγαγεν εἰπὼν. σχεδὸν γὰρ ὅσα τῶν μορίων ἔχει ὁμοιότητα, καὶ ὅλον τὸ σῶμα, ὡρίσαι τε, καὶ ὡς μία τις φύσις, καὶ ἕν τι γένος νενόμισται, καὶ καθ' ἑαυτὴν κεχωρισμένη, καὶ τῶν ἄλλων ἀφωρισμένη εἶναι λελόγισται, ὥσπερ ὁ ὄρνις, ὁμοίως καὶ τὰ μαλάκια: καὶ ταῦτα γὰρ διὰ τὴν τῶν μορίων ὁμοιότητα, ὡς γένος εἶναι διώρισαν. ἀλλὰ καὶ τὰ ὄστρεια: τὰ γὰρ μόρια τούτων οὐ τῇ ἀνάλογον ὁμοιότητι τὸ ταυτὸν ἔχει. τῇ φύσει δὲ καὶ τῷ σχήματι τὸ διάφορον. ἀλλὰ μόνοις τοῖς πάθεσι. μεγέθει καὶ μικρότητι, λειότητι τραχύτητι, καὶ ὅλως τῷ μᾶλλον καὶ ἧττον. ταῦτα εἰπὼν συμπεραίνεται τὸν ἅπαντα λόγον. λέγων. [Πῶς μὲν οὖν ἀποδέχεσθαι χρὴ τὴν περὶ φύσεως μέθοδον.] καὶ τὰ ἑξῆς. σαφῆ δὲ τὰ λοιπὰ, διὰ τὸ τούτων τὰ μὲν εἰπεῖν αὐτὸν ἐν τῷ περὶ οὐρανοῦ, τὰ δὲ καθαρῶς ἐνταῦθα καὶ σαφῶς ἀπαγγέλλειν, ὅμως εἰσί τινα δεόμενα βραχείας ἐπιστάσεως: ὧν οὐδὲν ἀνεξέταστον καταλειφθήσεται. αὐτίκα τό. [Ἀντικαταλλάττεται τι πρὸς τὴν περὶ τὰ θεῖα φιλοσοφίαν,] εἴρηται ὥσπερ ἂν εἰ ἔλεγε. πρὸς ἡμᾶς τὰ φυτὰ, καὶ ζῶα ἄνθρωποι: εἰ γὰρ τίμια, καὶ θεότατα τὰ οὐράνια σώματα τυγχάνει. ἀλλ' οὖν ἐπειδὴ ἔνεστι, καὶ ἡμῖν πολλὰ θαυμάσια ποιητέον λόγον, καὶ ἡμῶν, καὶ μὴ πάντη καταφρονητέον. μὴ κεχαρισμένα δὲ πρὸς αἴσθησιν εἴρηκε τὰ ἀηδέστατά τε, καὶ ἀπεχθέστατα: οἷον ἐστὶν ὁ κοχλίας, καὶ ἄλλα πάμπολλα. καὶ τό. [Μὴ δυσχεραίνειν παιδικῶς.] ἴσον ἐστὶ τῷ, οὐ δεῖ, ὥσπερ τοὺς παῖδας φεύγειν μὴ τὰ ἡδέα τῶν ζώων, ἀλλὰ προσιέναι τούτοις διὰ τὸ ἐν αὐτοῖς θαυμάσιον. τὸ δὲ περὶ Ἡρακλείτου τοιοῦτόν ἐστιν. Ἡράκλειτος ὁ ἐφέσιος καθήμενος ἐν τῷ ποτὲ τοῦ ἰπνοῦ. ἰπνὸς δέ ἐστιν οἷον οἰκίδιον, ἐν ᾧ τοὺς ἄρτους ἕψομεν: ἀφ' οὗ καὶ ἰπνίτης ἄρτος λέγεται. καθήμενος οὖν ἐν τῷ τοῦ ἰπνοῦ καὶ θαλπόμενος ἐκέλευσε τοὺς προσιόντας αὐτῷ ξένους εἰσελθεῖν: εἶναι γάρ φησι, καὶ ἐνταῦθα θεοὺς: τὸ γὰρ πάντα πλήρη θεῶν, Ἡρακλείτειον ἐστι δόγμα. καὶ ἐπεὶ μάλιστα ἐν τοῖς τῆς φύσεως ἔνεστι τὸ οὗ ἕνεκα: ἕκαστον δὲ οὗ ἕνεκα τέλους ἢ ἐστιν ἢ γίνεται, ὡς τέλος τὴν τοῦ καλοῦ χώραν εἴληφε: πᾶν γὰρ τὸ γινόμενον ἕνεκά τινος ὡς καλοῦ ἐκείνου ἐφιέμενον γίνεται. ἐπεὶ οὖν οὕτω ταῦτα σκεπτέον περὶ αὐτῶν: εἰ δέ τις ἄτιμον νενόμικε τὴν θεωρίαν τῶν μορίων, ἐξ ὧν τὰ ἄλλα ζῶα συνέστηκε, διὰ τὸ μὴ ποιεῖν ἡδύτητα τῇ αἰσθήσει, τοῦτο καὶ περὶ ἑαυτοῦ νομιζέτω: τίνα γὰρ ἡδονὴν ἐμποιεῖ καταμήνιον ὁρώμενον, ἢ χιτὼν ὁ περιέχων τὸ βρέφος, ὅτε ἐξέρχεται ἐκ τῆς κοιλίας τῆς μητρὸς ἢ σάρκες, νεῦρα, τὰ τοιαῦτα, ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε: τούτου γάρ ἐστι δηλωτικὸν τό. [Οὐκ ἔστι γὰρ ἄνευ πολλῆς δυσχερείας ἰδεῖν, ἐξ ὧν συνέστηκε τὸ τῶν ἀνθρώπων γένος:] δυσχέρειαν εἰπὼν τὴν γινομένην τῇ αἰσθήσει λύπην: καὶ ὡς ἂν εἴποι τις ἀηδίαν: ταῦτα εἰπὼν πάλιν διορίζει τὰ περὶ τὴν ὕλην, καὶ τὸ εἶδος, λέγων: δεῖ νομίζειν τὸν διαλεγόμενον περὶ οὐτινος οὖν

τινος οὖν μορίου τῶν ζώων, ἢ καὶ περὶ σκεύους, μὴ περὶ τῆς ὕλης μόνης ποιεῖσθαι τὴν μνήμην, μηδὲ ταύτης χάριν. [ἀλλὰ] περὶ [τῆς ὅλης μορφῆς:] λέγων ὅλην μορφὴν τὸ σύνθετον, τὸ ἐξ ὕλης, καὶ εἴδους: εἴτε τοῖς κατὰ τέχνην, καὶ ἐν τοῖς φυσικοῖς: καὶ ἐν τοῖς φυσικοῖς γὰρ περὶ τῆς ὅλης οὐσίας, τῆς ἐξ ὕλης, καὶ εἴδους ποιητέον τὴν μνείαν, ἀλλὰ μὴ περὶ τῆς ὕλης: ἥτις οὐδέποτε χωρίζεσθαι πέφυκε τῆς οὐσίας αὐτῶν: τούτου γὰρ ἐστι δηλωτικὸν τό. [Αλλὰ μὴ περὶ τούτων ἃ μὴ συμβαίνῃ χωριζόμενά ποτε τῆς οὐσίας αὐτῶν:] οὐδέποτε γὰρ χωρὶς τῆς οἰκείας ὕλης, ἢ ἡ σάρξ, σάρξ ἐστιν: ἢ ἡ χείρ, χείρ, ἢ ἄλλο τι τῶν τοιούτων: τὸ δὲ [πράξεώς τινος ἕνεκα πλήρους.] τὸ πλήρους αἴτι τῆς ὅλης: ἐν γὰρ ἡ χεὶρ ἕνεκα τινὸς πράξεως συνέστηκε, καὶ ὁ ὀφθαλμὸς δηλονότι, καὶ τὸ ὅλον σῶμα ἕνεκα πράξεως ὅλης συνέστηκε, καὶ ὃν λόγον ἔχει τὰ μέρη πρὸς τὸ ὅλον, τὸν αὐτὸν καὶ αἱ τῶν μερῶν πράξεις πρὸς τὴν τοῦ ὅλου: λέγει δὲ καὶ τινῶν αἱ κοιναὶ πράξεις, καὶ τινῶν, οὔ. κοιναὶ μὲν οὖν εἰσι πράξεις φησὶν, ὅσαι πᾶσιν ὑπάρχουσι τοῖς ζώοις: [Κατὰ γένος δὲ ὅσων παράλληλα τὰς διαφορὰς ὁρῶμεν καθ' ὑπεροχὴν οὔσας.] τουτέστιν, ὅσα γὰρ τὰ μέρη, παράλληλα τιθέμενα καὶ ἐξεταζόμενα, μὴ ἔχει διαφορὰς τῆς φύσεως: μόνῳ δὲ τῷ μᾶλλον, καὶ ἧττον: πτερὸν γὰρ, πτεροῦ: καὶ ἔγχελυς, ἐγχέλυος, τῷ μᾶλλον καὶ ἧττον μόνῳ διαφέρουσιν. [Οσαι μὲν οὖν πράξεις ἄλλων ἕνεκα δῆλον ὅτι καὶ ὧν αἱ πράξεις τὸν αὐτὸν τρόπον διεστᾶσι.] τὸ λεγόμενον ὧδε ἔσται φανερόν. πρᾶξις ἐστὶ καρδίας τὸ γεννᾶσθαι ἐν αὐτῇ τὸ ἔμφυτον θερμόν: πράξεις δὲ χειρὸς εἰσὶ μὲν καὶ ἄλλαι, ἀλλὰ καὶ τὸ προσάγειν τὰ βρώματα ἐν τῷ στόματι: ὀδόντων δὲ τὸ λεαίνειν αὐτά: κοιλίας τὸ δέχεσθαι καὶ ἕψειν: ἥπατος τὸ αἱματοῦν: αὗται δὲ πᾶσαι αἱ πράξεις ἕνεκα τῆς πράξεως, τῆς καρδίας εἰσί. διὰ γὰρ τὸ ἔμφυτον θερμὸν ταῦτα πάντα γίνεται, καὶ ἔστι τῇ τῆς καρδίας πράξει ἐγγυτέρα ἡ τοῦ ἥπατος: πορρωτέρα δὲ ἡ τῆς κοιλίας, καὶ ταύτης ἡ τῶν ὀδόντων, καὶ ταύτης ἡ τῶν χειρῶν. τούτων οὖν προρρηθέντων, τὸ λεγόμενον ἐστὶ τοιοῦτον. [Οσαι μὲν οὖν πράξεις ἄλλων ἕνεκα:] αὐτίκα ἡ τοῦ ἥπατος πρᾶξις καὶ τῆς κοιλίας, καὶ τῶν ἄλλων, ἕνεκα τῆς πράξεως εἰσὶ τῆς καρδίας. ὅσαι οὖν πράξεις ἄλλων πράξεων, ἢ ἄλλης ἕνεκα εἰσὶ, δῆλον, ὅτι ὡς αἱ πράξεις, πρὸς τὴν πρᾶξιν: οὕτω καὶ τὰ μόρια, ὧν αἱ πράξεις, πρὸς τὸ μόριον: ἐγγυτέρα δὲ, ὡς εἴρηκα, ἡ τοῦ ἥπατος πρᾶξις τῇ τῆς καρδίας πράξει. καὶ τὸ ἧπαρ ἄρα ἐγγύτερον τῇ καρδίᾳ, ἢ περ τἆλλα μόρια: ἐγγύτερον δὲ οὐ τῷ τόπῳ, καίτοι ἴσως καὶ τοῦτο, ἀλλ' ὡς ἡ πρᾶξις ἔχει τὸ ἐγγὺς, οὕτω καὶ τὸ μόριον, καὶ ἀντιστρέφει τὸν λόγον, λέγων. [Ομοίως δὲ κἂν ἔτι τινῶν εἰσι πρότεραι πράξεις] καὶ τυγχάνωσιν οὖσαι τέλος ἑτέρων πράξεων, τὸν αὐτὸν τρόπον ἕξει τὰ μόρια, ὧν αἱ πράξεις καὶ πράξεις, ὡς τὰ μόρια. [Καὶ τρίτον ὧν ὄντων ἀναγκαῖον] τὸ δέ τι ὑπάρχειν, τὸν αὐτὸν τρόπον ἕξουσιν αἱ πράξεις, ὡς τὰ πράγματα: καὶ ταῦτα, ὡς αἱ πράξεις. τὰ δὲ ἑξῆς σαφῆ ἕως τέλους τοῦ βιβλίου, καὶ μηδεμίαν ἔχοντα δυσχέρειαν.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΤΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΡΑΓΜΑΤΕΙΑΣ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ.

[ΜΕΤΡΙΑ Μὲν οὖν ταῦτ' ὄντα ἐν τοῖς μορίοις τῶν ζώων ὠφελεῖ.] μέτρια μὲν οὖν φησι τὸ στέαρ, καὶ ἡ πιμελὴ ἐν τοῖς τῶν ζώων μορίοις ὑπάρχοντα, ὠφελεῖ· ὑπερβάλλοντα δὲ βλάπτει, καὶ φθείρει. καὶ πῶς τῇ ὑπερβολῇ φθείρουσι, λέγει. τὸ ζῷον γάρ φησι, ζῷόν ἐστι κατὰ τὸ αἰσθητικὸν μόριον. τουτέστι τὸ ζῷον, ᾗ ζῷον, οὐσιοῦται, καὶ εἰδοποιεῖται κατὰ τὸ αἰσθάνεσθαι· οὔτε γὰρ ἡ οὐσία, οὔτε τὸ ἔμψυχον εἰδοποιεῖ τὸ ζῷον· ἔστι γὰρ καὶ τὸ φυτὸν οὐσία ἔμψυχος· ἀλλὰ τὸ αἰσθητικὸν ζῷον· ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική. ἀλλὰ μὴν καὶ ἡ σὰρξ, καὶ τὸ ἀνάλογον ταύτῃ [αἰσθητικόν ἐστι] τουτέστιν αἰσθητήριόν ἐστιν τῆς ἁφῆς· τὸ γὰρ αἷμα, ὡς εἴρηται αἴσθησιν οὐ ποιεῖ· οὐδὲ εἶναι δύναται αἰσθητήριον. ναὶ μὴν, οὐδὲ στέαρ, οὐδὲ ἡ πιμελή· αἷμα γὰρ καὶ αὐτά, πεπεμμένον. εἰ οὖν τὸ ζῴῳ, τὸ ζῴῳ εἶναι, ἐστὶν ἐν τῷ αἴσθησιν ἔχειν· αὕτη δὲ διὰ σαρκὸς γίνεται· τὸ μὴ σάρκα ἔχον, οὐκ αἰσθήσεται· ὥστε οὐδὲ ζῷον ἔσται· εἰ γὰρ ζῷον καὶ αἰσθήσεται. εἰ οὖν ἡ πᾶσα σὰρξ πιμελὴ γένοιτο· ἡ δὲ πιμελὴ αἴσθησιν οὐ ποιεῖ, οὐκ ἂν ἔχοι οὐδεμίαν αἴσθησιν· τοῦτο δὲ ταυτόν ἐστι τῷ ἀναιρεῖσθαι τὸ ζῷον. ἄνευ γὰρ, ὡς εἴρηται, ζῷον ἄνευ αἰσθήσεως εἶναι οὐ δύναται. σαφῆ δὲ τὰ ἑξῆς. κατὰ δὲ τὴν λέξιν τήν· [Καὶ τὸ ὀλίγον, παθητικὸν καὶ ὑπὸ ψυχροῦ τοῦ τυχόντος] ὑποστικτέον εἰς τὸ ὀλίγον· πᾶν γὰρ ὀλίγον πεφυκὸς πάσχειν ὑπὸ ψυχροῦ, ἢ θερμοῦ εὐπαθέστερόν ἐστι τοῦ πλείονος· μετὰ ταῦτα λέγει καὶ περὶ μυελοῦ, οὐ τοῦ καλουμένου ἐγκεφάλου· περὶ γὰρ τούτου μετὰ ταῦτα ἐρεῖ, καὶ δείξει, ὅτι ὁ ἐγκέφαλος οὐκ ἔστι μυελὸς, ἀλλὰ τοῦ ἐν τοῖς ὀστοῖς ἐνόντος, καί φησιν, ὅτι [Ὁ μυελὸς αἵματός τις φύσις ἐστὶν, καὶ οὐχ ὥσπερ οἴονταί τινες τῆς γονῆς σπερματικὴ δύναμις.] τουτέστιν ἀρχὴ σπέρματος· ἀρχὴν γὰρ σπέρματος ἐτίθεντο τὸν μυελὸν οἱ περὶ Πλάτωνα. ὥσπερ καὶ τὸν ἐγκέφαλον νεύρων. ὅτι δὲ ὁ μυελὸς φύσις τις αἵματός ἐστι, δηλοῖ τῶν λίαν νεωτῶν ζώων ὁ μυελὸς, ἐρυθρὸς ὢν, καὶ αἱματώδης, ἀλλ' οὐ λευκός. αὐξανομένων δὲ καὶ πεπτομένων μεταβάλλει τὴν χρόαν ὥσπερ καὶ τὰ λοιπὰ σπλάγχνα, καὶ γίνεται ἐξ αἱματώδους, λευκός· καὶ τὸ μὲν λεγόμενον τοιοῦτόν ἐστιν· τὴν δὲ λέξιν οὕτως ἀναγνωστέον, καθάπερ καὶ τὰ μόρια μεταβάλλει καὶ τὰ σπλάγχνα τὰς αἱματώδεις χρόας. [Ὑπερβολῇ γὰρ αἱματώδη.] τουτέστι λίαν γὰρ αἱματῶδές ἐστιν ἕκαστον τῶν σπλάγχνων [Ἐπὶ νέων ὄντων] τῶν ζώων. καθάπερ οὖν ταῦτα μεταβάλλει, οὕτω καὶ ὁ μυελός· ἀλλ' ὁ μὲν τῶν ἄλλων ὀστῶν μυελὸς τοιοῦτός ἐστιν οἷον εἴπομεν· ὁ δὲ τῆς ῥάχεως [Οὐ τοιοῦτος, ἀλλὰ] γλίσχρος καὶ νευρώδης διὰ τὸ δεῖν αὐτὸν εἶναι συνεχῆ, καὶ διήκειν, ὥσπερ περόνην τινὰ, διὰ πάσης τῆς ῥάχεως διῃρημένης κατὰ τοὺς σπονδύλους· ὡς γὰρ ὁ ἄτρακτος, δι' οὗ νήθουσιν αἱ γυναῖκες, τοὺς ἐν αὐτῷ σπονδύλους συνέχει καὶ οὐκ ἐᾷ διαπίπτειν, ἐπειδὰν δὲ ἐξαιρεθῇ, διαπίπτουσιν· οὕτω τρόπον τινὰ καὶ ὁ ῥαχίτης μυελὸς, οἷον ἄτρακτός τις ἢ περόνη τῶν τῆς ῥάχεως ἐν

τῶν σπονδύλων· εἰ δὲ ἔσω, οὔτε λιπαρὸν καὶ πιμελῶδες, οὔτε στεατώδη τὸν ῥαχίτην ἐνδέχεται εἶναι μυελόν· στεατώδης μὲν γὰρ ὤν, ἐθραύετο ἄν· θραυστὸν γὰρ τὸ στέαρ, καὶ οὐκ ἔτ' ἂν ἦν συνεχὴς καὶ οἷον σχοινί· πιμελώδης δὲ ὢν διὰ τὸ ὑγρὸς, καὶ ῥευστὸς, καὶ οὐδ' οὕτω συνεχὴς, οὐδὲ δι' ὅλης τῆς ῥάχεως, ἀλλὰ ἔμενε μὲν τῷ κάτω μέρει ἴσως, ἐν δὲ τῷ αὐχένι οὐκ ἔτι· ἔνια δὲ τῶν ζώων ἔχει μὲν μυελόν· οὐχ οὕτω δὲ φανερὸν, ὥστε ἀξίως ὀνομάσαι αὐτὸν μυελόν. ὥσπερ ὁ λέων· [τούτου γὰρ τὰ ὀστᾶ διὰ τὸ πάμπαν ἄσημον ἔχειν] τουτέστι διὰ τὸ λίαν ἔχειν τὰ τῶν ὀστῶν πόρους στενοτάτους, δοκεῖ μὴ ἔχειν ὅλως μυελὸν, καίπερ ἔχων ὅσον ἂν εἰκὸς χωρῆσαι ἐν τοιούτῳ πόρῳ, ταῦτα εἰπὼν ἐπισημαίνεται, ὅτι τῶν ἐχόντων τὰ ὀστᾶ πυκνὰ, καὶ σκληρὰ, τούτων τὰ μὲν οὐδ' ὅλως ἔχει μυελὸν, τὰ δ' ἔχει, ἀλλ' ὀλίγον, διὰ τὸ τὴν τροφὴν ἀναλίσκεσθαι εἰς τὴν τῶν ὀστῶν φύσιν, καὶ μὴ ἐπαρκεῖν καὶ εἰς μυελοῦ γένεσιν· χρῄζουσα γὰρ ἡ φύσις μᾶλλον τῶν ὀστῶν, ἤπερ τοῦ μυελοῦ, εἰς ἐκεῖνα τὴν τροφὴν ἀναλίσκει· μετὰ ταῦτα λέγει περὶ ἐγκεφάλου, καί φησιν, ὅτι πολλοῖς, ὥσπερ ἂν καὶ ὁ Πλάτων, ὁ ἐγκέφαλος δοκεῖ μυελὸς εἶναι, καὶ ἀρχὴ τοῦ μυελοῦ· διὰ τὸ τὸν ῥαχίτην ὁρᾶν αὐτῷ συνεχῆ· τοσοῦτον δ' οὐκ ἔστιν φησὶν ὁ ἐγκέφαλος, οὔτε μυελὸς, οὔτε μὴν ἀρχὴ μυελοῦ, ὥστε καὶ ἐναντίος ἐστὶν ὁ μυελὸς κατὰ τὴν φύσιν τῷ ἐγκεφάλῳ, καὶ τοῦτο ἐπάγει· ὁ μὲν γὰρ ἐγκέφαλος ψυχρότατός ἐστιν· ὁ δὲ μυελὸς θερμός· ἐναντίον δὲ τὸ θερμὸν τῷ ψυχρῷ. καὶ εὐλόγως ἐστὶν ὁ μυελὸς θερμὸς, ὢν συνεχὴς τῷ ἐγκεφάλῳ, ψυχρῷ ὄντι· ἵνα θερμαίνῃ καὶ κολάζῃ τὴν ὑπερβάλλουσαν αὐτοῦ ψυχρότητα· ἀεὶ γὰρ ἡ φύσις μηχανᾶται πρὸς τὴν ἑκάστου ὑπερβολὴν, βοήθειαν τὴν τοῦ ἐναντίου παρουσίαν. ὅτι δὲ ὁ ἐγκέφαλος ψυχρότατος ἐστὶ φανερὸν καὶ ἐκ τῆς θίξεως· ἁπτόμενος γὰρ ψυχρός ἐστιν· ἔστι δὲ οὔτε περίττωμα ὁ μυελὸς, οὔτε τῶν συνεχῶν μορίων, ὥσπερ αἱ σάρκες· ἀλλ' αὐτὸς καθ' αὑτόν. καὶ ὅτι μὲν οὐκ ἔχει συνέχειαν ὁ μυελὸς, ἀλλ' ὡς ἐν ἀγγείῳ τινὶ ἐστὶν ἐν τῇ κεφαλῇ καθ' αὑτὸν, δῆλον καὶ ἐκ τῆς θίξεως, καὶ ἐκ τοῦ μὴ ποιεῖν αἴσθησιν θιγγανόμενος, ὥσπερ οὐδὲ τὸ αἷμα· οὐδὲ γὰρ τοῦτο συνεχές· ἀλλ' ὡς ἐν ἀγγείῳ ταῖς φλεψίν· ἡ δὲ σὰρξ, συνεχὴς οὖσα, ποιεῖ αἴσθησιν· εἰπὼν δέ τις ἐστὶν ὁ ἐγκέφαλος λέγει καὶ δι' ἣν αἰτίαν ἐγγίνεται· πρὸς γὰρ σωτηρίαν αὐτὴν, καὶ τὸ περιψύχειν τὸ ἐν τῇ καρδίᾳ θερμόν· [πρότερον δὲ δείκνυσιν ὡς ἔνεστιν ἡμῖν θερμόν] καὶ οὕτως λέγει διατί γίνεται ὁ ἐγκέφαλος. τοσοῦτον οὖν φησὶν ἐκδηλότατον τυγχάνει, ὅτι ἔνεστιν ἡμῖν θερμὸν, ὥστε τινὲς τὴν ψυχὴν πῦρ τιθέασι, δυνάμει λέγοντες, ὅτι ὥσπερ ἄνευ ψυχῆς οὐ δύναται ζῷον εἶναι, οὕτως καὶ ἄνευ θερμοῦ, φορτικῶς πῦρ εἰπόντες τὴν ψυχήν, βέλτιον οὖν λέγειν, τὴν αἰσθητικὴν ψυχὴν ἐν πυρὶ εἶναι, ἢ λέγειν αὐτὴν πῦρ· λέγει δὲ τὴν αἰτίαν, ἐξ ἧς πῦρ αὐτὴν λέγειν ὡρμήθησαν· ὁρῶντες γάρ φησι τὸ ἐν ἡμῖν πῦρ ἤγουν τὸ ἔμφυτον θερμὸν ὑπηρετικώτατον, καὶ οἷον ὄργανον ὑπάρχον τῶν τῆς ψυχῆς ἔργων· ἄνευ γὰρ τούτου οὔτε κινεῖν, οὔτε τρέφειν δύναται, ὑπέλαβον ὅτι τὸ πῦρ ἐστιν, ἡ ψυχή. ὅμοιον οὖν τὸ τὴν ψυχὴν πῦρ λέγειν, καὶ τὸν τέκτονα πρίονα, ἢ σκέπαρνον· οὐδὲ γὰρ οὗτος χωρὶς τούτων, τὰ τῆς τεκτονικῆς ἔργα πράττειν δύναται· ὥσπερ δὲ τὸ σκέπαρνον, ἐγγὺς ὂν τῷ τέκτονι· ἅπτεται γὰρ αὐτοῦ, καὶ οὕτως τῷ σκεπάρνῳ τὸ ἔργον ἀπεργάζονται, οὕτω καὶ ἡ αἰσθητικὴ ψυχὴ, καὶ τὸ ἔμφυτον θερμόν. τοῦτο μὲν οὖν δῆλον, ὅτι ἔνεστιν ἡμῖν θερμόν· ἐπεὶ δὲ πᾶν ἄκρον, εἴτε θερμόν ἐστιν, εἴτε ἄλλο ὁτιοῦν, δεῖται τῆς ἐναντίας ῥοπῆς, ἵνα εἰς συμμετρίαν ἔλθῃ· τὴν γὰρ οὐσίαν, καὶ τὸν ἑκάστου λόγον ἡ τῶν ἄκρων σύμμετρος ἔχει μίξις· τῶν δ' ἄκρων ἑκάτερον χωρὶς οὐκ ἔχει· διὰ τοῦτο γίνεται ὁ ἐγκέφαλος, καὶ ποιεῖ τὴν ἐν τῇ καρδίᾳ θερμότητα εὔκρατον. ἵνα καὶ οὗτος διὰ τὸ ψυχρότατος εἶναι, τυγχάνῃ μετρίας θερμότητος, ὅπως μὴ παγῇ ὥσπερ κρύσταλλος, ἀφ' ἑκατέρας τῆς φλεβὸς τῆς μεγάλης, καὶ τῆς ἀορτῆς τελευτῶσι φλέβες εἰς τὴν περὶ τὸν ἐγκέφαλον μήνιγγα· ἵνα δὲ πάλιν μὴ πολλὰ θερμαινόμενος, θερμαίνῃ τὴν καρδίαν, καὶ βλάπτῃ. ἀντὶ μεγάλων, ὀλίγων φλεβῶν συνεχῶν, καὶ λεπτὰ περιέχουσιν αὐτὸν εἰς πολλὰ φλεβία, καὶ λε-

ὃν καλοῦμεν κοιλίαν, καὶ πεποίηκεν αὐτήν· ξανὶς γὰρ ἐνδελεχὴς καὶ πέτραν κοιλαίνει. ὁμοίως καὶ ὁ ἀὴρ ὑπὸ τὸ ἄνω φερόμενος, διέῤῥηξε τὸν τόπον καθ' ὃν οἱ μυκτῆρες, καὶ γεγόνασι μυκτῆρες. εἰ οὖν ἄτοπον ταῦτα λέγειν, ἔστι δὲ καὶ ὁ ἄνθρωπος καὶ τὰ ζῷα, καὶ τὰ μόρια αὐτῶν φύσει, λεκτέον ἂν εἴη περὶ σαρκὸς καὶ ὀστοῦ καὶ τῶν ὁμοίων· οὐ γὰρ ἱκανὸν τὸ λέγειν, ὅτι ἐκ πυρός εἰσι καὶ ἀέρος· ὥσπερ γὰρ εἰ περὶ κλίνης ἐποιούμεθα τὸν λόγον ἐπειρώμεθα μᾶλλον περὶ τοῦ εἴδους λέγειν ἢ περὶ τῆς ὕλης· εἰ δὲ μή, ἀλλ' οὖν περὶ ἀμφοῖν καὶ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀλλ' οὐ περί γε τῆς ὕλης μόνης καὶ πῶς ἂν περὶ ἀμφοῖν ἐλέγομεν, ἐπήγαγεν· κλίνη γάρ ἐστι τόδε ἐν ὑποκειμένῳ οὑτωσί· ἢ τόδε τὸ ὑποκείμενόν ἐστι, τοιονδί. [Εἰ μὲν οὖν τῷ σχήματι καὶ τῷ χρώματι ἕκαστον τῶν ζῴων:] Δημόκριτος τὴν ἅπασαν ζήτησιν περὶ τῆς ὑλικῆς αἰτίας ποιούμενος ἀπεκρίνατο· τὸ δέ τινος ἕνεκα, ἤτοι τὴν εἰδικὴν εἴα, λέγων. ἅπαντι δῆλόν ἐστιν ὁποῖόν τι κατὰ τὴν μορφὴν καὶ τὸ χρῶμα ὑπάρχει ὁ ἄνθρωπος καὶ ἕκαστον τῶν ζῴων. κατὰ δὲ τὴν ὕλην, ἄδηλον· εἰ δὲ τοῦτο, περὶ τοῦ ἀδήλου τὴν ζήτησιν ποιητέον· καὶ οὐ περὶ τοῦ φανερωτάτου· πρὸς ταῦτα ἐνίσταται ὁ Ἀριστοτέλης, λέγων· εἰ μὲν οὖν κατὰ τοιονδὶ σχῆμα, καὶ χρῶμα ὁ ἄνθρωπος οὐσίωται, καὶ ἕκαστον τῶν ζῴων καὶ τῶν μορίων, ὀρθῶς ἂν ὁ Δημόκριτος λέγει· εἰ δὲ μὴ κατὰ ταῦτα, ἀλλὰ κατὰ τὸν ὁριστικὸν λόγον, οὐκ ὀρθῶς. εἰ γὰρ ἦν τῷ ἀνθρώπῳ τὸ ἀνθρώπῳ εἶναι κατὰ τοιονδὶ σχῆμα, ἦν ἂν καὶ ὁ τεθνεὼς ἄνθρωπος· σώζει γὰρ καὶ οὗτος τὸ τῶν ζῴων σχῆμα· ἀλλ' ἄνθρωπος οὐκ ἔστιν· λίαν οὖν περὶ τούτων ἁπλῶς καὶ ἀνεπισκέπτως εἴρηκε· καὶ τὸν αὐτὸν τρόπον ὥσπερ ἂν εἰ τέκτων λέγοι περὶ χειρὸς ξυλίνης, ὅτι χείρ ἐστι ξύλον οὑτωσὶ λεανθέν, κοιλανθέντε καὶ σχισθέν· οὕτω γὰρ καὶ οἱ φυσιολόγοι τὰς τῶν σχημάτων αἰτίας λέγουσιν. ἐπεὶ τὸ ὕδωρ κάτω ῥεῖ, γέγονεν ἡ κοιλία καὶ οἱ μυκτῆρες ὅτι ὁ ἀὴρ ἄνω· ἀπὸ γὰρ τῆς ὕλης καὶ τῶν δυνάμεων κουφότητος. βαρύτητος τὰς αἰτίας τοῦ σχήματος ἀποδιδόασι. καὶ ἴσως ὁ μὲν τέκτων αἴτια τοῦ σχήματος εἴποι ἂν τὰ ὄργανα, τρύπανον καὶ σκέπαρνον. ὁ δὲ Δημόκριτος ἀέρα καὶ γῆν, ἀλλὰ βέλτιον ὁ τέκτων τὰς αἰτίας ἐρεῖ λέγων· καταλέγει οὖν αὐτὰς οὗτος λίαν σαφῶς. δῆλον οὖν ὅτι οὐκ ὀρθῶς λέγουσιν, ἀλλὰ λεκτέον τὸ εἶδος τοῦ ζῴου, κἂν ἄνθρωπος, κἂν ἄλλο ὁτιοῦν ἐστιν, ὅτι τοιοῦτον. καὶ περὶ ἐκείνου τοῦ εἴδους ζητητέον καὶ τί ἐστι καὶ ποῖόν τι· καὶ τῶν μορίων ἕκαστον. καὶ εἰ ἔστι τὸ εἶδος τοῦ ἀνθρώπου ἢ πᾶσα ψυχή, ἡ λογική τε καὶ ἄλογος· ἢ μέρος ψυχῆς, τουτέστι μόνη ἡ ἄλογος ἢ ἂν ἀδύνατον χωρὶς ψυχῆς εἶναι τὸ τοῦ ἀνθρώπου εἶδος· ἀπελθούσης γὰρ ψυχῆς οὐκ ἔτι ζῷον ἐστὶν ἄνθρωπος· οὐδὲ τῶν μορίων οὐδὲν πλὴν τῷ σχήματι μόνον. καθάπερ καὶ τὴν μυθευομένην Νιόβην ἀπολιθωθεῖσαν. ἄνθρωπον μὲν μηκέτι εἶναι, σώζειν δὲ τὸ σχῆμα· εἰ δὲ εἶδος ἀνθρώπου ψυχὴ ἢ μέρος ψυχῆς· τοῦ φυσικοῦ περὶ ψυχῆς ἂν εἴη λέγειν καὶ εἰ μὴ περὶ πάσης, τῆς τε λογικῆς καὶ ἀλόγου, ἀλλὰ πᾶς περὶ τῆς ἀλόγου, καθ' ἣν τὰ ζῷα τὸ ζῷα εἶναι, ἔσχηκεν. ἄλλως τε καὶ τῆς φύσεως τῆς μέν, ὡς ὕλης λεγομένης· τῆς δέ, ὡς εἴδους· καί ἐστιν ἡ εἰδικὴ φύσις καὶ ὡς κινοῦσα καὶ ὡς τέλεια· αὕτη γὰρ ὡς ἐφετὸν καὶ κοσμοῦν κινεῖ τὴν ὕλην, ἀλλὰ καὶ τὸ τέλος αὕτη. πάντα γὰρ τὰ πρὸ τοῦ εἴδους γινόμενα ἕνεκα τούτου γίνεται. διχῶς οὖν τῆς φύσεως λεγομένης, ὧν ἡ μέν ἐστιν ὡς οὐσία καί ἐστιν αὕτη ἤτοι ἡ πᾶσα ψυχή, ἡ λογικὴ καὶ ἄλογος, ἢ μέρος τι αὐτῆς οἷον ἡ ἄλογος. καὶ δὴ τοῦτο ῥητέον ἂν εἴη τῷ φυσικῷ περὶ ψυχῆς καὶ τοῦ εἴδους μᾶλλον ἢ περὶ τῆς ὕλης· ὅσῳ μᾶλλον ἡ ὕλη ὥσπερ φύσις ἐστὶ διὰ τὸ εἶδος ἢ τοῦτο δι' ἐκείνην. ταῦτα εἰπὼν ζητεῖ, πότερον περὶ πάσης ψυχῆς ἐστι τῆς φυσικῆς εἰπεῖν ἢ περὶ τινός· εἰ γὰρ περὶ πάσης δῆλον ὅτι καὶ περὶ τοῦ νοῦ· ὁ δὲ νοῦς τῶν πρός τι· ὁ γὰρ νοῦς νοητῶν ἐστι νοῦς· ἐν δὲ τοῖς πρός τι ὁ θάτερον εἰδώς, καὶ θάτερον οἶδεν· ὥστε εἰ περὶ τοῦ νοῦ λέγει ὁ φυσικός, ἐρεῖ καὶ περὶ τῶν νοητῶν. εἰ οὖν ἡ φυσικὴ λέγει καὶ περὶ τῶν αἰσθητῶν καὶ περὶ τῶν νοητῶν, οὐδεμία ἔσται ἄλλη ἐπιστήμη παρὰ τὴν φυσικήν· οἱ-

χήσεται ἄρα ἡ θεολογία. εἰπὼν δὲ ὅτι τῆς αὐτῆς ἐστιν ἐπιστήμης λέγειν περὶ νοῦ καὶ τῶν νοητῶν ἐπήγαγεν. [Εἴπερ ἅμα.] τουτέστιν εἴπερ ἑτέρου ὁ νοῦς καὶ τὰ νοητά· ἀλλὰ μὴ ταυτά. εἴρηκε γὰρ ἐν τῷ τρίτῳ τῶν περὶ ψυχῆς ὅτι πᾶς νοῦς, νοητὸς καὶ πάνυ κυρίως νοητὸν, νοῦς. ἀπορήσας οὖν λύει λέγων. οὐκ ἔστι πᾶσα ψυχὴ κινουμένη ἀρχὴ· οὐδὲ τὰ μόρια πάντα τῆς ψυχῆς· ἀλλ' αὐξήσεως μὲν αἴτιον τὸ θρεπτικὸν μόριον. ἀλλοιώσεως δὲ τῆς μετὰ ζωῆς αἰσθήσεως γινομένης καὶ μὴ ἄνευ αἰσθήσεως, τὸ αἰσθητικόν. φορᾶς δὲ, τὸ ὀρεκτικόν· καὶ οὐ τὸ νοητικόν. ἐπεὶ οὖν ἡ φύσις ἀρχὴ κινήσεως ἐστὶ καὶ ἠρεμίας. τὸ δὲ νοητικὸν αἴτιον κινήσεως οὐκ ἔστι, δῆλον ὅτι περὶ τῶν κινητικῶν μορίων τῆς ψυχῆς ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τῶν νοητικῶν· τὸ δὲ, [Ἓν ἢ καὶ πλείω,] εἶπεν, ὡς εἰ ἔλεγε. τὰ δὲ κινητικὰ τῆς ψυχῆς μόρια, εἴτε ἕν ἐστιν ἢ καὶ πλείω ἑνὸς, περὶ τῶν τοιούτων ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τοῦ νοητικοῦ· δείκνυσι δὲ ὅτι οὐδὲ περὶ τῶν μαθηματικῶν ὁ φυσικὸς ἐρεῖ· διότι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ. τὰ δὲ ἐξ ἀφαιρέσεως, ἅπερ ἐστὶ τὰ μαθηματικά, οὐχ ἕνεκά του εἰσί. καὶ ὥσπερ φησὶν ἐν τοῖς τεχναστοῖς ἐστιν ἀρχὴ κινήσεως ἡ τέχνη, οὕτως ἐν ἡμῖν ἐστι τις ἀρχὴ καὶ αἰτία· εἴτε ψυχὴν, εἴτε φύσιν αὐτὴν καλεῖν δεῖ. αὐτὸς γὰρ καὶ τὴν ψυχὴν φύσιν ἐνταῦθα εἴρηκεν. ὥστε καθολικώτερον ἡ φύσις τῆς ψυχῆς· ταύτην δὲ φησι, τὴν ἀρχὴν καὶ αἰτίαν τὴν ἀνάλογον τῇ τέχνῃ, ἔχομεν ἐκ τοῦ σύμπαντος κόσμου, ὥσπερ καὶ τὸ ψυχρὸν καὶ τὸ θερμὸν· ἐκ τοῦ κόσμου γὰρ καὶ αὐτὰ συνέστη ἡμῖν. σαφῆ δὲ τὰ λοιπά. τὸ δὲ, [Ἀλλὰ μὴν τούτου πρότερον τὸ τὸ σπέρμα,] εἴρηκεν αὐτὶ τοῦ. τὸ δὲ σπέρμα ὕστερόν ἐστι τοῦ, οὗ ἐστι σπέρματος· τὸ γὰρ ποιῆσαν τὸν Σωκράτην σπέρμα εἰ καὶ πρότερόν ἐστι Σωκράτους τῷ χρόνῳ, ἀλλὰ τῇ φύσει καὶ τῷ τιμίῳ καὶ ὅλως τῷ τελείῳ, ὕστερόν ἐστι τοῦ Σωκράτους· ὃ καὶ κατασκευάζων ἐπήγαγε τὸ, [Γένεσις μὲν γὰρ τὸ σπέρμα, οὐσία δὲ τὸ τέλος.] ἴσον λέγων τῷ. τὸ μὲν σπέρμα γένεσις ἐστι. πᾶσα δὲ γένεσις ἀτελής. τὸ δὲ ἐκ τοῦ σπέρματος γεγονὸς, τέλος καὶ οὐσία. τὸ δὲ τέλος καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ ἀτελοῦς· ἀλλ' ὁ μὲν Σωκράτης πρότερος τῇ φύσει, τοῦ ἐξ οὗ γέγονε σπέρματος. ὁ δὲ Σωφρονίσκος ἀμφοτέρων τῷ χρόνῳ καὶ Σωκράτους καὶ τοῦ ἐξ οὗ ὁ Σωκράτης, σπέρματος· λέγεται δὲ τὸ σπέρμα διχῶς. τὸ γὰρ σπέρμα ἐξ οὗ ὁ Σωκράτης, λέγεται καὶ Σωκράτους σπέρμα, λέγεται καὶ Σωφρονίσκου· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸν εἰρημένον. τὸ μὲν γὰρ Σωφρονίσκου, ὡς ἐξ οὗ· ἐξ αὐτοῦ γὰρ ἐξῆλθε. τὸ δὲ Σωκράτους, ὡς οὗ· αὐτοῦ γὰρ ἕνεκα ἢ τούτου χάριν ποιητικόν. [Ἴσως δὲ αὖ τις ἀπορήσειε, ποίαν λέγουσιν ἀνάγκην.] εἰπὼν ὅτι πολλὰ γὰρ γίνεται καὶ διὰ τὴν ἀνάγκην λέγει. ἀπορήσειε δ' ἄν τις, ἐπειδὴ πολλαχῶς ἡ ἀνάγκη λέγεται, ὡς ἐν τῷ δ΄ τῶν μετὰ τὰ φυσικὰ εἴρηται· ταῦτα γὰρ ἠνίξατο διὰ τοῦ, ὡς ἐν τοῖς κατὰ φιλοσοφίαν εἴρηται· εἴτε γὰρ ἐκεῖ ἀναγκαῖον λέγεται καὶ τὸ βίᾳ ἀναγκαῖον, καὶ αἱ προτάσεις. εἰ γὰρ ἔσται τοιόνδε συμπέρασμα, ἀνάγκη τασδὲ εἶναι προτάσεις. λέγεται ἀναγκαῖον καὶ οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι. λέγει οὖν ὅτι ἡ ζητουμένη ἐνταῦθα ἀνάγκη κατ' οὐδένα λέγεται τῶν προτέρων δύο τρόπων. οὔτε ὡς τὸ βίᾳ, οὔτε ὡς αἱ προτάσεις, ἀλλὰ κατὰ τὸν τρίτον τὸν, οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι· ἄνευ γὰρ τροφῆς οὐχ οἷόν τε ζῷον εἶναι. ἔστι δὲ φησι τὸ τρίτον ἀναγκαῖον ὥσπερ ἐξ ὑποθέσεως ἐστὶν, ἤτοι τρόπον τινὰ ἐξ ὑποθέσεως ἐστὶ καὶ σαφηνίζει διὰ παραδείγματος ὅπως ἐστὶν ὥσπερ ἐξ ὑποθέσεως. ὥσπερ γὰρ φησὶ ἐπειδὴ δεῖ σχίζειν τῷ πελέκει, ἀνάγκη σκληρὸν εἶναι. εἰ δὲ σκληρὸν, χαλκοῦν· οὕτω καὶ ἐπειδὴ τὸ σῶμα ὄργανον, ἀνάγκη τοιόνδε εἶναι καὶ συμπεραίνεται λέγων. [Ὅτι μὲν οὖν δύο τρόποι εἰσὶ τῆς αἰτίας.] ὕλη καὶ εἶδος [Καὶ δεῖ λέγοντας τυγχάνειν ἀμφοῖν. εἰ δὲ μὴ, δῆλόν γε πειρᾶσθαι ποιεῖν.] τουτέστιν εἰ δὲ μή ἐστιν ὕλη, ὥσπερ ἐν τῷ οὐρανίῳ σώματι, δεῖ πειρᾶσθαι δηλοῦν καὶ φανερὸν ποιεῖν ὡς ἐνταῦθα ὑλικὸν αἴτιον οὐκ ἔστιν. ὅτι δὲ οὖν ταῦθ' οὕτως ἔχει δῆλον. λείπει γὰρ τὸ δῆλον. τὸ δὲ, [Ἐνιαχοῦ δέ που αὐτῇ καὶ Ἐμπεδοκλῆς περιπίπτει.] εἴρηται ἀντὶ τοῦ, ἄκων ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενος ἅπτεται τῆς εἰδικῆς αἰτίας. ἥψατο δέ φησιν αὐτῆς καὶ Δημόκριτος. οὐχ ὡς ἀναγκαίας δὲ οὔσης τῷ περὶ φύσεως λέγοντι εἴρηκε περὶ αὐτῆς. ἀλλὰ καὶ οὗτος ἄκων ὑπὸ τῆς ἀληθείας παρασυρείς· τοῦτο γάρ ἐστι δηλωτικὸν τὸ. [Ἀλλ' ἐκφερόμενος ὑπ' αὐτοῦ τοῦ πράγματος.] ταῦτα εἰπὼν

λέγει καὶ πῶς δεῖ ποιεῖσθαι τὰς τοιαύτας ἀποδόσεις τῆς ἀνάγκης λέγων. ἔστιν ἡ ἀναπνοὴ χάριν τοῦ περιψύχεσθαι τὴν καρδίαν. αὕτη δὲ γίνεται διὰ τάδε ἐξ ἀνάγκης. ἀπὸ δὲ τῆς ἀνάγκης φησὶν ὅταν λέγει τις, ὅτι αὕτη γίνεται διὰ τάδε ἐξ ἀνάγκης. ὁ τὸ μὲν αὕτη λέγει, ὡς εἰ μέλλει ἔσεσθαι ἐκεῖνο, ἀνάγκη τὸ οὗ ἕνεκα ταῦτα ἔχειν τὰ μόρια. εἰ γὰρ ἔσται ἀναπνοὴ δεῖ πνεύμονος, τραχείας ἀρτηρίας, πνοῆς ἧς ἕνεκα ἀναπνοῆς ταῦτα γέγονεν. ὁ τὸ δὲ οὐ αὕτη σημαίνει διὰ τοῦ ἐξ ἀνάγκης, ἀλλ' ὅτι ἔστι τόδε ὅτι οὕτω πέφυκεν: ἔσται γὰρ ἐξ ἀνάγκης τῷ πυρὶ τὸ ἄνω φέρεσθαι οὐχ ὅτι ἕνεκα τῆς ἄνω φορᾶς γέγονέ τινα ἀλλ' ὅτι οὕτω πέφυκεν. ἔτι ἐάν τις εἴποι ἀνάγκη τὸ πῦρ ἄνω φέρεσθαι. τοῦτό φησι πέφυκε τὸ πῦρ ἄνω φέρεσθαι. ἀσαφῶς δὲ τῆς ἀνάγκης τῆς δευτέρας τέθηκε τὸ παράδειγμα, εἰπών. [Τὸ θερμὸν γὰρ ἀναγκαῖον ἐξιέναι καὶ πάλιν εἰσιέναι ἀντικροῦον.] Ῥητέον δὲ πρὸς σαφήνειαν αὐτοῦ ταῦτα: ὁ Πλάτων πῶς ποτὲ τὸ ἀναπνεῖν γίνεται λέγων, εἴρηκεν ὅτι ὁ εἰσερχόμενος ἐν τῷ πνεύμονι ἀὴρ διὰ τῶν μυκτήρων ἢ τοῦ στόματος θερμαινόμενος ἐν τῷ πνεύμονι καὶ διὰ τοῦτο λεπτυνόμενος φέρεται ἄνω καὶ ἐξέρχεται διὰ τῶν μυκτήρων: ἐξερχόμενος δὲ καὶ προσεγγίζων τῷ ἐκτὸς ἀέρι τῷ δι' εὐθὺς ἁπτομένῳ τῶν μυκτήρων ψυχρῷ ὄντι πυκνοῦται καὶ συστέλλεται ἐντὸς εἰς ἐλάττονα κατὰ πολὺ τόπον οὗ ἐν κατεῖχε πρὸ τοῦ πυκνωθῆναι. ἐπεὶ δὲ οὐκ ἔστι κενόν, διὰ τὴν τοιαύτην ἀνάγκην συνέπεται τῷ πυκνωθέντι ἀέρι ἐκτὸς ἄλλος ἀὴρ ἀναπληρώσων τὸν τόπον ὃν ἀπέλιπεν ὁ πυκνωθείς: οὕτως οὖν ὁ Πλάτων ἐφυσιολόγει τὸ ἀναπνεῖν. λαμβάνει δὲ ταύτην Ἀριστοτέλης τὴν δόξαν εἰς παράδειγμα, οὐχ ὡς ἀρεσκόμενος ταύτῃ: ἀλλὰ σαφηνίσαι δι' αὐτῆς βουληθεὶς πῶς τὸ ἀναγκαῖον ποτὲ σημαίνει τὸ οὕτω πέφυκε: τὸ θερμὸν γάρ φησιν ἀναγκαῖον ἐξιέναι: λέγων θερμὸν τὸν ἐν τῷ πνεύμονι ἀέρα: ἀναγκαῖον οὖν τουτέστι πέφυκε τὸ θερμὸν ἄνω φέρεσθαι. ἐξέρχεσθαί τε ἢ ἂν εὑρήσει δίοδον καὶ ἐξερχόμενον ἀντικρούσαν τῷ ἐκτὸς ἀέρι. καὶ πυκνωθὲν πέφυκε συστέλλεσθαι καὶ εἰσιέναι ἐντὸς ὥσπερ τις κοχλίας ἢ χελώνη ἐν τῷ οἰκείῳ ὀστράκῳ: τούτου δὲ συστελλομένου εἰσρεῖν τὸν ἐκτὸς ἀέρα εἴσω διὰ τῶν μυκτήρων. [Τοῦτο δὲ ἀναγκαῖον.] Ἤτοι αὕτη δὲ οὕτω πέφυκε γίνεσθαι. τίθησι καὶ παράδειγμα τοῦ αὐτοῦ λέγων. τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικόπτοντος, ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος. ἡ εἴσοδος ὑποστικτέον δὲ εἰς τό, ἀντικόπτοντος, εἶτα ἀποδοτέον τό, Ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι. τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικοπτομένου καὶ οἱονεὶ ἀναχαιτιζομένου καὶ εἰς τοὐπίσω παλινοστοῦντος. [Ἐν τῇ ψύξει.] Ἤτοι διὰ τῆς ψύξεως γίνεται τοῦ θύραθεν ἀέρος ἡ εἴσοδος. τούτου δὲ εἰσελθόντος καὶ θερμανθέντος καὶ φερομένου ἄνω ὡς πέφυκε φέρεσθαι, γίνεται ἡ ἔξοδος. [Λαμβάνουσι δ' ἔνιοι τὸ καθ' ἕκαστον, διαιρούμενοι τὸ γένος εἰς δύο διαφοράς:] Τὰ εἰδικώτατα εἴδη λαμβάνειν ὁ Πλάτων βουλόμενος: (ταῦτα γὰρ εἶπε καθ' ἕκαστον,) ἐλάμβανε τὸ γένος καὶ διῄρει εἰς δύο, καὶ ἕκαστον πάλιν τῶν τμημάτων εἰς δύο κἀκεῖνο: οὕτω λέγων, τῆς ποδότητος τὸ μέν ἐστι πολύπουν, τὸ δ' ὀλιγόπουν. καὶ ἑκάτερον τούτων διῄρει πάλιν εἰς δύο: καὶ διὰ τῆς τοιαύτης διαιρέσεως ἐπειρᾶτο λαμβάνειν τὰ εἰδικώτατα εἴδη: δείκνυσι δὲ οὗτος διὰ πλειόνων ὡς ἀδύνατόν ἐστι διὰ τῆς τοιαύτης μεθόδου λαμβάνειν τὰ εἴδη: συμβαίνει γὰρ οὕτω τὸ αὐτὸ καὶ ἓν εἶδος πίπτειν ὑπὸ τὰς ἐναντίας διαφορὰς ὡς δείξει, ὅπερ οὐ καλόν: ἡ γὰρ διαίρεσις διὰ τοῦτο γίνεται ἵνα ἐν θατέρῳ τμήματι τὸ ζητούμενον ἐμπέσηται, ἀλλ' οὐκ ἐν τοῖς ἀμφοτέροις. γίνεται δὲ αὕτη διὰ τὸ τὴν διαίρεσιν εἰς δύο βούλεσθαι ποιεῖν: πῶς δὲ δεῖ τὰς διαιρέσεις ποιεῖσθαι αὐτὸς ἐρεῖ μετὰ τὰς πρὸς τὸν Πλάτωνα ἀντιλογίας. ἃ δὲ νῦν λέγει ταῦτα ἂν εἴη. λαμβάνειν φησὶ πειρῶνται τὸ καθ' ἕκαστον, ἤτοι τὸ εἰδικώτατον εἶδος, διαιροῦντες τὸ γένος εἰς δύο διαφοράς. τὸ δὲ οὕτω λαμβάνειν αὐτὸ πειρᾶσθαι τῇ μέν ἐστιν, οὐ ῥᾴδιον, τῇ δὲ ἀδύνατον. καὶ τῆς δυσκολίας καὶ τοῦ ἀδυνάτου τὴν αἰτίαν ἐπήγαγεν εἰπών, [Ἐνίων γὰρ ἔσται διαφορὰ μία μόνη:] Τουτέστιν ἐπί τινων μία διαφορὰ ἡ τελευταία ἐστὶν ἡ τὸ πρᾶγμα εἰδοποιοῦσα. συμβαίνει οὖν ἐκ τῆς διχοτομίας πολλάκις λέγειν τὸ αὐτό. ἔσται οὖν λαβεῖν ἐκ τῆς τοιαύτης διαιρέσεως τὸν ἄνθρωπον καὶ ἐντεῦθεν: τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν, τὸ δ' ἄπουν. ὁ δ' ἄνθρωπος ἄπουν μὲν οὐκ ἔστιν, ὑπόπουν ἄρα. καὶ τοῦ ὑπόποδος τὸ μέν ἐστι δίπουν τὸ δὲ πολύπουν

ὁ δ' ἄνθρωπος πολύπουν μὲν οὐκ ἔστι· δίπουν δ' ἄρα. ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῶον ὑπόπουν δίπουν. ὥστε δὶς εἴρηται τὸ ὑπόπουν· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν. οὕτως δὲ ἔδει λέγειν. ὁ ἄνθρωπος ἐστὶ ζῶον δίπουν, οὐ μὴν ζῶον ὑπόπουν δίπουν. πάλιν τὸ ζῶον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, τὸ δίπουν εἰς σχιζόπουν καὶ ἀσχιδές· ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῶον πεζὸν δίπουν σχιζόπουν. τρὶς ἄρα εἴρηται τὸ ὑπόπουν καὶ δὶς τὸ δίπουν καὶ πολύπουν τὸ δίπουν· ὅτε γὰρ εἶπε δίπουν ὑπόπουν εἶπεν· ἀλλὰ μὴν εἶπε τὸ ὑπόπουν καὶ ἐν τῇ ἀπαριθμήσει. ὅτε λέγει ὁ ἄνθρωπος ἐστὶ ζῶον ὑπόπουν δίπουν· ὥστε ὅτε εἶπεν ὑπόπουν εἶπεν ἐξ ἀνάγκης τὸ καὶ δίπουν, ἀλλὰ καὶ ὅτε εἶπε τὸ δίπουν ὑπόπουν εἶπε· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν· ἀλλὰ καὶ ὅτε σχιζόπουν εἶπεν ὑπόπουν εἴρηκεν ὁμοίως καὶ δίπουν. εἰ δὴ ἡ ἐσχάτη διαφορὰ κυρία ἐστὶ τοῦ εἰδοποιεῖσθαι τὰ πράγματα, μετ' αὐτῆς ἂν εἰλημμέναι αἱ λοιπαί· συνεπιφέρεται γὰρ ἡ ἐσχάτη τὰς πρὸ αὐτῆς· εἰ δὲ λέγοι τις ὡς οὐκ ἔστιν αὕτη κυρία, ἀλλὰ καὶ αἱ λοιπαί, καὶ δεῖ κἀκείνας λέγειν, συμβήσεται τὸ αὐτὸ πολλάκις λέγειν. τοῦτο δὲ εἴρηκε καὶ ἐν τῷ ζ τῶν μετὰ τὰ φυσικά. [Ἔτι φησί, προσήκει μὴ διασπᾶν ἕκαστον γένος.] λέγων γένος τὸ εἰδικώτατον εἶδος. οὐ δεῖ οὖν διασπᾶν καὶ τιθέναι τὸ αὐτὸ καὶ ἓν εἶδος ἐν ταῖς ἐναντίαις διαφοραῖς οἷον εἴ τις διαιροῖ τοὺς ὄρνιθας καὶ τοὺς μὲν τιθείη ἐν τῇδε· τοὺς δὲ ἐν ἄλλῃ διαιρέσει καθάπερ ἔχουσιν αἱ γεγραμμέναι τῷ Πλάτωνι διαιρέσεις· ἐν ἐκείναις γὰρ τοὺς μὲν τῶν ὀρνίθων μετὰ τῶν ἐνύδρων τέτακται τοὺς δὲ ἐν ἄλλῳ γένει. [Καὶ ταύτῃ μὲν οὖν τῇ ὁμοιότητι.] Τῷ τε σχιζοπτέρῳ, τῷ ἐγχωτῷ, κεῖται ὄνομα ὄρνις, ἄλλῃ δὲ ὁμοιότητι ἰχθύς. τινὲς δὲ ὁμοιότητες ἀνώνυμοί εἰσιν· τῷ γὰρ τῶν ἐναίμων οὐ κεῖται ὄνομα, ὥσπερ τῷ τῶν σχιζοπτέρων ὁ ὄρνις. ἀπορήσειε δ' ἄν τις πῶς ὥσπερ ὁ ὄρνις ὄνομά ἐστι, οὐκ ἂν εἴη καὶ τὸ ἔναιμον ὄνομα, ἀλλ' ἀνώνυμον· ἡ τῶν μὲν τῶν ὀρνίθων πάνυ ἡ πολλὴ πρὸς ἄλληλα ὁμοιότης καὶ γὰρ κατὰ τὸ σχιζόπτερον ὅμοιοί εἰσι κόραξ, κορώνη, τὰ ἄλλα. καὶ κατὰ τὰ ῥύγχη, καὶ κατὰ τοὺς πόδας, ἀλλὰ δὴ καὶ κατὰ τὰ εἴδη· μόνῳ δὲ τῷ μεγάλῳ καὶ μικρῷ διαφέρουσι. τῶν γὰρ ὀρνίθων, τινῶν μὲν εἰσὶ καὶ οἱ πόδες καὶ τὰ πτερὰ μείζονα. τινῶν δ' ἐλάττονα. διὰ οὖν τὴν τοιαύτην ὁμοιότητα ὄνομα καλεῖν τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, φημὶ δὴ τὸν ὄρνιν, οὐκ ἀπηξίωσεν. τῶν δὲ τῶν ἐναίμων ἐπειδὴ λίαν ἀνόμοιοι. ἡ καὶ πάντη πρὸς ἄλληλα τυγχάνουσιν οὐκ ἠθέλησε τὸ ἔναιμον ὄνομα εἰπεῖν. τίνα γὰρ ὁμοιότητα ἔχει ὁ ἀνθρώπου πούς, πρὸς τὸν τοῦ ἵππου ἢ ἡ κεφαλὴ πρὸς τὴν κεφαλὴν ἢ τὰ πλείω τούτων, ἵνα μὴ λέγω πάντα. εἰπὼν οὖν, ἔτι προσήκει μὴ διασπᾶν ἕκαστον γένος, καὶ μεταξὺ ἀκολουθεῖ τινα τοῖς λεχθεῖσιν ἐπὶ πᾶσιν ἐπήγαγεν. [Εἴπερ οὖν μηδὲν τῶν ὁμογενῶν διασπαστέον, ἡ εἰς δύο διαίρεσις μάταιος ἂν εἴη.] Τουτέστιν εἰ δεῖ μὴ διασπᾶν τὰ ὁμογενῆ, μηδὲ τὸ αὐτό. καὶ ἓν ὑπὸ τὰς ἐναντίας τιθέναι διαιρέσεις, μάταιός ἐστιν ἡ εἰς δύο διαίρεσις. διασπᾶ γὰρ καὶ ὑπὸ ἐναντίας τίθησι διαιρέσεις τὸ αὐτὸ καὶ ἕν. τοῦ γὰρ πολύποδος τὸ μὲν ἐστιν ἐν τοῖς πεζοῖς, τὸ δ' ἐν τοῖς ἐνύδροις. ἔτι οἱ εἰς δύο τὴν διαίρεσιν ποιοῦντες ἀναγκαῖον στερήσει διαιρεῖν. καὶ οὐχ ἡμεῖς τοῦτο φαμέν, ἀλλὰ κἀκεῖνοι οὕτω ποιοῦσι. τοῦ γὰρ ζώου φασὶ τὸ μὲν ἐστὶν ὑπόπουν, τὸ δ' ἄπουν· καὶ τὸ μὲν πτερωτόν, τὸ δ' ἀπτέρωτον. στέρησις δὲ καὶ τὸ ἄπτερον καὶ τὸ ἄπουν. συμβαίνει δ' ἐκ τούτου εἴδη εἶναι τῆς στερήσεως. [Οὐκ ἔστι δὲ διαφορά.] Τουτέστιν οὐκ ἔστιν εἴδη τῆς στερήσεως καθὸ στέρησις. τὸ γὰρ μὴ ὄντος. (μὴ ὂν γὰρ ἡ στέρησις, ὡς ἐν τῷ α τῆς φυσικῆς ἀκροάσεως, εἴρηται) τοῦ τὸ δὴ μὴ ὄντος ἀδύνατον εἶναι εἴδη. δεῖ δὲ καὶ ἔχειν εἴδη, εἴπερ ἐστὶ καθόλου διαφορά· εἰ γὰρ μὴ ἔχει εἴδη, διὰ τί ἂν εἴη τῶν καθόλου καὶ οὐ τῶν καθ' ἕκαστα, τὰ μὲν οὖν λεγόμενα εἶναι τοιαῦτα. κατὰ δὲ τὴν λέξιν τήν. [Οὐκ ἔστι δὲ διαφορὰ στερήσεως ᾗ στέρησις.] Τὸ διαφορὰ αὐτὴ τὸ εἶδος εἶπεν· ἴσον τῷ εἰπεῖν· οὐκ ἔστι δὲ εἶδος στερήσεως· τοῦτο δὲ εἶπεν διὰ τὸ τὰ εἴδη ὑπὸ τῶν διαφορῶν συνίστασθαί τι καὶ οὐσιοῦσθαι· [Χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφορὰς ὧν ἐστιν εἴδη.] Εἰπὼν ὅτι τοῖς διαιροῦσιν εἰς δύο τὰ γένη ἀναγκαῖον στερήσει τὴν διαίρεσιν ποιεῖν καὶ δὴ ποιοῦσι, καὶ εἰς ἄτοπον συνωθεῖ τὸν λόγον· τὰ εἴδη εἶναι τῆς στερήσεως καὶ τοῦ μὴ ὄντος. λέγει ὅτι καὶ τῶν τῶν διαφορῶν τῶν ὡς ἕξεων λεγομένων, ὑφ' ἃς φανερῶς ἐστιν εἴδη, χαλεπόν ἐστι διχοτομοῦντας διαλα-

βεῖν καὶ ὑπὸ μίαν διαίρεσιν θεῖναι εἶδός τι ὡς μὴ ἐμπεσεῖν καὶ εἰς τὸ ἀντικείμενον, εὐθὺς ὁ μύρμηξ καὶ ὑπὸ τὸ πτερωτόν ἐστι καὶ ὑπὸ τὸ ἄπτερον, ἀνάγκη οὖν μὴ μόνον εἶναι τῆς στερήσεως τοῦτο πάσχειν πρὸς τῷ καὶ εἴδη εἶναι αὐτῆς, ἀλλὰ καὶ εἶναι τῶν ἕξεων. [Πάντων δὲ χαλεπώτατον ἢ ἀδύνατον εἰς τὰ ἄναιμα.] Τοῦτο οὐ πρὸς τό, χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφορὰς ὧν ἐστιν εἴδη, εἴρηται ἀλλὰ πρὸς τό, δεῖ δὲ, τῆς καθόλου διαφορᾶς εἴδη εἶναι. εἰ γὰρ μὴ ἔσται, διά τι ἂν εἴη τῶν καθόλου. ὥστε ἔσται τῆς στερήσεως εἴδη τῆς ἀποδίας. τοῦτο δὴ κἀνταῦθα κατασκευάζει λέγων. [Πάντων δὲ χαλεπώτατον, ἢ ἀδύνατον εἰς τὰ ἄναιμα.] καὶ προσυπακουστέον τοῦ μὴ εὑρίσκεσθαι εἴδη· ἀδύνατον γάρ φησι μὴ εἶναι εἴδη τῆς ἀναιμίας καὶ συντόμως ἐπήγαγε τὴν τοῦ ἀδυνάτου αἰτίαν εἰπών, ἀναγκαῖον ἑκάστην τῶν διαφορῶν ὑπάρχειν τινὶ τῶν καθ' ἕκαστον. εἰ οὖν τὸ ἔναιμον ὑπάρχει τινί, δῆλον ὅτι καὶ τὸ ἀντικείμενον, τὸ ἄναιμον· εἴπερ ἐστὶ διαφορά. δείξας οὖν οὕτως ὅτι ὑπάρχει καὶ τὸ ἄναιμον τισὶ τῇ τοῦ ἐναίμου παραθέσει κατασκευάζει τὰ προκείμενα. φημὶ δὴ τὸ εἶναι εἴδη καὶ τοῦ ἀναίμου, λέγων. [Εἰ δὲ μὴ ἐνδέχεται, τοῖς εἴδει διαφέρουσι.] καὶ τὰ ἑξῆς· διαφέρει δὲ τῷ εἴδει ἄνθρωπος καὶ ὄρνις καὶ τὰ ὅμοια. εἰ οὖν μὴ ἐνδέχεται τοῖς διαφέρουσι τῷ εἴδει, ὑπάρχειν εἶδός τι ἄτομον τῆς οὐσίας καὶ ἕν, λέγων εἶδός τι ἄτομον καὶ ἓν ἐνταῦθα, τὴν διαφοράν· οἷον τὴν διποδίαν. εἰ οὖν μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν τῷ ἀριθμῷ διποδίαν ὑπάρχειν ἀνθρώπῳ καὶ ὄρνιθι. ἄλλη γὰρ ἡ ἐν τῷ ἀνθρώπῳ διποδία καὶ ἑτέρα ἡ ἐν τῷ ὄρνιθι ὡσαύτως ἄλλο τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἕτερον τὸ ἐν ὄρνιθι καὶ ὅτι ἕτερον καὶ ἕτερον καὶ τὸ ἔναιμον καὶ τὸ δίπουν κατασκευάζει δὴ τοῦ. [Ἢ οὐδὲ ἐν τῆς οὐσίας τὸ αἷμα θετέον.] Ἐλλιπῶς δὲ τοῦτο τεθὲν καὶ ἀσαφῶς. εἴη ἂν τὸ πλῆρες τοιοῦτο· πότερον τὸ ἔναιμον τῆς οὐσίας ἐστὶ τοῦ ἀνθρώπου καὶ ὄρνιθος, ἢ οὔ. εἰ μὲν οὐκ ἔστιν, ἔσται ἄναιμος ὁ ἄνθρωπος καὶ ὄρνις· ὅπερ ἀδύνατον. εἴπερ δὲ τῆς οὐσίας αὐτοῦ, πότερον ἕτερον τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἄλλο τὸ ἐν ὄρνιθι, ἢ ταυτόν. εἰ μὲν οὖν ταυτόν, ἡ μία καὶ ἡ αὐτὴ διαφορὰ ὑπάρξει δυσὶ καὶ ἔσται ὁ ἄνθρωπος καὶ ὁ ὄρνις τὸ αὐτό. λείπεται ἄρα ἕτερον εἶναι καὶ ἕτερον. εἰσὶν ἄρα εἴδη τοῦ ἐναίμου· εἰ δὲ τοῦτο ἢ ἀδύνατον, τὸ ἄναιμον καὶ τὴν στέρησιν, διαφορὰν εἶναι ἢ εἴπερ ἐστίν, ἔσονται τῆς στερήσεως εἴδη· διότι γὰρ τοῦ ἐναίμου διαφορᾶς ὄντος ἔσονται εἴδη, τοῦ δὲ ἀναίμου διαφορᾶς καὶ αὐτοῦ ὄντος, οὐκ ἔσται, ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη. εἰ γὰρ μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν διαφορὰν ὑπάρχειν τοῖς διαφέρουσι τῷ εἴδει, ἔσονται τοῦ ἐναίμου εἴδη. ἀλλὰ μὴν οὐκ ἐνδέχεται ὡς δέδεικται· εἰσὶν ἄρα τοῦ ἐναίμου εἴδη. εἰ δὲ τοῦτο καὶ τοῦ ἀναίμου ὅπερ ἔδει δεῖξαι. [Ἔσονται δὲ διαφοραὶ ἴσαι τοῖς ἀτόμοις ζῴοις.] Καὶ τοῦτο ἐκ τῆς εἰς δύο διαιρέσεως τῶν γλιῶν συνάγεται τὸ εἶναι τοσαύτας τὰς διαφορὰς ὅσα τὰ εἴδη, ἐπειδὴ γὰρ τὴν διαίρεσιν ποιοῦνται ἕως ἂν εἰς διαφορὰν καταντήσωσι μὴ ἐπιδεχομένην διαίρεσιν. αὕτη δὲ μετὰ τοῦ οἰκείου γένους εὐθὺς εἶδός ἐστι, φανερὸν ὅτι ὅσα ἄτομα ζῷα ἢ ὡς εἰδικώτατα εἴδη, τοσαῦται καὶ αἱ διαφοραί· εἴπερ ἄτομοι καὶ αὗται καὶ μηδεμία κοινή· εἰ γάρ ἐστι κοινή τις διαφορά, ἔσται τὸ αὐτὸ ὑπὸ τὰς ἀντικειμένας διαφοράς· ὅπερ ἤδη λέγειν πεπαύμεθα. τὸ δὲ [Εἰ δὲ ἐνδέχεται μὴ ὑπάρχειν καὶ κοινήν, ἄτομον δὲ δῆλον ὅτι ἐν τῷ αὐτῷ. ἐστι.] δυνάμει τοιοῦτόν ἐστι. εἰ δὲ λέγοιεν οἱ τὰς τοιαύτας διαιρέσεις ποιούμενοι, ὅτι οὐκ ἐνδέχεται ἐν τῇ τοῦ εἴδους συστάσει, κοινὴν καὶ κατ' ἄλλων εἰδῶν λεγομένην, λαμβάνειν διαφοράν, ἀλλ' ἄτομον· εἰ δὲ τοῦτο οὐκ ἔσονται τῆς στερήσεως εἴδη· εἰς τοῦτο γὰρ πάλιν ὁ λόγος τείνει. εἰ οὖν τοῦτο φησὶ λέγουσι, δῆλον ὡς εἰ μὴ κατὰ τὰς ἀτόμους τοῦτο συμβαίνει διαφοράς. ἀλλὰ κατὰ τὴν κοινὴν συμβήσεται. καὶ ἔσται τὰ ἕτερα τῷ εἴδει ζῷα ἐν τῇ αὐτῇ διαφορᾷ· τοῦτο δὲ ταυτόν ἐστι τῷ εἶναι εἴδη τῶν διαφορῶν· ὥστε καὶ τῶν στερήσεων, εἴπερ καὶ αὗται διαφοραί. εἰ οὖν ἴδιοι καὶ ἄτομοι εἰσὶν αἱ διαφοραί, οὐκ ἔσται οὐδεμία κοινή, ἢ εἰ ἔσονται κοιναί, τὰ ἕτερα τῷ εἴδει εἰς τὴν αὐτὴν βαδιοῦνται καὶ ἔσται καὶ τῆς στερήσεως ὡς πολλάκις εἴπομεν, εἴδη. ταῦτα εἰπὼν προσδιορίζεται λέγων. [Δεῖ δὲ οὔτε τὸ αὐτὸ καὶ ἄτομον εἰς ἑτέραν καὶ ἑτέραν ἰέναι διαφοράν.] ὥσπερ ὁ μύρμηξ εἰς τὸ πτερωτὸν καὶ ἄπτερον. οὔτε εἰς τὴν αὐτὴν τὰ ἕτερα, ὥσπερ ὁ ἄνθρωπος καὶ ὁ ὄρνις, εἰς τὸ δίπουν· οὕτω γὰρ ἔσται καὶ τῶν στερήσεων εἴδη.

[Καὶ πάντα εἰς ταῦτα.] τουτέστιν καὶ δεῖ τὴν τοῦ ζώου διαίρεσιν οὕτω ποιεῖσθαι ἵνα πάντα τὰ ζῶα εἰς τὰς τοῦ ζώου διαφορὰς ἐμπεσεῖται. καὶ λοιπὸν συμπεραίνεται λέγων. φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐκ τῆς διχοτομίας λαβεῖν τὰ ἄτομα εἴδη. ἀναγκαῖον γὰρ κατ᾽ ἐκείνους ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν, ὅπερ ἀδύνατον: δεῖ γὰρ τὰ εἴδη πλείονα εἶναι τῶν διαφορῶν. εἶτα καὶ δι᾽ ὑποδείγματος σαφηνίζει πῶς συμβαίνει ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν: ἔστω γάρ φησιν σαφηνείας ἕνεκα τοδέ τι γένος καὶ διῃρήσθω πρῶτον εἰς δύο: φέρε εἰπεῖν λευκὸν καὶ μέλαν: καὶ ἑκάτερον τούτων πάλιν εἰς δύο καὶ ἔστωσαν αὗται αἱ τελευταῖαι καὶ ἄτομοι τοῦ προκειμένου γένους διαφοραί. τέσσαρες οὖν, δύο μὲν αἱ τοῦ λευκοῦ, καὶ δύο αἱ τοῦ μέλανος. ἑκάστη δὲ τούτων μετὰ τοῦ οἰκείου γένους, ὡς κἂν αὐτοὶ φαῖεν, εἴδους ἐστὶ γεννητική: τέσσαρα οὖν καὶ τὰ εἴδη. ὅσαι ἄρα αἱ διαφοραὶ τοῦ προκειμένου γένους, τοσαῦτα καὶ τὰ εἴδη. τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. τὸ δὲ γὰρ ἄλλο τι πλῆθος τῶν ἀφ᾽ ἑνὸς διπλασιαζομένων, ἴσον ἐστὶ τῷ κἂν μὴ λευκὰ καὶ μέλανα εἴη τὰ διαιρούμενα, καὶ διπλασιαζόμενα: εἰς δύο γὰρ τὸ λευκὸν διῄρηται ἓν ὄν. τὰ δὲ δύο διπλάσια τοῦ ἑνός. κἂν οὖν μὴ λευκὸν εἴη, ἀλλ᾽ ἄλλό τι τὸ αὐτὸ ποιήσει. ἐπεὶ οὖν ἡ διαφορὰ ἐν τῷ οἰκείῳ γένει, ὡς εἶδος ἐν ὕλῃ ἐστίν, ὅσαι ἂν ὦσιν αἱ διαφοραὶ τοσαῦτα ἔσται καὶ τὰ εἴδη: οὔτε γὰρ τὰ εἴδη, τουτέστιν αἱ εἰδοποιοὶ διαφοραὶ χωρὶς ὕλης, ἤτοι χωρὶς τοῦ γένους ζῷον ποιοῦσιν, οὔτε ἡ ὕλη καὶ τὸ γένος χωρὶς τῶν εἰδῶν. [Ἔτι δεῖ τὰς διαιρέσεις ποιεῖσθαι τοῖς ἐν τῇ οὐσίᾳ.] τουτέστι δὴ τῶν οὐσιωδῶς ὑπαρχόντων, ἀλλ᾽ οὐ τοῖς καθ᾽ αὑτὰ συμβεβηκόσιν: ὡς οὗτοι ποιοῦσιν, ἐξ οὗ μάλιστα συμβαίνει τὸ καὶ τὸ αὐτὸ εἶδος ὑπὸ τὰς ἐναντίας πίπτειν διαφορὰς καὶ εἶναι τῶν στερήσεων εἴδη: τὸ γὰρ πτερωτὸν, καὶ ἄπτερον, καὶ ἄπουν, καὶ ὑπόπουν, τῶν καθ᾽ ἑαυτὰ συμβεβηκότων εἰσὶ τῷ ζώῳ: ὥσπερ καὶ τῷ τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ἔτι φησὶ τοῖς ἀντικειμένοις διαιροῦσιν, οἷον εἰς λευκότητα καὶ μελανίαν, καὶ οὐκ εἰς λευκότητα, καὶ λειότητα: ἐξ οὗ συμβαίνει εἶναι εἴδη τῶν στερήσεων. [Πρὸς δὲ τούτοις,] ἐπεὶ τὰ ζῶα ἐκ ψυχῆς εἰσι καὶ σώματος, καὶ τὰ ἐν τοῖς ζώοις, τὰ μὲν τῆς ψυχῆς εἰσι: τὰ δὲ, τοῦ σώματος: τὰ δὲ, τοῦ συναμφοτέρου ὡς ἐν τοῖς περὶ ψυχῆς εἴρηται, τὴν διαίρεσιν φησὶ τῶν ζώων κατὰ τὰ κοινὰ πάθη τῆς ψυχῆς καὶ τοῦ σώματος ποιεῖν δεῖ: τὸ γὰρ πτηνὸν καὶ τὸ πορευτικὸν καὶ τὰ ὅμοια τοῦ συναμφοτέρου τοῦ ἐκ ψυχῆς καὶ σώματος: συμβαίνει δ᾽ ἐκ τούτου τὰ ἀντικείμενα τῷ αὐτῷ ὑπάρχειν ἂν ἑκάστου τῶν ἀπηριθμημένων: εἰ μὲν ὁμώνυμον τὸ ἄγριον πρόβατον καὶ ἥμερον, οὐ διῄρηται χωρὶς ἡ τοῦ προβάτου φύσις εἰς ἕτερα τῷ εἴδει: ὥσπερ χρὴ τὰς διαιρέσεις ποιεῖσθαι, ἀλλὰ μόνον τὸ ὄνομα. εἰ δὲ ἕν εἰσι τῷ εἴδει τὰ ἥμερα καὶ ἄγρια πρόβατα, οὐ διαφοραὶ τὸ ἥμερον καὶ ἄγριον ἀλλὰ συμβεβηκότα. τοῦτο δὲ οὐ διαίρεσις. εἰ δὲ διαφοραὶ, ἔσται τὸ αὐτὸ καὶ ἓν ἐν τοῖς ἀντικειμένοις: [Ὅλως δὲ ὁποιᾳοῦν διαφορᾷ μιᾷ διαιροῦντι, τοῦτο συμβαίνειν ἀναγκαῖον.] πρὸς τοῖς ἄλλοις ἀτόποις τοῖς ἐκ διαιρέσεως μεθόδῳ παρακολουθοῦσι καὶ ἐκεῖνο ἕπεται, δείξας τὸ συμβαίνειν τὸ αὐτὸ καὶ ἓν εἶδος ὑπὸ τὰ ἐναντία εὑρίσκεσθαι ἢ τὰ ἐναντία ἐν τῷ αὐτῷ. ὁ γὰρ μύρμηξ καὶ πτερωτόν ἐστι καὶ ἄπτερον, καὶ τὸ πτερωτὸν καὶ ἄπτερον ἐν τῷ μύρμηκι λέγει. ὅλως δὲ τοῖς διαιροῦσιν ὁποιανοῦν διαφορὰν μιᾷ διαιρέσει, ἤτοι δίχα, ἀνάγκη τοῦτο συμβαίνειν: ἢ ὡς τὸ τὰ ἐναντία ἐν τῷ αὐτῷ εὑρίσκεσθαι καὶ τὸ αὐτὸ εἰς τὰ ἐναντία. καὶ τοῦτο θεὶς, πάνυ διὰ βραχέων ἠνίξατο ὅπως δεῖ τὰς διαιρέσεις ποιεῖσθαι καὶ φησί. [Ἀλλὰ πειρατέον κατὰ γένος λαμβάνειν τὰ ζῶα, ὥσπερ καὶ οἱ πολλοὶ ποιοῦσιν:] παράγει δὲ τοὺς πολλοὺς ζωγράφους: σημεῖον γὰρ αὐτῷ μαρτύρασθαι καὶ τὴν τῶν πολλῶν ὑπόληψιν, ὅταν συμφωνῇ τῇ ἀληθείᾳ. δεῖ οὖν κατὰ γένος πειρᾶσθαι λαμβάνειν τὰ ζῶα. πῶς δὲ ἐντέον οὕτω. τοῦ ζῴου τὸ μὲν, ἐστὶ πτερωτόν: τὸ δὲ, πεζόν: τὸ δὲ, ἔνυδρον: εἶτα τῶν ζώων τὸ μὲν ἐστὶ πολύπουν: τὸ δὲ δίπουν. εἶτα τοῦ ζώου τὸ μὲν ἐστὶ λεπιδωτὸν τὸ δὲ φολιδωτόν. πάλιν τοῦ ζώου τὸ μὲν ἐστιν, ἔναιμον: τὸ δ᾽, ἄναιμον. καὶ

διαιρετέον τὸ ζῷον, εἰς ὅσα ἂν διαιρεθῆναι δύνηται. εἶτα βλεπτέον εἰς ποῖα ἂν τῶν τῆς διαιρέσεως ὁ ὄρνις ἐμπεσεῖν δύναται. κἂν μὲν ἐμπίπτῃ φέρε εἰπεῖν, εἰς τὸ πτερωτὸν, εἰς τὸ ἔναιμον, εἰς τὸ δίπουν, εἰς τὸ ῥυγχωτὸν, ῥητέον ὄρνις ἐστί, ζῷον πτερωτὸν ἔναιμον δίπουν, ῥυγχωτὸν, καὶ ἐπὶ τοῦ ἰχθύος ὁμοίως. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὕτως οὖν τὰ τοῦ ζῴου γένη πειρατέον λαμβάνειν. ἐπιδιαιρέσεις ποιουμένοις τοῦ ζῴου. ἀλλ' οὐχὶ ἑκάστης τῶν διαιρέσεων ὑποδιαιρέσεις. κἂν οὕτω ποιῶμεν τά τε γένη καὶ τὰ εἴδη ληψόμεθα, καὶ τὰ ἑπόμενα ἄτοπα τοῖς τὰς ὑποδιαιρέσεις ποιουμένοις φευξούμεθα. εἵπετο γὰρ αὐτοῖς πρὸς ἄλλοις πολλοῖς καὶ τὸ εἶναι εἴδη τῆς στερήσεως, ἢ μὴ εἶναι τὴν στέρησιν διαφοράν. ἡμῖν δὲ ὥσπερ λέγομεν ποιουμένοις οὐχ ἕψεται τοῦτο. ἐκεῖνοι γὰρ λέγοντες, ὅτι τοῦ ζῴου τὸ μέν ἐστι πτερωτόν· τὸ δὲ ἄπτερον, καὶ ἑκάτερον τούτων, ὑποδιαιροῦντες καὶ λέγοντες. τοῦ δὲ πτερωτοῦ, τὸ μέν ἐστι σχιζόπτερον· τὸ δὲ, ἀσχιδὲς, καὶ τοῦ ἀπτέρου τὸ μέν ἐστι, πολύπουν· τὸ δ' οὐ πολύπουν. καὶ ἐπὶ τοῦ ἀναίμου, καὶ τῆς ἀναιμίας, καὶ τῶν ἄλλων ὁμοίως ποιοῦντες. οὕτως οὖν ἐκεῖνοι ποιοῦντες, ἀναγκαίως αὐτοῖς εἵπετο τὸ εἶναι εἴδη τῆς στερήσεως. ἢ ὡς τοῦ ἀπτέρου τὸ πολύπουν καὶ τὸ μὴ πολύπουν, ἢ μὴ εἶναι τὸ ἄπτερον διαφοράν. ἡμεῖς δὲ τὰς διαιρέσεις ποιοῦντες φαμὲν τοῦ ζῴου τὸ μέν ἐστιν, ἔναιμον· τὸ δ' ἄναιμον· καὶ τοῦτο εἰπόντες οὐχ ὑποδιαιροῦμεν τούτων ἑκάτερον. ὥστε ἐκ τούτου συμβαίνειν, καὶ ἡμῖν εἴδη ποιεῖν τῆς ἀναιμίας, ἀλλὰ πάλιν ἐπιδιαίρεσιν τοῦ ζῴου ποιούμεθα λέγοντες, τοῦ ζῴου τὸ μέν ἐστι πτερωτόν· τὸ δ' ἄπτερον, καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν· τὸ δ' ἄπουν. καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ἀμφίβιον· τὸ δὲ χερσαῖον· τὸ δὲ ἔνυδρον. εἶτα τῶν ζῴων τὸ μέν ἐστι πελάγιον· τὸ δὲ πετραῖον. καὶ τὸ μὲν ἀγελαῖον. τὸ δὲ μοναδικόν. καὶ οὕτω διαιρεθέντος τὸ ζῷον εἰς ἅπαντα ὅσα ἂν διαιρεθῆναι δύνηται, ὁρῶμεν εἰς τίνας τούτων ἐμπίπτειν ὁ ἄνθρωπος ἢ ὁ κόραξ ἢ ἄλλο ὁποιονοῦν δύναται καὶ συντεθέντα ἀποτελοῦμεν εἶδος, ὥστε καὶ τὸ ἔναιμον μετὰ καὶ ἄλλων τινῶν οἷον φέρε τοῦ ὑπόποδος, τοῦ πτερωτοῦ συντεθέντος εἶδος μὲν ποιήσει, ὥσπερ καὶ ἄλλα. εἴδη δὲ αὐτοῦ οὐκ ἔσται· οὐδὲ γὰρ ὑποδιαίρεσιν αὐτοῦ πεποιήκαμεν, ὥσπερ οἱ τὰς διαιρέσεις οὕτω ποιοῦντες· ἀλλὰ ταῦτα μὲν εἴρηταί μοι πρὸς σαφήνειαν τῶν λεχθησομένων. καὶ ὅπως τὰς διαιρέσεις γίνεσθαι ὁ δαιμόνιος οὗτος βούλεται. λοιπὸν δ' ἐπὶ τὰ ἑξῆς ἰέναι. δεῖ φησὶ πειρᾶσθαι λαμβάνειν κατὰ γένος τὰ ζῷα· ἔχοντες γὰρ ἁπάσας τὰς τοῦ ζῴου διαιρέσεις, οὕτω ληψόμεθα τὸν ὄρνιν, τὸν ἰχθῦν, τὰ ἄλλα καὶ ἐπεὶ πάλιν τούτων ἕκαστον τοῦ τε ὄρνιθος, ἰχθύος καὶ τῶν ἄλλων, εἰς πολλὰ διαιρεῖται· τούτου γάρ ἐστι δηλωτικὸν τό· [Τούτων δ' ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς·] Εἴς τε μακρόπτερα καὶ κολεόπτερα καὶ εἰς ἄλλα πλεῖστα. ἔχοντες οὖν καὶ τούτων τὰς τοιαύτας διαφορὰς ἐν τῇ τοῦ ζῴου διαιρέσει· εἰς ἅπαντα γὰρ ὅσα δυνατὸν ἦν διαιρεθῆναι διῄρηται τὸ ζῷον, ληψόμεθα κατὰ τὰ τούτων εἴδη, τὸν κόρακα, τὴν κορώνην, τὸν δελφῖνα, τὸν λάβρακα, τὰ ὅμοια· εἰπὼν δὲ ὅτι τούτων ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς ἐπήγαγεν. [Οὕτω μὲν γὰρ ἤτοι οὐκ ἔστιν τὸ παράπαν λαβεῖν.] τουτέστιν οὕτω μὲν ἐκ τῆς διχοτομίας κατὰ Πλάτωνα ἢ οὐκ ἔστι τὰ εἴδη λαβεῖν· εἰς πλείους γὰρ ἐμπεσεῖται διαφοράς. ὥσπερ ὁ μύρμηξ εἰς πτερωτὸν καὶ ἄπτερον ἢ μία μόνον διαφορὰ ἔσται. ἥτις ἢ ἐκ συμπλοκῆς ἢ ἁπλῶς ποιήσει τὸ τελευταῖον εἶδος. εἰδοποιείσθω λόγου ἕνεκα τὸν ἄνθρωπον. τὸ δίπουν. εἰ οὖν λέγει τις ἄνθρωπος ἐστὶ ζῷον δίπουν, ἁπλῆ αὕτη. εἰ δὲ λέγει ἄνθρωπος ἐστὶ ζῷον ὑπόπουν, δίπουν ἐκ συμπλοκῆς. συνέπλεξε γὰρ τὸ ὑπόπουν τῇ ἑαυτοῦ διαφορᾷ· τὸ γὰρ δίπουν διαφορὰ ὑπόποδός ἐστι· εἴτε δὲ ἁπλῶς, εἴτε συμπεπλεγμένως τοῦτο ποιεῖ, συμβήσεται τὸ ἔναγχος λεχθέν. λέγω δὴ τὸ δὶς λαμβάνειν τὸ ὑπόπουν. ἐπεὶ δέ τις ἔμελλε προχείρως ἐνίστασθαι καὶ λέγειν. ἀλλ' οὐ ληψόμεθα τῆς τοῦ ὑπόποδος διαφορᾶς ἄλλην διαφοράν, οἷον τὸ δίπουν· ὥστε συμβαίνειν δὶς τὸ ὑπόπουν λαμβάνειν, ἀλλὰ ἑτέραν ἥτις οὐκ ἔσται ὑπὸ τὸ ὑπόπουν· εἴποιμι γὰρ ἂν φησὶν οὕτω. τοῦ ζῴου τὸ μὲν ἐστιν ἄπτερον· τὸ δὲ, πτερωτόν. ὁ δὲ κόραξ ἄπτερον μὲν οὐκ ἔστι· πτερωτὸν ἄρα. πάλιν

τοῦ πτερωτοῦ τὸ μὲν ἐστιν, ἥμερον· τὸ δὲ, ἄγριον, ὁ δὲ κόραξ, ἄγριον· πάλιν τοῦ πτε-
ρωτοῦ, τὸ μὲν, ἐστι λευκόν· τὸ δὲ, μέλαν· ὁ δὲ κόραξ, μέλαν. ἐστιν ἄρα ὁ κόραξ ζῶον
πτερωτὸν μέλαν. καὶ οὐδέτερον τούτων δὶς εἴρηται, οὔτε τὸ πτερωτὸν, οὔτε τὸ ἄγρι-
ον· εἰ δὴ ταῦτα τις ἐνιστάμενος λέγει ὥσπερ φησὶ τὸ Σωκράτης περιπατεῖ. καὶ
Πλάτων ἀναγινώσκει, καὶ Θεμιστοκλῆς ναυαρχεῖ, εἷς ἐστι ταῦτα λόγος· ἀλλὰ τῷ συν-
δέσμῳ εἷς. οὕτω κἀκείνους ἀναγκαῖον τοῖς συνδέσμοις ἕνα λόγον τοῦ κόρακος ποιῆ-
σαι ἐκ τῶν τοιούτων διαιρέσεων· ἄλλως δ᾽ οὐκ ἐνδέχεται· πῶς γὰρ ἐκ τοῦ πτερωτοῦ
καὶ ἀγρίου καὶ μέλανος, ἑτέρων ὄντων· ὥσπερ καὶ τὸ Σωκράτης διαλέγεται, ἕτε-
ρον τοῦ, Πλάτων βαδίζει. πῶς οὖν ἐκ τούτων ἁπάντων δυνατόν ἐστιν ἕνα καὶ συνεχῆ
ποιήσασθαι λόγον· εἰ μὴ τῷ συνδέσμῳ· οὐ γάρ ἐστι διαφορὰ τοῦ πτερωτοῦ τὸ ἥμερον,
ἢ τὸ μέλαν, ἵνα φύσει ἓν γένωνται καὶ μὴ τῷ συνδέσμῳ. [Ἀλλ᾽ ἑτέρας ἀρχὴ δια-
φορᾶς·] Ἄλλη γάρ τις διαφορὰ διαιρεῖται εἰς τὸ ἄγριον, ἀλλ᾽ οὐ τὸ πτερωτόν. [Ἐκεῖ
δὲ κατὰ συμβεβηκός.] τουτέστι κατὰ συμβεβηκὸς δὲ τὸ πτερωτὸν καὶ τὸ ἄγριον καὶ
ἥμερον διαιρεῖται ἢ τὸ μέλαν καὶ λευκόν· διό φησιν οὐ διχοτομητέον, ἀλλ᾽ εὐθὺς πολ-
λαῖς διαφοραῖς τὸ ἓν διαιρετέον, ὥσπερ προείπομεν· καὶ γὰρ οὕτω μὲν, ὡς ἡμεῖς λέ-
γομεν, τὰς διαιρέσεις γίγνεσθαι, ποιήσουσι διαφορὰν αἱ στερήσεις. κατὰ δὲ τὴν δι-
χοτομίαν οὐδαμῶς· ἔσονται γὰρ εἴδη τῆς στερήσεως. [Ὅτι δ᾽ οὐκ ἐνδέχεται τῶν
καθ᾽ ἕκαστον εἰδῶν λαμβάνειν οὐδὲν, διαιροῦσι δίχα τὸ γένος, ὥσπερ τινὲς ᾠήθησαν.]
Καὶ δὴ τοῦτον δείκνυσιν, ὅτι ἐκ τῆς κατὰ τὴν διχοτομίαν διαιρέσεως, ἀδύνατόν
ἐστι λαμβάνειν τὰ καθέκαστα εἴδη. ἰστέον δὲ, ὅτι ὅτε ἔλεγε καὶ ἐν τῷ ζ. τῶν μετὰ τὰ
φυσικὰ, καὶ ἐνταῦθα μίαν εἶναι τὴν ἐλαχίστην διαφορὰν, καθ᾽ ἣν εἰδοποιεῖται καὶ
τὸ εἶναι τὸ δέ τι λαμβάνει, τὰ εἴδη· οὐχὶ ἀρεσκόμενος τούτῳ ἔλεγεν· ἀλλ᾽ ὡς ἑπόμε-
νος τοῖς τὰς διαιρέσεις δίχα ποιουμένοις. εἰ γὰρ ἐκ τοῦ ζώου ὑπόποδος, πεζοῦ, φέ-
ρε ὁ ἄνθρωπος ἐστί. τὸ ὑπόπουν συνεπιφέρει τὸ πεζὸν, φανερώτατα ὅτι ἐκ τοῦ ζώου
καὶ τοῦ πεζοῦ συνίσταται ὁ ἄνθρωπος· καὶ τοῦτο μὲν προλελέχθω πρὸς δήλωσιν τῆς τοῦ
Ἀριστοτέλους γνώμης καὶ βουλήσεως· εἰπὼν δὲ ὅτι κἀντεῦθεν δῆλον ὡς οὐκ ἐνδέ-
χεται οὐδὲν τῶν καθέκαστον εἰδῶν λαμβάνειν δίχα διαιροῦσιν, ἐπήγαγεν· [Ἀδύ-
νατον γὰρ μίαν ὑπάρχειν διαφορὰν τῶν καθέκαστον διαιρετῶν·] τουτέστιν ἀδύνατον
γὰρ ἀπὸ μιᾶς διαφορᾶς συνίστασθαι τὸ ἄτομον εἶδος, τὸ διαιρούμενον εἰς τὰ καθέκα-
στα καὶ ἓν ἀριθμῷ· τὸ γὰρ ἐλάχιστον πᾶν εἶδος ἐκ δύο διαφορῶν συνίσταται. εἴρηκε δὲ
τό. [Τῶν καθέκαστον διαιρετῶν.] Ἀντὶ τοῦ τῶν εἰς τὰ καθέκαστα καὶ ἓν ἀριθμῷ
διαιρουμένων· ὁ γὰρ ἄνθρωπος εἰς Σωκράτην, Πλάτωνα, καὶ τοὺς ἄλλους, τοὺς καθέκα-
στα διαιρεῖται. εἰ οὖν ἀδύνατον ἐκ μιᾶς διαφορᾶς, μὴ διαιρουμένης εἰς ἄλλας διαφο-
ρὰς, συνίστασθαι τὰ εἴδη· ἐκ δὲ τῆς κατὰ διαίρεσιν διχοτομίας τοιαύτας διαφορὰς
δύο ἢ τρεῖς λαβεῖν οὐκ ἐνδέχεται, εἰ μὴ μίαν μόνην, πῶς οἷόν τε λέγειν, ὅτι ἐκ τῆς
διχοτομίας ληψόμεθα τὰ εἴδη· σαφέστερον δὲ ἔσται τὸ λεγόμενον ἐκ τοῦ παραδεί-
γματος· κείσθω εἶναι τοῦ κόρακος ὁρισμὸν τὸ ζῶον, δίπουν, εὐγχωτόν· δέον δὲ ἐστι
ἐκ τῆς διχοτομίας λαβεῖν τὸν τοιοῦτον ὁρισμόν. διαιρετέον οὖν κατ᾽ ἐκείνους οὕτω. τὸ
ζῶον διαιρεῖται εἰς πτερωτὸν καὶ ἄπτερον. τὸ πτερωτὸν εἰς ὑπόπουν καὶ ἄπουν. τὸ
ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, ὁ δὲ κόραξ πολύπουν μὲν οὐκ ἐστι, δίπουν.
κείσθω δὲ ὅτι καὶ τὸ δίπουν τελευταῖον ἐστι καὶ ἐσχάτη διαφορὰ καὶ εἰς ἄλλας
διαιρεῖσθαι μὴ δυναμένη. ἔστιν ἄρα ὁ κόραξ ζῶον δίπουν, ἀλλ᾽ οὐκ ἐκ τοῦ δίποδος μό-
νον καὶ τοῦ ζώου ὑπόκειται συγκεῖσθαι, ἀλλὰ καὶ ἐκ τοῦ εὐγχωτοῦ. τὸ δὲ εὐγχωτὸν
ἐκ τῆς τοιαύτης διαιρέσεως οὐδαμῶς ἐπακολουθεῖσθαι ἔχομεν. ἀνάγκη οὖν καὶ ἄλ-
λην διαίρεσιν ποιήσασθαι ἵνα ἐκ ταύτης ληφθῇ καὶ τὸ εὐγχωτόν. εἰ οὖν, ὥσπερ λέ-
γομεν, τὰ εἴδη ἐκ πλειόνων ἀτόμων διαφορῶν συνίστανται· ταύτας δὲ ἐκ μιᾶς διαι-
ρέσεως λαβεῖν οὐκ ἐνδέχεται· ἀνάγκη δύο ποιεῖν διαιρέσεις, εἰ δύο εἰσὶν αἱ συστατι-
καὶ διαφοραὶ, ἢ τρεῖς, ἐὰν τρεῖς, τί οὐκ εὐθὺς διαιροῦμεν τὸ ζῶον εἰς ὅσα δυνατὸν ἦν

διαιρεθῆναι κἀκεῖθεν λαβόντες τὰς συμπληρωτικὰς τοῦ κόρακος διαφορὰς ἀποτελέσωμεν τὸν κόρακα· ἀλλὰ πολὺν χρόνον πονοῦμεν καὶ κακοπαθοῦμεν, τῇ ἐκ τῆς διχοτομίας διαιρέσει. ἡ μὲν οὖν αἰτία, δι' ἣν καὶ νῦν κακίζει τὴν διχοτομίαν διὰ τὸ μὴ δύνασθαι ἐκ ταύτης λαμβάνειν, αὕτη ἐστίν. εἰπὼν δὲ ὅτι ἀδύνατον γὰρ μίαν ὑπάρχειν τὴν συστατικὴν διαφορὰν τῶν εἰς τὰ καθέκαστα, καὶ ἓν ἀριθμῷ διαιρουμένων εἰδῶν, προσέθηκε τὸ [Ἐάν τε ἁπλᾶ λαμβάνῃ, ἐάν τε συμπεπλεγμένα.] τουτέστιν εἴτε τὴν τελευταίαν διαφορὰν μόνην μετὰ τοῦ γένους λαμβάνῃ ἡνίκα λέγει ζῷον δίπουν, εἴτε συμπεπλεγμένην, ὅταν μετὰ τῆς καθολικωτέρας, ἐπειδὰν λέγῃ ζῷον ὑπόπουν, δίπουν· εἴτε οὖν ἁπλᾶ, εἴτε συμπεπλεγμένα, ἀδύνατον ἐκ μιᾶς διαφορᾶς τὸ εἶδος συνίστασθαι. σαφηνίζων δὲ τί τὸ ἁπλοῦν καὶ τί τὸ συμπεπλεγμένον, προσέθηκε τὸ [Ἁπλᾶ μὲν, ἐὰν μὴ ἔχῃ διαφοράν.] τουτέστιν ἐὰν ἡ ἐσχάτη διαφορὰ μετὰ τοῦ οἰκείου γένους μόνου ληφθῇ. οἷον τὸ σχιζόπουν μετὰ τοῦ ζῴου· συμπεπλεγμένα δὲ, ἐὰν ἡ καθολικωτέρα διαφορὰ μετὰ τῆς ὑπ' αὐτὴν καὶ τοῦ οἰκείου γένους συντεθῇ, οἷον ζῷον σχιζόπουν πολυσχιδές· καθολικώτερον δὲ τὸ σχιζόπουν τοῦ πολυσχιδοῦς· τὸ δὲ. [Τοῦτο γὰρ ἡ συνέχεια βούλεται.] ἴσον ἐστὶ τῷ· βούλεται γὰρ αὐτοῖς ἡ συνέχεια καὶ ἡ σύνδεσις τῶν καθολικωτέρων διαφορῶν μετὰ τῶν μερικωτέρων ἕν τι ἐκ τῶν πολλῶν ποιεῖν. καὶ ἐπὶ τούτῳ συντιθέασι τὰ πολλά· τοῦτο δ' ἂν οἶμαι ἐνδεικτικὸν εἴη τοῦ, ὅτι οὐκ ἐνδέχεται ἐκ μιᾶς διαφορᾶς συνίστασθαι εἶδος τὸ οἱονοῦν. ὡς ἂν εἰ ἔλεγε τοσοῦτον ἐστὶ χρεία πλειόνων μιᾶς διαφορᾶς εἰς σύστασιν παντὸς εἴδους, ὥστε καὶ ἐκεῖνοι πολλὰς λαμβάνοντες, πειρῶνται ἕν τι ἐξ αὐτῶν ἀποτελεῖν. ἀλλὰ κἂν ποτε τὸ γένος λάβωσι καὶ τὴν τελευταίαν μόνην διαφορὰν, οἷον τὸ ζῷον, ἢ τὸ ζῷον καὶ τὸ πολυσχιδὲς ἐν τῷ λέγειν καὶ τῷ προφορικῷ λόγῳ. αὐτῇ δὴ τῇ ἐκφωνουμένῃ φωνῇ δοκεῖ, ὅτι μία ἐστὶ διαφορά· κατὰ ἀλήθειαν δὲ οὐ μία, ἀλλὰ πολλαὶ διὰ τὸ συνεπιφέρειν τὴν ἐσχάτην τὰς πρὸ αὐτῆς, κἂν μὴ ἐκφωνῶνται. τοσοῦτον δὲ συνεπιφέρει, ὥστε κἂν ἐκφωνηθείη, ἢ τὸ πολύπουν, ἢ τὸ ὑπόπουν, περίεργον καὶ μάτην εἰρῆσθαι δοκεῖ. εἰπὼν οὖν, ὅτι ἀδύνατον ἐκ μιᾶς ἀτόμου διαφορᾶς συνίστασθαι τὸ εἶδος λέγει. [Ὅτι δὲ ἀδύνατον] ἐκ τῆς μιᾶς διχοτομίας πλείους λαβεῖν τοιαύτας διαφορὰς ἤγουν ἀτόμους, δῆλον· ἀεὶ γὰρ βαδίζων ἐκ τῆς διαιρέσεως ἐπὶ τὴν ἐσχάτην μὲν βαδίζει, καὶ ἄτομον διαφοράν· ἀλλ' οὐκ ἐπὶ τὴν εἰδοποιὸν, καὶ πληρωτικὴν τοῦ εἴδους, διὰ τί; ὅτι οὐκ ἐκ μιᾶς, ὡς πολλάκις εἴρηται, συνίσταται διαφορᾶς τὸ οἱονοῦν εἶδος· αὕτη δὲ ἡ ἐσχάτη διαφορὰ εἰς ἣν οἱ διχοτομοῦντες καταντῶσιν, ἢ τὸ σχιζόπουν ἐστὶ μόνον· ἢ γὰρ τὸ σχιζόπουν μόνον μετὰ τοῦ ζῴου λήψεται ὁ τὸν ἄνθρωπον λαβεῖν ζητῶν, ἢ καὶ τὰς ἐπάνω τοῦ σχιζόποδος τὸ ὑπόπουν, καὶ τὰς λοιπάς· σύμπλεξιν γὰρ τὴν σύνθεσιν εἴρηκε τῶν καθολικωτέρων μετὰ τῶν μερικωτέρων διαφορῶν. ἀλλ' εἰ μὲν ἦν ὁ ἄνθρωπος ζῷον σχιζόπουν μόνον, δυνατὸν ἦν ληφθῆναι τὸν ἄνθρωπον, ἐκ τῆς κατὰ διχοτομίαν διαιρέσεως. νῦν δ' ἐπειδὴ οὐκ ἔστιν ὑπὸ ζῴου, καὶ σχιζόποδος, ἀλλὰ καὶ ἐξ ἄλλων αἵτινες οὐκ εἰσὶν ὑπὸ τὴν αὐτὴν διαίρεσιν, ἐξ ἧς τὸ σχιζόπουν ἐλήφθη, ἀλλ' ἄλλη μὲν διαίρεσις τελευτᾷ καὶ περατοῦται εἰς τὸ σχιζόπουν. ἄλλη δὲ εἰς ἄλλο· νῦν δ' ἐπειδὴ οὐκ ἔστι τοῦτο, ἀδύνατον ὁτιοῦν τῶν καθέκαστον ζῴων λαβεῖν, διαιρουμένους δίχα· λέγων πάλιν καθέκαστον ζῷον τὸ εἰδικώτατον εἶδος. [Ἀπορήσειε δ' ἄν τις διατί οὐχ ἄνωθεν ἑνὶ ὀνόματι ἐμπεριλαβόντες ἅμα ἓν γένος προσηγόρευσαν οἱ ἄνθρωποι·] ζητήσειεν ἄν τις φησὶ, διατί οἱ ἄνθρωποι, ὥσπερ κόρακα, κορώνην, ἀετὸν, τὰ τοιαῦτα κοινῷ ὀνόματι τῷ ὄρνιθι, προσηγόρευσαν ὄρνιθας, οὐχ οὕτω καὶ τὸ πτηνὸν, καὶ ἔνυδρον ἐκάλεσαν φέρε εἰπεῖν, ἔμψυχον, ἢ αἰσθητικὸν· ὥσπερ ἐκεῖνο ὄρνις· εἰ γὰρ διὰ τὸ ἔχειν κοινὰ πάθη ὅ τε κόραξ, ἡ κορώνη, ὁ ἀετὸς, ταῦτα δ' ἂν εἴη τὸ ῥύγχος, τὸ πτερὸν, τὰ λοιπὰ, ὅσα κοινῶς αὐτοῖς ὑπάρχει, εἰ οὖν διὰ τὴν τῶν παθῶν κοινωνίαν κοινῷ ὀ-

ὀνόματι ὄρνιθας αὐτὰ προσηγόρευσαν, διατί οὐ καὶ τὸ πτηνὸν καὶ τὸ ἔνυδρον· εἰσὶ γὰρ καὶ ἐν τούτοις τῷ πτηνῷ καὶ ἐνύδρῳ, ἔνια τινὰ κοινὰ πάθη· θεὶς οὖν τὴν ἀπορίαν λύει αὐτὴν, λέγων. καλῶς ὥσπερ πεποιήκασιν οἱ ἄνθρωποι καὶ τὰ μὲν ἑνὶ ὀνόματι περιέλαβον· τὰ δὲ ἐχώρισαν. καὶ ἄλλως μὲν ταῦτα. ἑτέρως δὲ ἐκεῖνα προσηγόρευσαν· ὅσα μὲν γὰρ κατὰ τὴν φύσιν οὐ διαφέρει, ἀλλὰ μόνην τὴν ὑπεροχὴν καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. [Ταῦτα ὑπέζευκται ἑνὶ γένει.] τουτέστι ταῦθ᾽ ὡς ἑνὶ γένος περιέλαβον. καὶ κοινῷ ὀνόματι προσηγόρευσαν τὸ δέ τι, οἷον ὄρνιν ἢ ἰχθῦν· τὸ γὰρ τοῦ κόρακος πτερὸν ἢ τὸ ῥύγχος καὶ τοῦ πυργίτου ὁμοίως καὶ τῶν λοιπῶν ὀρνίθων, ἢ πτερὰ καὶ ἢ ῥύγχη. οὐδὲν διαφέρει· μόνῳ δὲ τῷ μακρῷ καὶ βραχεῖ· τὰ μὲν γὰρ τῶν ὀρνίθων ἐστὶ μακρότατα· τὰ δὲ βραχύτατα· ἀλλὰ καὶ οἱ πόδες γεράνου, καὶ πυργίτου, καὶ ἀλεκτορίδος, καὶ ἀετοῦ, τῷ μὲν σχήματι διαφέρουσιν οὐδέν· τῷ μᾶλλον δὲ καὶ ἧττον. ἀλλὰ καὶ κατὰ τὰ ἐντὸς μέρη πολλὴν ἔχουσιν ἅπαντες οἱ ὄρνιθες πρὸς ἄλληλα τὴν ὁμοιότητα. ὅσα μὲν οὖν ἦν τοιαῦτα, ταῦτα ὑπέζευκται ἑνὶ γένει· ὅσα δὲ μὴ τῇ φύσει κοινωνεῖ, ἀλλὰ διαφέρει, μόνῃ δὲ τῇ ἀναλογίᾳ ἔχουσι ταυτὸν, ταῦτα κεχώρισται, καὶ διαφόροις ὀνόμασιν ὠνόμασταί τε. καὶ ὡς διάφορα φύσει νενόμισται· τίνα γὰρ κοινωνίαν φύσεως ἢ ταυτότητα ἔχει λεπὶς καὶ πτερὸν, ἢ βράγχιον καὶ πνεύμων. ὥστε ὡς μία τις φύσις λογίζεται ὁ ὄρνις, καὶ ὁ ἰχθῦς. καὶ δὴ ὥσπερ καὶ κοινῷ ὀνόματι πρὸς τῇ ταυτότητι τῆς φύσεως προσαγορεύεσθαι, πάντως οὐδεμίαν, ἀλλὰ μόνῃ τῇ ἀναλογίᾳ τὸ ταυτὸν σώζει· ὃ γὰρ ἐν χέρσῳ ποιεῖ πνεύμων, ὥσπερ ἐν θαλάσσῃ ποιεῖ βράγχιον. τὸ δέ. [Τοῦτο δὲ ποιεῖν ἐπὶ πᾶσιν οὐ ῥᾴδιον] ἔργον τὸ ἐπὶ πᾶσι δὲ εὑρίσκειν κοινότητα μὲν φύσεως, ὥσπερ ἐπὶ τῶν πτερῶν, καὶ τῶν ῥυγχῶν· διαφορὰν δὲ κατὰ μόνον τὸ μᾶλλον, καὶ ἧττον, οὐ ῥᾴδιον· τὰ γὰρ πλεῖστα τῶν ζώων τῇ ἀναλογίᾳ τὸ ταυτὸν σώζει· οὐ τῇ φύσει· εἰ δὲ ὥσπερ, πῶς οἷόν τ᾽ ἦν ἅπανθ᾽ ἑνὶ προσαγορεῦσαι ὀνόματι· [Ἐπεὶ δὲ οὐσίαι μὲν εἰσὶ τὰ ἔσχατα εἴδη] ἡ μὲν τοῦ ῥητοῦ διάνοια τοιαύτη, ὅτι μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη τῶν γενῶν· ἐλλιπῶς δὲ πέφρασται· λείπει γὰρ τὸ, τὰ διαιρούμενα εἰς τὰ ἔσχατα. λέγων ἔσχατα Σωκράτην, Πλάτωνα, ἁπλῶς τὰ ἄτομα, καὶ εἴη ἂν τὸ πλῆρες τῆς λέξεως τοιοῦτον. ἐπεὶ δὲ μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη, τὰ εἰς τὰ ἄτομα προσεχῶς διαιρούμενα. ταῦτα δὲ, τὰ ἄτομα, κατ᾽ εἶδος ἀδιάφορα καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ λεγόμενον λύσις ἀπορίας τινὸς, δυναμένης φέρεσθαι πρὸς τὰ λεγόμενα· ἠπόρησε γὰρ ἄν τις. ἐπειδὴ μᾶλλον οὐσίαι τὰ εἴδη τῶν γενῶν εἰσὶ, διὰ τί οὐκ ἐπὶ τῶν μᾶλλον οὐσιῶν τὰ μέλλοντα δείκνυσθαι, δεικνύεις; ἀλλ᾽ ἐπὶ τῶν καθολικωτέρων, ἃ ἧττον εἰσὶν οὐσίαι. δεῖ δὲ τὰς δείξεις ἐπὶ τῶν μᾶλλον ὄντων ποιεῖσθαι· μᾶλλον δὲ ὄντα αἱ μᾶλλον οὐσίαι. πρὸς δὴ τοιαύτην ἀπορίαν ἐπάγει ταῦτα, δυνάμει λέγων· εἰ μὲν γὰρ εἰσὶ μᾶλλον οὐσίαι τὰ ἔσχατα εἴδη· ὅ, τι κόραξ, κορώνη, καὶ τὰ ὅμοια, δεῖ ἐπὶ τούτων τὰς δείξεις ποιεῖσθαι. εἰ δὲ ἐκ τούτων συμβαίνει πολλάκις τὰ αὐτὰ λέγειν, ὥσπερ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου εἴπομεν, ἀναγκαῖον τὰ καθόλου καὶ κοινῶς πᾶσιν ὑπάρχοντα πρῶτον εἰπεῖν· εἰ δέ τινα καὶ ἴδιά τινα πρόσεστιν αὐτοῖς, ὕστερον καὶ περὶ τούτων λελέξεται.

[Ἀπορίαν δ᾽ ἔχει περὶ πότερα δεῖ πραγματεύεσθαι.] τὴν προειρηθεῖσαν ὑφ᾽ ἡμῶν ἀπορίαν νῦν ἐκτίθεται καὶ λύει· ἔχει γάρ φησιν ἀπορίαν περὶ ποῖα δεῖ τὴν πραγματείαν ποιεῖσθαι. [Ἡ μὲν γὰρ οὐσία τὸ τῷ εἴδει ἄτομον κράτιστον.] τουτέστι κατὰ μὲν γὰρ οὐσίαν κράτιστον καὶ κυριώτατον τὸ τῷ εἴδει ἄτομόν ἐστι· ὥσπερ δὲ ταυτόν ἐστι τῷ, ἐπεὶ δὲ κρατίστη καὶ κυριωτάτη καὶ μᾶλλον οὐσία ἐστὶ τὸ ἄτομον καὶ εἰδικώτατον εἶδος· μᾶλλον γὰρ οὐσία τὸ εἶδος τοῦ γένους, ὥσπερ καὶ Σωκράτης, καὶ ὅλως τὰ ἄτομα τῶν εἰδῶν, εἴτις ἐν τοῖς τοιούτοις εἴδεσι δύναται τὴν πραγματείαν οὕτω ποιεῖσθαι χωρὶς μὲν περὶ ἀνθρώπου· χωρὶς δὲ περὶ ὄρνιθος, λέγων ὄρνιθα οὐ τὸ τῶν ὀρνίθων γένος, ἀλλὰ σχοινίλον, ἢ γέρανον, ἢ τοιοῦτον ὃ καὶ σαφηνίζων ἐπήγαγεν· [Ἔχει τὰ εἴδη τὸ γένος τοῦτο.] δυνάμει λέγων. ἐπεὶ ὁ ὄρνις λέγεται μὲν καὶ κατὰ τοῦ

τῶν ὀρνίθων γένους, λέγεται δὲ καὶ κατὰ τῶν τοῦ ὄρνιθος εἰδῶν, κόρακος. καὶ κορώνης, τῶν ἄλλων· ὄρνιθος εἰπών, οὐ τὸ γένος εἶπε τῶν ὀρνίθων, ἀλλ' εἶδος ὄρνιθος· εἴ τις γοῦν δύναιτο τὴν πραγματείαν ποιεῖσθαι περὶ ὁτουοῦν ὄρνιθος, ὥστε μὴ πολλάκις λέγειν τὰ αὐτά, δικαίως ἂν τοῦτο ποιήσειεν. ὃ δέ τις φησὶν ὄρνις ἢ στρουθός ἐστιν, ἢ γέρανος, ἢ ἄλλο τι τοιοῦτον· εἰ δὲ περὶ ἑνὸς ἑκάστου τούτων λέγων συμβαίνει πολλάκις λέγειν περὶ τοῦ αὐτοῦ πάθους, διὰ τὸ κοινῶς πλείοσιν ὑπάρχειν. ταύτῃ δ' ἐστὶν ὑπάτοπον τὸ χωρὶς περὶ ἑκάστου λέγειν· ὑπάτοπον δέ ἐστι τὸ μεταξὺ ἀτόπου καὶ μὴ ἀτόπου, ὥσπερ ὑπόξηρον τὸ μεταξὺ χλωροῦ καὶ ξηροῦ· ταῦτα
» εἰπὼν πάλιν ἐπικρίνει λέγων. [Ὅσα καλῶς οἱ ἄνθρωποι ὥρισαν,] ἤτοι συνήθροισαν. καὶ ὡς μίαν τινὰ φύσιν, καὶ ἕν τι γένος ἔταξαν διὰ τὸ μὴ πολὺ διεστάναι ἀπ' ἀλλήλων, ὁποῖόν ἐστιν ὁ ὄρνις· τοῦτο γὰρ ὡς ἕν τι γένος, καὶ μίαν φύσιν νομίζεσθαι ἔθεντο, διὰ τὸ μὴ πολὺ διεστηκέναι κόρακα, κορώνης. καὶ τοὺς ἄλλους ὄρνιθας ἀπ' ἀλλήλων· ὅσα μὲν οὖν τοιαῦτα, δεῖ περὶ τούτων κοινῶς λέγειν. [Ὅσα δὲ μὴ τοιαῦτα, καθ' ἕκαστον.] τουτέστι χωρὶς περὶ ἑνὸς ἑκάστου, οἷον χωρὶς μὲν περὶ ἀνθρώπου, καὶ ἰδίως περὶ ἵππου. τίνα δέ εἰσιν ἅπερ ὡς ἕν τι γένος ἔταξεν, ἐπήγαγεν εἰπών. σχεδὸν γὰρ ὅσα τῶν μορίων ἔχει ὁμοιότητα, καὶ ὅλον τὸ σῶμα, ὥρισταί τε, καὶ ὡς μία τις φύσις, καὶ ἕν τι γένος νενόμισται, καὶ καθ' ἑαυτὴν κεχωρισμένη, καὶ τῶν ἄλλων ἀφωρισμένη εἶναι λελόγισται, ὥσπερ ὁ ὄρνις, ὁμοίως καὶ τὰ μαλάκια· καὶ ταῦτα γὰρ διὰ τὴν τῶν μορίων ὁμοιότητα, ὡς γένος εἶναι διώρισαν. ἀλλὰ καὶ τὰ ὄστρεα· τὰ γὰρ μόρια τούτων οὐ τῇ ἀνάλογον ὁμοιότητι τὸ ταυτὸν ἔχει. τῇ φύσει δὲ καὶ τῷ σχήματι τὸ διάφορον. ἀλλὰ μόνοις τοῖς πάθεσι. μεγέθει καὶ μικρότητι, λειότητι τραχύτητι, καὶ ὅλως τῷ μᾶλλον καὶ ἧττον. ταῦτα εἰπὼν συμπεραίνεται τὸν ἅπαντα λόγον. λέγων. [Πῶς μὲν οὖν ἀποδέχεσθαι χρὴ τὴν περὶ φύσεως μέθοδον.] καὶ τὰ ἑξῆς. σαφῆ δὲ τὰ λοιπά, διὰ τὸ τούτων τὰ μὲν εἰπεῖν αὐτὸν ἐν τῷ περὶ οὐρανοῦ, τὰ δὲ καθαρῶς ἐνταῦθα καὶ σαφῶς ἀπαγγέλλειν, ὅμως εἰσί τινα δεόμενα βραχείας ἐπιστάσεως· ὧν οὐδὲν ἀνεξέταστον καταλειφθήσεται. αὐτίκα τό. [Ἀντικαταλλάττεταί τι πρὸς τὴν περὶ τὰ θεῖα φιλοσοφίαν,] εἴρηται ὥσπερ ἂν εἰ ἔλεγε. πρὸς ἡμᾶς τὰ φυτά, καὶ ζῷα ἄνθρωποι· εἰ γὰρ τίμια, καὶ θειότατα τὰ οὐράνια σώματα τυγχάνει, ἀλλ' οὖν ἐπειδὴ ἔνεστι, καὶ ἡμῖν πολλὰ θαυμάσια ποιητέον λόγον, καὶ ἡμῶν, καὶ μὴ πάντῃ καταφρονητέον. μὴ κεχαρισμένα δὲ πρὸς αἴσθησιν εἴρηκε τὰ ἀηδέστατά τε, καὶ εἰδεχθέστατα· οἷόν ἐστιν ὁ κοχλίας, καὶ ἄλλα πάμπολλα. καὶ τό. [Μὴ δυσχεραίνειν παιδικῶς.] ἴσον ἐστὶ τῷ, οὐ δεῖ, ὥσπερ τοὺς παῖδας φεύγειν μὴ τὰ ἡδέα τῶν ζῴων, ἀλλὰ προσιέναι τούτοις διὰ τὸ ἐν αὐτοῖς θαυμάσιον. τὸ δὲ περὶ Ἡρακλείτου τοιοῦτόν ἐστιν. Ἡράκλειτος ὁ ἐφέσιος καθήμενος ἐν τοῖς ποτὲ τοῦ ἰπνοῦ. ἰπνὸς δέ ἐστιν οἷον οἰκίδιον, ἐν ᾧ τοὺς ἄρτους ἕψομεν· ἀφ' οὗ καὶ ἰπνίτης ἄρ-
» τος λέγεται. καθήμενος οὖν ἐν τῷ τοῦ ἰπνοῦ καὶ θαλπόμενος ἐκέλευσε τοὺς προσιόντας
» αὐτῷ ξένους εἰσελθεῖν· εἶναι γάρ φησι καὶ ἐνταῦθα θεούς· τὸ γὰρ πάντα πλήρη θεῶν, Ἡρακλείτειον ἐστὶ δόγμα. καὶ ἐπεὶ μάλιστα ἐν τοῖς τῆς φύσεως ἔνεστι τὸ οὗ ἕνεκα· ἕκαστον δὲ οὗ ἕνεκα τέλους ἢ ἐστὶν ἢ γίνεται, ὡς τέλος τὴν τοῦ καλοῦ χώραν εἴληφε· πᾶν γὰρ τὸ γινόμενον ἕνεκά τινος ὡς καλοῦ ἐκείνου ἐφιέμενον γίνεται. ἐπεὶ οὖν οὕτω ταῦτα σκεπτέον περὶ αὐτῶν· εἰ δέ τις ἄτιμον νενόμικε τὴν θεωρίαν τῶν μορίων, ἐξ ὧν τὰ ἄλλα ζῷα συνέστηκε, διὰ τὸ μὴ ποιεῖν ἡδύτητα τῇ αἰσθήσει, τοῦτο καὶ περὶ ἑαυτοῦ νομιζέτω· τίνα γὰρ ἡδονὴν ἐμποιεῖ καταμήνιον ὁρώμενον, ἢ χιτὼν ὁ περιέχων τὸ βρέφος, ὅτε ἐξέρχεται ἐκ τῆς κοιλίας τῆς μητρὸς ἢ σάρκες, νεῦρα, τὰ τοιαῦτα, ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε· τούτου γὰρ ἐστι δηλωτικὸν τό. [Οὐκ ἔστι γὰρ ἄνευ πολλῆς δυσχερείας ἰδεῖν, ἐξ ὧν συνέστηκε τὸ τῶν ἀνθρώπων γένος·] δυσχέρειαν εἰπὼν τὴν γινομένην τῇ αἰσθήσει λύπην· καὶ ὡς ἂν εἴποι τις ἀηδίαν· ταῦτα εἰπὼν πάλιν διορίζει τὰ περὶ τὴν ὕλην, καὶ τὸ εἶδος, λέγων· δεῖ νομίζειν τὸν διαλεγόμενον περὶ οὐ-

τινος οὖν

τινος οὖν μορίου τῶν ζώων, ἢ καὶ περὶ σκεύους, μὴ περὶ τῆς ὕλης μόνης ποιεῖσθαι τὴν μνήμην, μηδὲ ταύτης χάριν. [ἀλλὰ] περὶ [τῆς ὅλης μορφῆς:] λέγων ὅλην μορφὴν τὸ σύνθετον, τὸ ἐξ ὕλης, καὶ εἴδους: εἴτε τοῖς κατὰ τέχνην, καὶ ἐν τοῖς φυσικοῖς: καὶ ἐν τοῖς φυσικοῖς γὰρ περὶ τῆς ὅλης οὐσίας, τῆς ἐξ ὕλης, καὶ εἴδους ποιητέον τὴν μνείαν, ἀλλὰ μὴ περὶ τῆς ὕλης: ἥτις οὐδέποτε χωρίζεσθαι πέφυκε τῆς οὐσίας αὐτῶν: τούτου γάρ ἐστι δηλωτικὸν τό. [Ἀλλὰ μὴ περὶ τούτων ἃ μὴ συμβαίνει χωριζόμενά ποτε τῆς οὐσίας αὐτῶν:] οὐδέποτε γὰρ χωρὶς τῆς οἰκείας ὕλης, ἢ ἡ σάρξ, σάρξ ἐστιν: ἢ ἡ χείρ, χείρ, ἢ ἄλλο τι τῶν τοιούτων: τὸ δὲ [πράξεώς τινος ἕνεκα πλήρους.] τὸ πλήρους ἀντὶ τῆς ὅλης: εἰ γὰρ ἡ χεὶρ ἕνεκα τινὸς πράξεως συνέστηκε, καὶ ὁ ὀφθαλμὸς δηλονότι, καὶ τὸ ὅλον σῶμα ἕνεκα πράξεως ὅλης συνέστηκε, καὶ ὃν λόγον ἔχει τὰ μέρη πρὸς τὸ ὅλον, τὸν αὐτὸν καὶ αἱ τῶν μερῶν πράξεις πρὸς τὴν τοῦ ὅλου: λέγει δὲ καὶ τινῶν αἱ κοιναὶ πράξεις, καὶ τινῶν, οὔ. κοιναὶ μὲν οὖν εἰσι πράξεις φησὶν, ὅσαι πᾶσιν ὑπάρχουσι τοῖς ζώοις: [Κατὰ γένος δὲ ὅσων παράλληλα τὰς διαφορὰς ὁρῶμεν καθ' ὑπεροχὴν οὔσας.] τουτέστιν, ὅσων τὰ μέρη, παράλληλα τιθέμενα καὶ ἐξεταζόμενα, μὴ ἔχει διαφορὰς τῆς φύσεως: μόνῳ δὲ τῷ μᾶλλον, καὶ ἧττον: πτερὸν γὰρ, πτεροῦ: καὶ ῥύγχος, ῥύγχους, τῷ μᾶλλον καὶ ἧττον μόνῳ διαφέρουσιν. [Ὅσαι μὲν οὖν πράξεις ἄλλων ἕνεκα δῆλον ὅτι καὶ ὧν αἱ πράξεις τὸν αὐτὸν τρόπον διεστᾶσι.] τὸ λεγόμενον ὧδε ἔσται φανερόν. πρᾶξις ἐστι καρδίας τὸ γεννᾶσθαι ἐν αὐτῇ τὸ ἔμφυτον θερμόν: πράξεις δὲ χειρὸς εἰσὶ μὲν καὶ ἄλλαι, ἀλλὰ καὶ τὸ προσάγειν τὰ βρώματα ἐν τῷ στόματι: ὀδόντων δὲ τὸ λεαίνειν αὐτά: κοιλίας τὸ δέχεσθαι καὶ ἕψειν: ἥπατος τὸ ἐξαιματοῦν: αὗται δὲ πᾶσαι αἱ πράξεις ἕνεκα τῆς πράξεως, τῆς καρδίας εἰσί. διὰ γὰρ τὸ ἔμφυτον θερμὸν ταῦτα πάντα γίνεται, καὶ ἔστι τῇ τῆς καρδίας πράξει ἐγγυτέρα ἡ τοῦ ἥπατος: πορρωτέρα δὲ ἡ τῆς κοιλίας, καὶ ταύτης ἡ τῶν ὀδόντων, καὶ ταύτης ἡ τῶν χειρῶν. τούτων οὖν προρρηθέντων, τὸ λεγόμενον ἐστι τοιοῦτον. [Ὅσαι μὲν οὖν πράξεις ἄλλων ἕνεκα:] αὐτίκα ἡ τοῦ ἥπατος πρᾶξις καὶ τῆς κοιλίας, καὶ τῶν ἄλλων, ἕνεκα τῆς πράξεως εἰσὶ τῆς καρδίας. ὅσαι οὖν πράξεις ἄλλων πράξεων, ἢ ἄλλης ἕνεκα εἰσὶ, δῆλον, ὅτι ὡς αἱ πράξεις, πρὸς τὴν πρᾶξιν: οὕτω καὶ τὰ μόρια, ὧν αἱ πράξεις, πρὸς τὸ μόριον: ἐγγυτέρα δὲ, ὡς εἴρηται, ἡ τοῦ ἥπατος πρᾶξις τῇ τῆς καρδίας πράξει. καὶ τὸ ἧπαρ ἄρα ἐγγύτερον τῇ καρδίᾳ, ἤπερ τἆλλα μόρια: ἐγγύτερον δὲ οὐ τῷ τόπῳ, καίτοι ἴσως καὶ τοῦτο, ἀλλ' ὡς ἡ πρᾶξις ἔχει τὸ ἐγγὺς, οὕτω καὶ τὸ μόριον, καὶ ἀντιστρέφει τὸν λόγον, λέγων. [Ὁμοίως δὲ κἂν εἴ τινων εἰσὶ πρότεραι πράξεις.] καὶ τυγχάνουσιν οὖσαι τέλος ἑτέρων πράξεων, τὸν αὐτὸν τρόπον ἕξει τὰ μόρια, ὡς αἱ πράξεις καὶ πράξεις, ὡς τὰ μόρια. [Καὶ τρίτον ὧν ἐόντων ἀναγκαῖον] τὸ δεῖ τι ὑπάρχειν, τὸν αὐτὸν τρόπον ἕξουσιν αἱ πράξεις, ὡς τὰ πράγματα: καὶ ταῦτα, ὡς αἱ πράξεις. τὰ δὲ ἑξῆς σαφῆ ἕως τέλους τοῦ βιβλίου, καὶ μηδεμίαν ἔχοντα δυσχέρειαν.

τῶν σπονδύλων: εἰ δὲ ἦσαν, οὔτε λιπαρὸν καὶ πιμελῶδες, οὔτε στεατῶδες τὸν ῥαχίτην ἐνδέχεται εἶναι μυελόν: στεατώδης μὲν γὰρ ὤν, ἐθραύετο ἄν: θραυστὸν γὰρ τὸ στέαρ, καὶ οὐκ ἔτ' ἂν ἦν συνεχὴς καὶ οἷον περόνη: πιμελώδης δὲ ἂν ὢν ὑγρός, καὶ ῥυτός, καὶ οὐδ' οὕτω συνεχής, οὐδὲ δι' ὅλης τῆς ῥάχεως, ἀλλὰ ἐν ἐνίοις μὲν τῷ κάτω μέρει ἦν ἄν, ἐν δὲ τῷ αὐχένι οὐκ ἔτι: ἔνια δὲ τῶν ζώων ἔχει μὲν μυελόν: οὐχ οὕτω δὲ φανερόν, ὥστε ἀξίως ὀνομάσαι αὐτὸν μυελόν. ὥσπερ ὁ λέων: [Τούτου γὰρ τὰ ὀστᾶ διὰ τὸ πάμπαν ἄσημον ἔχειν] τουτέστι διὰ τὸ λίαν ἔχειν τοὺς τῶν ὀστῶν πόρους στενοτάτους, δοκεῖ μὴ ἔχειν ὅλως μυελόν, καὶ περιέχειν ὅσον ἂν εἰκὸς χωρῆσαι ἐν τοιούτῳ πόρῳ, ταῦτα εἰπὼν ἐπισημαίνεται, ὅτι τῶν ἐχόντων τὰ ὀστᾶ πυκνά, καὶ ἰσχυρά, τούτων τὰ μὲν οὐδ' ὅλως ἔχει μυελόν, τὰ δ' ἔχει, ἀλλ' ὀλίγον, διὰ τὸ τὴν τροφὴν ἀναλίσκεσθαι εἰς τὴν τῶν ὀστῶν φύσιν, καὶ μὴ ἐπαρκεῖν, καὶ εἰς μυελοῦ γένεσιν: χρῄζουσα γὰρ ἡ φύσις μᾶλλον τῶν ὀστῶν, ἤπερ τοῦ μυελοῦ, εἰς ἐκεῖνα τὴν τροφὴν ἀναλίσκει: μετὰ ταῦτα λέγει περὶ ἐγκεφάλου, καί φησιν, ὅτι πολλοῖς, ὧν ἐστι καὶ ὁ Πλάτων, ὁ ἐγκέφαλος δοκεῖ μυελὸς εἶναι, καὶ ἀρχὴ τοῦ μυελοῦ: διὰ τὸ τὸν ῥαχίτην ὁρᾶν αὐτῷ συνεχῆ: τοσοῦτον δ' οὐκ ἔστι φησὶν ὁ ἐγκέφαλος, οὔτε μυελός, οὔτε μὴν ἀρχὴ μυελοῦ, ὥστε καὶ ἐναντίος ἐστὶν ὁ μυελὸς κατὰ τὴν φύσιν τῷ ἐγκεφάλῳ, καὶ πῶς ἐπάγει: ὁ μὲν γὰρ ἐγκέφαλος ψυχρότατός ἐστιν: ὁ δὲ μυελὸς θερμός: ἐναντίον δὲ τὸ θερμὸν τῷ ψυχρῷ. καὶ εὐλόγως ἐστὶν ὁ μυελὸς θερμός, ὢν συνεχὴς τῷ ἐγκεφάλῳ, ψυχρῷ ὄντι: ἵνα θερμαίνῃ καὶ κολάζῃ τὴν ὑπερβάλλουσαν αὐτοῦ ψυχρότητα: ἀεὶ γὰρ ἡ φύσις μηχανᾶται πρὸς τὴν ἑκάστου ὑπερβολήν, βοήθειαν τὴν τοῦ ἐναντίου παρεδρίαν. ὅτι δὲ ὁ ἐγκέφαλος ψυχρότατος ἔστι φανερὸν καὶ ἐκ τῆς θίξεως: ἁπτόμενος γὰρ ψυχρός ἐστιν: ἔστι δὲ οὔτε περίττωμα ὁ μυελός, οὔτε τῶν συνεχῶν μορίων, ὥσπερ αἱ σάρκες: ἀλλ' αὐτὸς καθ' αὑτόν. καὶ ὅτι μὲν οὐκ ἔχει συνέχειαν ὁ μυελός, ἀλλ' ὡς ἐν ἀγγείῳ τινί ἐστιν ἐν τῇ κεφαλῇ καθ' αὑτόν, δῆλον καὶ ἐκ τῆς ὄψεως, καὶ ἐκ τοῦ μὴ ποιεῖν αἴσθησιν θιγγανόμενος, ὥσπερ οὐδὲ τὸ αἷμα: οὐδὲ γάρ ἐστι συνεχές: ἀλλ' ὡς ἐν ἀγγείῳ, ταῖς φλεψίν: ἡ δὲ σάρξ, συνεχὴς οὖσα, ποιεῖ αἴσθησιν: ἐπειδὴ δέ τις ἔστιν ὁ ἐγκέφαλος λέγει καὶ δι' ἣν αἰτίαν ἐγγέγονε: πρὸς γὰρ σωτηρίαν αὐτῶν, καὶ τὸ περιψύχειν τὸ ἐν τῇ καρδίᾳ θερμόν: [Πρότερον δὲ δείκνυσιν ὡς ἔνεστιν ἡμῖν θερμόν] καὶ οὕτως λέγει διατί γέγονεν ὁ ἐγκέφαλος. τοσοῦτον οὖν φησὶν ἐκδηλότατον τυγχάνει, ὅτι ἔνεστιν ἡμῖν θερμόν, ὥστε τινὲς τὴν ψυχὴν πῦρ τιθέασι, δυνάμει λέγοντες, ὅτι ὥσπερ ἄνευ ψυχῆς οὐ δύναται ζῷον εἶναι, οὕτως καὶ ἄνευ θερμοῦ, φορτικῶς πῦρ εἰπόντες τὴν ψυχήν. βέλτιον οὖν λέγειν, τὴν αἰσθητικὴν ψυχὴν ἐν πυρὶ εἶναι, ἢ λέγειν αὐτὴν πῦρ: λέγει δὲ τὴν αἰτίαν, ὑφ' ἧς πῦρ αὐτὴν λέγειν ὡρμήθησαν: ὁρῶντες γάρ φησι τὸ ἐν ἡμῖν πῦρ ἤγουν τὸ ἔμφυτον θερμὸν ὑπηρετικώτατον, καὶ οἷον ὄργανον ὑπάρχειν τῶν τῆς ψυχῆς ἔργων: ἄνευ γὰρ τούτου οὔτε κινεῖν, οὔτε τρέφειν δύναται, ὑπέλαβον ὅτι τὸ πῦρ ἐστιν, ἡ ψυχή. ὅμοιον οὖν τὸ τὴν ψυχὴν πῦρ λέγειν, καὶ τὸν τέκτονα πρίονα, ἢ σκέπαρνον: οὐδὲ γὰρ οὗτος χωρὶς τούτων, τὰ τῆς τεκτονικῆς ἔργα πράττειν δύναται: ὥσπερ δὲ τὸ σκέπαρνον, ἐγγὺς ὂν τῷ τέκτονι: ἅπτεται γὰρ αὐτοῦ, καὶ οὕτως τῷ σκεπάρνῳ τὸ ἔργον ἀπεργάζονται, οὕτω καὶ ἡ αἰσθητικὴ ψυχή, καὶ τὸ ἔμφυτον θερμόν. τοῦτο μὲν οὖν δῆλον, ὅτι ἔνεστιν ἡμῖν θερμόν: ἐπεὶ δὲ πᾶν ἄκρον, εἴτε θερμόν ἐστιν, εἴτε ἄλλο ὁποιοῦν, δεῖται τῆς ἐναντίας ῥοπῆς, ἵνα εἰς συμμετρίαν ἔλθῃ: τὴν γὰρ οὐσίαν, καὶ τὸν ἑκάστου λόγον ἡ τῶν ἄκρων σύμμετρος ἔχει μῖξις· τὴν δ' ἀκρασίαν ἑκάτερον χωρὶς οὐκ ἔχει, διὰ τοῦτο γέγονεν ὁ ἐγκέφαλος, καὶ ποιεῖ τὴν ἐν τῇ καρδίᾳ θερμότητα εὔκρατον. ἵνα καὶ οὗτος διὰ τὸ ψυχρότατος εἶναι, τυγχάνῃ μετρίας θερμότητος, ὅπως μὴ παγῇ ὥσπερ κρύσταλλος, ἀφ' ἑκατέρας τῆς φλεβὸς τῆς μεγάλης, καὶ τῆς ἀορτῆς τελευτῶσι φλέβες εἰς τὴν περὶ τὸν ἐγκέφαλον μήνιγγα: ἵνα δὲ πάλιν μὴ πολλὰ θερμαινόμενος, θερμαίνῃ τὴν καρδίαν, καὶ βλάπτῃ. ἀντὶ μεγάλων, ὀλίγων φλεβῶν πυκναί, καὶ λεπταὶ περιέχουσιν αὐτόν: ἵν' εἰς πολλὰ φλέβια, καὶ λε-

πλὰ κατακερματιζομένη ἡ εἰς αὐτὸν ἀναδιδομένη θερμότης, ἀθρόως τότε γίνεται: ποιεῖ δὲ καὶ τὸν ὕπνον, ὁ ἐγκέφαλος ἐν ὅσοις ἔνεστιν: ἐν οἷς δὲ μή ἐστιν τὸ ἀνάλογον: καὶ πῶς, εἰπόμεν ἤδη. [Καταψύχων γὰρ τὴν ἀπὸ τῆς ῥοπῆς τοῦ αἵματος ἐπίῤῥυσιν.] καὶ τὰ ἑξῆς: τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν. τὸ πνεῦμα τὸ ἀνερχόμενον σὺν τῷ αἵματι: μετὰ πνεύματος γὰρ ἀεὶ ἡ τοῦ αἵματος ἀνάδοσις: τὸ δὴ πνεῦμα τοῦτο ψυχόμενον ὑπὸ τοῦ ἐγκεφάλου κατέρχεται, καὶ ποιεῖ τὸν ὕπνον. διὸ καὶ οἱ ὑπνώττοντες, τουτέστιν οἱ ἤδη πρὸς ὕπνον τραπῆναι μέλλοντες, καρηβαροῦσι: τοῦ γὰρ πνεύματος ψυχθέντος, καὶ ἐν τῷ περὶ τὴν καρδίαν τόπῳ πεπτωκότος, καὶ ἤδη ἀναισθητεῖν τοῦ ζώου μέλλοντος καρηβαρεῖ, καὶ κλίνει ἔνθεν, κἀκεῖθεν, τὴν κεφαλήν. ἔστι δὲ τὰ ἑξῆς: τὰ δὲ τῶν λέξεων τοιαῦτα: [Καταψύχων γὰρ τὴν ἀπὸ τῆς ῥοπῆς τοῦ αἵματος ἐπίῤῥυσιν] τουτέστιν: καταψύχων γὰρ ὁ ἐγκέφαλος τὴν ἐπίῤῥυσιν τοῦ αἵματος, λέγων ἐπίῤῥυσιν τὸ πνεῦμα τὸ ἀνιὸν σὺν τῷ αἵματι: τὸ δὴ πνεῦμα τοῦτο, τὸ ἀπὸ τοῦ αἵματος, ὅπερ αἷμα ἡ ἐσχάτη ἐστὶ τροφὴ, ψυχόμενον ποιεῖ τὸν ὕπνον: τὸ δὲ, [Η δὴ τινὰς αἰτίας ὁμοίας ἄλλας] εἰπεῖν. ἐπειδὴ οὐκ ἀπὸ τροφῆς ἀεὶ τὸ πνεῦμα ἄνεισι, καὶ ποιεῖ ἡμᾶς ὑπνώττειν, ἀλλὰ πολλάκις ὑπνώττομεν καὶ διὰ κόπον: κινουμένων γὰρ λεπτότερον γίνεται τὸ πνεῦμα καὶ ἄνεισι τότε μᾶλλον. καὶ ταῦτα μὲν οὕτως. [Οτι δ' ἐστὶν ὁ ἐγκέφαλος κοινὸς ὕδατος, καὶ γῆς] τουτέστι ψυχρότατος, δηλοῖ πρὸς τοῖς εἰρημένοις καὶ τὸ συμβαῖνον περὶ αὐτὸν: ἑψόμενος γὰρ γίνεται ψυχρὸς, καὶ σκληρὸς, ὥσπερ τὰ τῶν χεδροπῶν ἑψήματα: ὅτι δὲ τὰ χεδροπὰ ἑψηθέντα τοιαῦτα ἐστὶ, δῆλον ὡς ἀπὸ τοῦ ἀλληλασμένου κυάμου: ὁ γὰρ τοιοῦτος κύαμος καλῶς ἑψηθεὶς, εἶτα ψυχθεὶς, ξηραίνεται καὶ σκληρύνεται: ὅτι δὲ τὰ χεδροπὰ καὶ ὕδατος ἐστὶ, καὶ γῆς, δέδεικται: τὸν δ' ἐγκέφαλον ἔχει ὁ ἄνθρωπος πλεῖστον ὡς κατὰ μέγεθος: ἀσφαλῶς δὲ πρόσκειται τὸ, [Ως κατὰ μέγεθος:] εἰ γὰρ εἴη ἄνθρωπος ὑποδεκαπλάσιος ἐλέφαντος οὐκ ἔτι καὶ ὁ τοῦ ἀνθρώπου ἐγκέφαλος ὑποδεκαπλάσιος ἐστὶν τοῦ ἐγκεφάλου, τοῦ ἐλέφαντος, ἀλλ' ἴσως οὐδὲ ὑποτριπλάσιος. καὶ δῆλος δὴ τὸ τὸν ἐγκέφαλον ὑγρὸν εἶναι, καὶ ψυχρὸν, ὀψιαίτατον πήγνυται τὸ καλούμενον βρέγμα: ὑγρότατα γὰρ ὄντα τὰ βρέφη, καὶ ὑπὸ τούτῳ πολλῆς τῆς ὑγρᾶς ἀναθυμιάσεως ὑπὸ τοῦ ἐν τῇ καρδίᾳ θερμοῦ πρὸς τὸν ἐγκέφαλον διαδιδομένης πολύν τινα χρόνον ἀπαιτμίζει: ὥστε εἰ μὴ ἦν τὸ βρέγμα διάπνουν, καὶ ἐξήρχετο ἀπ' αὐτοῦ ἡ ἀναθυμίασις, ἡ πρὸς τὸν ἐγκέφαλον ἀναδιδομένη, ἀλλὰ σκληρὸν, καὶ κωλυτικὸν τοῦ ἐξέρχεσθαι τὴν ἀναθυμίασιν, ἣν θερμὸν ἔτος εἴπεν. ἢ ἐξηραίνετο ἂν, καὶ ἐθερμαίνετο ὁ ἐγκέφαλος, εἰ τοιοῦτον ἦν τὸ ἀνιὸν πνεῦμα, καὶ οὐκ ἂν ἔψυχε τὴν καρδίαν ἢ ὑγραίνετο ἂν καὶ ἐψύχετο, εἰ πάλιν τοιοῦτον ἦν τὸ ἀνιὸν πνεῦμα: τούτου δὲ γινομένου συνέβαινε σβέννυσθαι τὸ ἐν τῇ καρδίᾳ θερμόν: τοῦτο γὰρ ἐστὶ δηλωτικὸν τὸ [Η οὐ ψύξει, ἢ οὐ πήξει.] πῶς δὲ τοῦτο ὑπάρχει ἂν τὸ ἐν τῇ καρδίᾳ θερμὸν κατεσκεύασε δὴ τοῦ: συμπαθέστατον γὰρ ὂν τὸ ἐν τῇ καρδίᾳ θερμὸν ταχέως αἰσθάνεται, καὶ πάσχει ὑπὸ τοῦ τυχόντος περὶ τὸν ἐγκέφαλον γινομένου πάθους. ταῦτα εἰπὼν λέγει καὶ περὶ σαρκὸς, ὅτι ἐστὶν ἀρχὴ, καὶ σῶμα καθ' ἑαυτὸ τῶν ζώων ἡ σάρξ: ὅτι δὲ τοιοῦτον ἡ σάρξ δῆλον φησὶ καὶ κατὰ τὸν λόγον: ἐπειδὴ γὰρ τῷ ζώῳ τὸ εἶναι ἐστὶν, ἐν τῷ αἴσθησιν ἔχειν καὶ πρῶτον ἐν τῷ τὴν πρώτην ἔχειν: αἰσθοποιεῖται γὰρ καὶ ὑπὸ τῶν ἄλλων αἰσθήσεων τὸ ζῶον, ἀλλὰ πρώτως ὑπὸ τῆς πρώτης: αὕτη δ' ἐστὶν ἡ ἁφή: ἁφῆς δὲ αἰσθητήριον ἡ σάρξ, δῆλον, ὅτι ἡ σὰρξ καθ' αὑτὸ τοῖς ζώοις ἐστὶν, ὥσπερ καὶ τῇ ὄψει ὁ ὀφθαλμός: εἰπὼν δὲ, ὅτι τῆς ἁφῆς αἰσθητήριον ἐστὶν ἡ σάρξ, ἐπήγαγεν. [Ητοι τὸ πρῶτον, ὥσπερ ἡ κόρη τῆς ὄψεως: ἢ τὸ δι' οὗ συνειλημμένον] ἔστι δὲ τὸ λεγόμενον δῆλον εἰ προείπωμεν, ὅτι ὥσπερ ἡ διαφάνεια τοῦ ἀέρος διαπορθμεύει τὰ χρώματα χωρὶς ὕλης πρὸς τὴν κόρην, ἥτις πρῶτον αἰσθητήριον ἐστὶν τῆς ὄψεως: οὕτως καὶ ἡ σὰρξ πρὸς τὸ ἔμφυτον θερμὸν, ὅπερ ἐστὶ πρῶτον αἰσθητήριον τῆς ἁφῆς: ἀλλ' ἡ μὲν σὰρξ συμφυὴς οὖσα ἡμῖν δοκεῖ, ὅτι αὕτη ἐστὶ τὸ πρῶτον αἰσθητήριον: ὁ δ' ἀὴρ μὴ συμφυὴς ὢν τῷ ὀφθαλμῷ, ἀλλ' ἀπτόμενος διάδηλος ἐστὶν, ὅτι

οὐκ ἔστι τὸ πρῶτον αἰσθητήριον τῆς ὄψεως· εἰ δ' ἦν τῷ ὀφθαλμῷ συμφυής, ἐδόκει ἂν, καὶ οὗτος πρῶτον αἰσθητήριον τῆς ὄψεως. τούτων οὕτω προλεχθέντων τὸ λεγόμενον εἴη ἂν τοιοῦτον· τῆς ἁφῆς αἰσθητήριον ἐστὶν ἡ σὰρξ ἤτοι τὸ πρῶτον, ὥσπερ ἡ κόρη τῆς ὄψεως, ἢ τὸ δι' οὗ συνειλημμένον. τουτέστιν ἢ τὸ δι' οὗ αἰσθάνεται ἤτοι, ἢ τὸ διαπορθμευτικόν, ὥσπερ ὁ ἀήρ· τὸ δὲ [Συνειλημμένον] ἀντὶ τοῦ συμφυής· συμφυὴς γάρ ἐστιν ἡμῖν ἡ σάρξ. ἀλλ' οὐ χωρὶς ὥσπερ ὁ ἀήρ· ἀλλὰ δή τι ὥσπερ ὂν τῆς ἁφῆς τὸ αἰσθητήριον, δι' οὗ τὸ πρῶτον αἰσθητήριον τὰ αἰσθητὰ δέχεται, σάρξ ἐστιν. οὐ καὶ τὸ τῆς ὄψεως, καὶ ἀκοῆς σὰρξ ἦν, ἀλλὰ τῆς μὲν ἡ διαφάνεια τοῦ ἀέρος, τῆς δὲ ἀκοῆς ὁμοίως τὸ διηχὲς τοῦ αὐτοῦ ἀέρος ἡ ὂν μὲν τῶν δύο τούτων φησὶν αἰσθήσεων ἀδύνατον ἦν σάρκινον γενέσθαι τὸ αἰσθητήριον, τὸ ἀναλογοῦν τῇ σαρκί, καὶ οὐδὲν ἂν ἦν προὔργου, οὐδ' ὠφέλιμον· πολλῶν γὰρ οὖσα ἀντιληπτικὴ ἡ ἁφὴ σκληρῶν, μαλακῶν, ψυχρῶν, θερμῶν, τραχέων, λείων καὶ ἄλλων πολλῶν, εὐλόγως καὶ τὸ αἰσθητήριον αὐτῆς συνέστησεν ἡ φύσις ἐκ πολλῶν· ἡ δὲ ὄψις ἑνὸς οὖσα γένους· χρωμάτων γὰρ καὶ ἡ ἀκοὴ ψόφων. ἁπλοῦν καὶ τὸ ἀναλογοῦν τῇ σαρκὶ αἰσθητήριον ἀπειργάσατο. [Σωματῶδες] οὕτως εἴρηκε τὴν σάρκα [Αἰσθητήριον] ἡ ἀντὶ τοῦ σύνθετον, καὶ ἐκ πλειόνων συγκείμενον. ἀλλὰ κατὰ μὲν τὸν λόγον εἴτω δῆλον, ὅτι ἡ σὰρξ πρῶτόν ἐστιν, καὶ ἀρχή. καὶ τὰ δὲ τὴν αἴσθησιν οὕτως· ἐπειδὴ τἄλλα πάντα, οἷον νεῦρα, σάρκες, ῥίζες, τὰ λοιπὰ δι' αὐτὴν εἰσίν· οὗ δὲ ἕνεκα τὰ λοιπά ἐστι, τοῦτο πρῶτον ἐκείνων ἐστὶ τῇ φύσει· φησὶ δὲ τὰ λοιπά. τὸ δὲ [Ἡ χελώνη, καὶ τὸ τῶν ἀμμύδων γένος ὁμοίως ἔχειν δοκεῖ τούτοις.] εἴρηται ἀντὶ τοῦ ὁμοίως τοῖς λεχθεῖσιν ἔχει τὸ μὲν σαρκῶδες ἐντός, τὸ δὲ συνέχον, καὶ φυλάττον ἐκτός· τὰ δ' ἔντομα, καὶ τὰ μαλάκια ἐναντίως ἔχει καὶ ἐν αὐτοῖς, καὶ τοῖς ἔχουσιν ἐκτὸς τὴν βοήθειαν. αὐτίκα ἡ μὲν σηπία ἔχει ἐν τῷ κύτει, ὃ καλεῖται κεφαλή, τὸ σηπίον· ὁ δὲ πολύπους τοῦτο οὐκ ἔχει· ἡ δὲ αἰτία, ὅτι τὸ μὲν τῆς σηπίας εὐμηκές ὄν, εἰ μὴ εἶχε τὸ σηπίον, ἵν' ὀρθοῖ αὐτὸ καὶ ὄρθιον ἵστασθαι παρασκευάζῃ, ἐκινεῖτο ἂν ὧδε, κἀκεῖσε. ὥσπερ αἱ κατεψυγμέναι χεῖρες. τὸ δὲ τοῦ πολύποδος διὰ τὸ βραχύτατον εἶναι, καὶ χωρίς τινος στερεωτέρου δύναται ἀνορθοῦσθαι· [Ἔχει δ' ὁμοίως ἥτε τῶν ὀστῶν καὶ τῶν φλεβῶν φύσις.] ὥσπερ αἱ φλέβες ἀπὸ μιᾶς εἰσὶν ἀρχῆς τῆς καρδίας, οὕτως καὶ τὰ ὀστᾶ ἐκ τῆς ῥάχεως· καὶ δὴ τοῦτο οὐδέν ἐστιν ὀστοῦν αὐτὸ καθ' ἑαυτὸ ἀποκεκριμένον, ἀλλὰ πᾶν συνεχές ἐστιν πρὸς ἄλλο ἢ ἁπτόμενον· κἀκεῖνο πρὸς ἄλλο· ἅπαντα δὲ τελευτῶσιν εἰς τὴν ῥάχιν. εἴτε δὲ ὀστοῦν ἦν τι καθ' αὑτό, εἴτε φλέψ, μάτην ἂν ἦν ἑκάτερον τούτων· ἡ γὰρ φλέψ, εἰ μὴ συνεχὴς ἦν πρὸς τὴν ἀρχήν, οὐκ ἂν ἐσῴζετο αἷμα ἐν αὐτῇ, ἀλλὰ πᾶσα φλὲψ γέγονε δὴ τὸ σῴζεσθαι ἐν αὐτῇ αἷμα, καὶ πῶς οὐκ ἂν ἐσῴζετο ἐν αὐτῇ αἷμα ἐπήγαγεν, εἰπών· [Ἡ γὰρ ἀπ' ἐκείνης θερμότης κωλύει πήγνυσθαι] τουτέστιν ἡ θερμότης, ἡ ἀπὸ τῆς καρδίας, ἥτις καρδία ἀρχὴ τῶν φλεβῶν ἐστιν· ἡ οὖν θερμότης αὕτη κωλύει πήγνυσθαι τὸ ἐν ταῖς φλεψὶν ὂν αἷμα· εἰ δὲ ἦν τις φλὲψ χωρὶς καθ' ἑαυτήν, πῶς ἂν πρὸς αὐτὴν διεπέμπετο τὸ ἐκ τῆς καρδίας θερμόν. τοῦτό τε εἰπὼν καὶ ὅτι πολυμερὴς τῇ διαιρέσει τῶν σπονδύλων ἐστὶν ἡ ῥάχις, ἐπήγαγεν· [Ἐκ δὲ ταύτης τοῖς ἔχουσι κῶλα συνεχῆ πρὸς αὐτὴν τὰ τούτων ὀστᾶ τῶν ἁρμονιῶν ἐστιν] κῶλα δὲ κυρίως ἐστὶν αἵτε χεῖρες, καὶ οἱ πόδες· τὸ δὲ λεγόμενον ἂν εἴη τοιοῦτον, τοῖς ζῴοις ὅσοις συμβέβηκεν ἔχειν κῶλα, τούτων τῶν ζῴων τὰ ὀστᾶ ἐκ τῶν ἁρμονιῶν τῆς ῥάχεως ἐστὶ συνεχῆ πρὸς αὐτήν· αἱ γὰρ τῆς ῥάχεως ἁρμονίαι συνεχίζουσι πρὸς αὐτὴν τὰ κῶλα τῶν ζῴων· τῶν δὲ ὀστῶν φησὶ τὰ μὲν εἰσὶ χάριν τῆς σαρκός· τὰ δ' ἕνεκα φυλακῆς, ὥσπερ αἱ συγκλείουσαι πλευραὶ τὸ στῆθος, χάριν γὰρ σωτηρίας αὐταί τυγχάνουσι τῶν περὶ τὴν καρδίαν σπλάγχνων, ἀλλὰ τὸ μὲν στέρνον ἅπαν ὀστοῖς περικλείεταί τε, καὶ συνέχεται· τὸ δὲ μετὰ τὸ στῆθος ἄχρι τοῦ ἤτρου, ἐν ᾧ ἡ κοιλία, καὶ τὰ ἔντερα κεῖται κάτωθεν τοῦ ὑποζώματος· τὸ δὲ μετὰ τὸ στῆθος ἄχρι τοῦ ἤτρου ἀνόστεόν ἐστιν, εἰ γὰρ ἦν ὀστῶδες ἐπειδὴ τρωγόντων τῶν ζῴων ὀγκοῦται ἡ κοιλία ὑπὸ βρωμάτων. καὶ τῶν θηλειῶν ὑπό τι τούτων, καὶ τῶν ἐμ-

βρύων· ἐπεὶ δ' ἂν ὠδίνωσιν, ἐκκωλύεται ἂν ἡ τῆς κοιλίας ἀνοίδησις, καὶ ἐξόγκωσις, ὥστε συνέβαινεν ἐκ τούτου μήτε τὰ ἔμβρυα αὔξεσθαι καὶ ὀδύνας ἐγγίνεσθαι διὰ τὴν ἐκ τῶν βρωμάτων στενοχωρίαν. μετὰ ταῦτα λέγει, [ὅτι τοῖς ὄφεσιν ἀκανθώδης ἐστὶν ἡ τῶν ὀστῶν φύσις, πλὴν τοῖς λίαν μεγάλοις,] πλὴν τῶν λίαν μεγάλων. ὀφεώδης ὀστώδης ἡ τοιαύτη φύσις· πρὸς γὰρ τὴν ἰσχὺν ἰσχυροτέρων δεῖται τῶν στερεωμάτων· τὰ δὲ καλούμενα σελάχη τὰς ἀκάνθας ἔχει, οἷον χόνδρους· χόνδρος δ' ἐστὶν σαρκὸς μὲν σκληρότερος, ὀστοῦ δὲ μαλακώτερος· ἔχουσι δὲ τὰς ἀκάνθας χονδρώδεις, ἐπειδὴ πλατέα ὄντα οἷον θυρεοί, ἀνάγκη τὴν κίνησιν αὐτῶν ὑγροτέραν εἶναι· ὑγροτέρα δὲ ἡ κίνησις λέγεται λυγιζομένων, καὶ καμπτομένων, ὥσπερ λύγος, ἢ κάλαμος, τῶν χόνδρων, δι' ὧν κινεῖται· τὰ γὰρ σελάχη τὴν κίνησιν ποιεῖται διπλούμενα· ἀπερειδόμενα γὰρ τῇ περιφερείᾳ τοῦ σώματος αὐτῶν, καὶ κυρτούμενα οὕτω κινεῖται. εἰ δὲ ἦσαν κραῦροι αἱ ἄκανθαι, οὐκ ἂν ἠδύναντο διπλοῦσθαι, καὶ κάμπτεσθαι, ἢ ὅλως κυρτοῦσθαι· ἄλλως τε καὶ τὸ γεῶδες πᾶν εἰς τὸ δέρμα καταναλώσασα ἡ φύσις· σκληρόδερμα γὰρ τὰ σελάχη οὐκ ἠδυνήθη χορηγῆσαι καὶ ταῖς ἀκάνθαις ἐκ τοῦ γεώδους, καὶ σκληροῦ. εἰσὶ δέ φησι καὶ ἐν τοῖς ζωοτόκοις χονδρώδη τινὰ τὴν φύσιν, οἷον ῥῖνες, καὶ ὦτα· εὐλόγως δέ· εἰ γὰρ μὴ τοιαῦτα ἦσαν, ἀλλὰ κραῦρα, ἐπειδὴ ἀπομεμηκυκότα ἐστὶν, καὶ δυνάμενα μᾶλλον τῶν ἄλλων μορίων προσπταίειν, ἐθραύοντο ἄν. [Οἱ μὲν ἐν τοῖς πεζοῖς ἀμύελοι χόνδροι κεχωρισμένῳ μυελῷ.] ἡ λέξις οὕτως. οἱ μὲν οὖν τοῖς πεζοῖς χόνδροι ἀμύελοι κεχωρισμένῳ μυελῷ. τὸ δὲ λεγόμενον κατασκευαστικόν ἐστι τοῦ διὰ τί οἱ τῶν πεζῶν ζώων χόνδροι σκληρότεροί εἰσι τῶν ἐν τοῖς σελάχεσι χόνδρων. λέγει οὖν, ὅτι ἐν τοῖς πεζοῖς ζώοις χόνδροι κεχωρισμένους ἔχουσι τοὺς ἐν αὐτοῖς μυελούς, καὶ καθ' αὑτούς, ὥσπερ καὶ τὰ ὀστᾶ· καὶ διὰ τοῦτο εἰσὶ σκληροί· ἐν δὲ τοῖς σελάχεσι ὁ μυελὸς ἀνακεκραμένος ὢν μετὰ τῶν χόνδρων, καὶ οἷον ἀνεζυμωμένος μαλακωτέραν ἀπεργάζεται τὴν φύσιν αὐτῶν· ὥσπερ ἔλαιον πίσσῃ μιχθέν· καὶ γὰρ καὶ τοῦτο μαλακωτέραν τὴν πίσσαν ἀποτελεῖ μιχθὲν μετ' αὐτῆς· εἰπὼν δὲ ἀμυέλους τοὺς ἐν τοῖς πεζοῖς χόνδρους, καίτοι ἔχοντας μυελόν, σαφηνίζων ὅπως εἶπεν αὐτοὺς ἀμυέλους, ἐπήγαγε τὸ [Κεχωρισμένῳ μυελῷ] ὡς ἂν εἰ ἔλεγε. μὴ γὰρ πάμπαν ἀμύελοι τυγχάνουσιν· ἔνεστι γὰρ αὐτοῖς μυελός, ἀλλ' ἐπειδὴ κεχωρισμένος ἐστὶ καὶ καθ' αὑτόν, ὥσπερ καὶ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ, καὶ οὐδ' ἀνακεκραμένος, καὶ οὐκ ἀναμεμιγμένος μετ' αὐτῶν τρόπον τινά, ἀμύελον ἐστι. ἰστέον οὖν, ὅτι τὸ χωριζόμενον καθ' αὑτὸ εἶναι δυνάμενον ὥσπερ ὁ μυελὸς μαλακὴν εἰς ἅπαν ποιεῖ τοῦ χόνδρου τὴν σύστασιν, καὶ ζυμώδη μιχθεὶς μετ' αὐτοῦ. ταῦτα εἰπών, οἷον πάλιν ἀπ' ἄλλης ἀρχῆς ἀρξάμενος, λέγει, ὅτι πᾶσι τοῖς τελείοις ζώοις δύο τὰ ἀναγκαιότατα ὑπάρχει μόρια· ἓν μὲν ἐν ᾧ δέχεται τὴν τροφήν· τοῦτο δ' ἐστι τὸ καλούμενον στόμα· ἄλλο δὲ δι' οὗ ἀφίησι τὸ περίττωμα· τοῦτο δὲ τὸ μόριον, τὸ ἀφ' οὗ τὸ περίττωμα ἐξέρχεται, τὰ φυτὰ οὐκ ἔχει καίπερ ζωὴν ἔχοντα, ἀλλ' ἀντὶ τοῦ περιττώματος προΐεται τὰ σπέρματα, καὶ τοὺς καρπούς. πρὸς δὲ τοῖς εἰρημένοις μορίοις ὑπάρχει καὶ τὸ τρίτον τι, ἐν ᾧ ἐστιν ἡ ἀρχὴ τῆς ζωῆς· τοῦτο δ' ἐστὶν ἡ καρδία. ἀλλ' ἐπειδὴ ἔχει τὰ φυτὰ ἀνομοιομερῆ μέρη· οὐκ ἔστι δὲ τῶν τοιούτων ἀνομοιομερῶν μερῶν ἡ φύσις πολυειδής· ὀλίγων γὰρ πράξεων ὄντα πρακτικά, ὀλίγων καὶ τῶν ὀργάνων χρῄζει. θεωρητέον περὶ τούτων ἰδίᾳ· περὶ δὲ τῶν ἀνομοιομερῶν μερῶν τῶν ζώων, ἐπειδὴ τὰ ζῷα πολυμορφοειδέστεραν ἔχει τὴν ἰδέαν, καὶ τούτων ἄλλα ἄλλων πρότερα, ἔχει δὲ ταύτην τὴν ἰδέαν καὶ, [Πολυχουστέραν] ἤτοι πολυειδεστέραν θεωρητέον περὶ τούτων, καὶ ἀρκτέον ἀπὸ τῆς κεφαλῆς. τὸ μὲν οὖν ἔχειν τὴν κεφαλὴν ἄσαρκον, δῆλον ἐκ τῶν περὶ τὸν ἐγκέφαλον εἰρημένων· ἀλλὰ καὶ νῦν ἐνθυμιστέον ἢ οὐχ, ὥσπερ φασί τινες, ἐστὶν ἄσαρκος, ῥητέον γὰρ οἷα ἐστὶ τὰ καὶ ὑπ' ἐκείνων λεγόμενα. λέγουσι δὲ ὡς εἰ σαρκώδης ἦν, μακροβιώτερον ἂν ἦν τὸ γένος, ὅμως οὐ πεποίηκεν αὐτὴν σαρκώδη· οὐ γὰρ μέλει τῇ φύσει τῆς μακροβιότητος· πεποίηκε δὲ αὐτὴν ἄσαρκον χάριν εὐαισθησίας· τοῦτο γὰρ

ἀναγκαιότατον ἐστι τοῖς ζώοις, εἴπερ αὐτοῖς ἐν τῷ αἰσθάνεσθαι τὸ εἶναι ἐστιν· οὐδέτερον δὲ τῶν λεχθέντων ἀληθές· καὶ γὰρ ὅτι τῷ ἐγκεφάλῳ αἰσθάνεται τὰ ζῶα, ψεῦδος· δέδεικται γὰρ ὅτι οὐδεμιᾶς αἰσθήσεως αἴτιος· ἀλλὰ καὶ τὸ λέγειν, ὅτι τὰ λίαν σαρκώδη μέρη αἴσθησιν οὐ προσίεται, οὐκ ἀληθές. εἰ γὰρ ἡ σὰρξ, καὶ αἰσθητήριον τὰ ἔτι σαρκωδέστερα μᾶλλον αἰσθήσεται. οὐ δὴ οὖν δι' ἃς αὐτοί φασιν αἰτίας ἄσαρκός ἐστιν ἡ κεφαλή· ἀλλ' εἴπερ ἦν πολύσαρκος ὁ τόπος, ὁ περὶ τὸν ἐγκέφαλον. [Ἀλεαίνων] τουτέστι θερμαινόμενος ὁ ἐγκέφαλος ὑπὸ τῆς πολυσαρκίας, οὐκ ἂν ἠδύνατο καταψύχειν τὴν καρδίαν. ἐπεὶ δέ τις ἔμελλε λέγειν, καὶ πῶς ἔνιαι τῶν. [Αἰσθήσεων] ὅτι τῶν αἰσθητηρίων ἐν τῇ κεφαλῇ εἰσι, τοῦ ἐγκεφάλου ὥς φῃς, μηδεμιᾶς αἰσθήσεως ὄντος αἰτίου. λέγει ὅτι τὴν αἰτίαν, δι' ἣν ἔνιαι τούτων ἐν τῇ κεφαλῇ εἰσι μὴ δυνηθέντες εὑρεῖν, οὕτως ἀπεφήναντο· ἔλεγον γὰρ τίνος ἕνεκα ἐν τῇ κεφαλῇ τυγχάνουσιν ὄντες ὀφθαλμοί, ῥῖνες, ὦτα, ἆρα γε διὰ τὸ εἶναι ἐν αὐτῇ σάρκας, νεῦρα, φλέβας· καὶ μὴν ἔνεισι ταῦτα καὶ ἐν τῷ λοιπῷ σώματι. διατί οὖν οὐκ ἐν ἄλλῳ μέρει, ἀλλ' ἐν τῇ κεφαλῇ πεποίηκεν αὐτὰ ἡ φύσις· δῆλον οὖν ὅτι οὐ δὴ ταῦτα ἐν τῇ κεφαλῇ τυγχάνουσιν ὄντα, ἀλλ' ἐπεὶ ὁ ἐγκέφαλος φαινόμενος ἕτερός ἐστι τὴν φύσιν τῶν ἄλλων μορίων. ἔστι δὲ ἐν τῇ κεφαλῇ δι' αὐτὸν, καὶ τὰ αἰσθητήρια, καὶ αἱ δὴ τούτων αἰσθήσεις ἐν αὐτῇ εἰσιν· εἰκὸς γὰρ διὰ τὸ διαφέρον τῶν ἄλλων ἁπάντων μορίων ἐν αὐτῇ ταύτας εἶναι ἤπερ δὴ τὰ μὴ διαφέροντα, καὶ ἡ μὲν αἰτία, καὶ συλλογισμὸς, δι' οὗ συνδυάζουσι τὰς αἰσθήσεις τῷ ἐγκεφάλῳ, αὕτη· τὰ δὲ κατὰ τὴν λέξιν τὴν, [Τοῦτο δ' ὁρῶντες ἰδιώτερον ὂν τῶν ἄλλων μορίων, ἐκ συλλογισμοῦ πρὸς ἄλληλα συνδυάζουσι.] τὰ δὴ κατὰ τὴν λέξιν τοιαῦτα. αὐτίκα τὸ, [Τοῦτο δέ.] τοῦτο λέγων τὸν ἐγκέφαλον. τὸν ἐγκέφαλον δὲ ὁρῶντες ἰδιώτερον καὶ ἕτερον ὄντα τῶν ἄλλων μορίων, καὶ ἐν τῇ κεφαλῇ κείμενον συνάπτουσιν αὐτῷ τὰς αἰσθήσεις· διάφορος γὰρ ὢν πρὸς τὰ ἄλλα μέρη διὰ τοῦτο αἳ εἰσιν ἐν αὐτῷ, καὶ οὐ δὴ τὰ νεῦρα, ἢ τὰς σάρκας, ὅτι μὲν οὖν οὐκ ἔστιν ὁ ἐγκέφαλος ἀρχὴ τῶν αἰσθήσεων, ἀλλ' ἡ καρδία διώρισται ἐν τοῖς περὶ αἰσθήσεως, καὶ αἰσθητῶν· ἀλλὰ καὶ νῦν ὧδε ἔσται δῆλον, ὅτι ἡ καρδία ἐστὶν ἀρχὴ, καὶ οὐχ οὗτος καὶ τέως ὅτι ἡ καρδία ἐστὶν ἀρχὴ τῶν ἁπτῶν, καὶ χυμῶν, δῆλον· ἐπεὶ γὰρ ἀμφοτέρων αἰσθητήριον ἡ σάρξ ἐστιν· ἡ δὲ σὰρξ ἐξ αἵματος. τὸ δὲ αἷμα ἐκ τῆς καρδίας δῆλον ὡς ἐκεῖθεν ἐστὶ τῶν δύο τούτων ἡ ἀρχή. τῶν δὲ λοιπῶν τριῶν πρῶτον μὲν φανερὸν, ὅτι ἡ ὄσφρησις μέση ἐστὶ, καὶ μεταξὺ τῶν ὀμμάτων κεῖται, κἂν οἱ μυκτῆρες κατωτέρω τούτων τὴν θέσιν ἔχωσιν· ἡ δὲ ἀκοὴ, καὶ ἡ ὄψις μάλιστα εἰσὶν ἐν τῇ κεφαλῇ· ἐπεὶ δὲ καὶ τὰ αἰσθητήρια τούτων, τά τε ὦτα, καὶ ὀφθαλμοὶ ἐν αὐτῇ κεῖνται, ἀλλ' οὐχ ὅτι ταῦτα ἐν ταύτῃ, ἀρχὴ τούτων ὁ ἐγκέφαλος· ἐκ τούτου τε ἔχουσι τὴν τοῦ ὁρᾶν, καὶ ἀκούειν δύναμιν· καὶ τοῦτο δῆλον ἀπὸ τῶν ἰχθύων· ἀκούουσί τε γὰρ, καὶ ὀσφραίνονται· αἰσθητήριον δὲ τούτων οὐδὲν ἔχουσι φανερὸν ἐν τῇ κεφαλῇ ὡς ἐκ τῶν ἀνατομῶν ἔγνωμεν. εἰ δ' ἦν ὁ ἐγκέφαλος τούτων ἀρχὴ, ἦν ἂν ἐν αὐτῷ καὶ αἰσθητήριον· ἀλλ' ὅτι μὲν ὁ ἐγκέφαλος οὐκ ἔστι τούτων τῶν αἰσθήσεων ἀρχὴ δέδεικται· δι' ἣν δ' αἰτίαν ἐν τῇ κεφαλῇ τυγχάνουσι τὰ τούτων αἰσθητήρια καίπερ οὐκ ὄντος τοῦ ἐγκεφάλου ἀρχῆς, δῆλον ἐντεῦθεν· ἐπεὶ γάρ ἐστι τὸ τῆς ὄψεως αἰσθητήριον, τὸ κρυσταλλοειδές· τοῦτο δ' ἐστὶν ὑγρὸν, καὶ ψυχρὸν· ἔστι δὲ ὁ ἐγκέφαλος ὑγρὸς, καὶ ψυχρός. ἔθηκεν ἡ φύσις τοὺς ὀφθαλμοὺς ἐν τῇ κεφαλῇ, ἵν' αὐτοῖς χορηγῆται τὸ κρυσταλλοειδὲς ἐκ τοῦ ἐγκεφάλου. καὶ τὰ μὲν φλεβία δι' ὧν αὐτοῖς δίδοται τὸ κρυσταλλοειδὲς, ἄρχονται μὲν ἀπὸ τῆς κόρης, ἐρριζοῦνται δὲ πρὸς τὸν ἐγκέφαλον· ἐκ δὲ τῆς καρδίας ἄγουσιν ἕτερα φλεβία, καὶ συμφύονται τοῖς περὶ τὸν ἐγκέφαλον φλεβίοις· ἀφ' ὧν φλεβίων τῶν ἀπὸ τῆς καρδίας ἀνερχομένων, ἀναδίδοται ἡ ὀπτικὴ δύναμις εἰς τὰ ἀπὸ τῆς κόρης πρὸς τὴν κεφαλὴν τείνοντα φλεβία, καὶ δὴ τούτων εἰς τὴν τῶν ὀφθαλμῶν κόρην. ἐπεὶ δὲ ἔδει τοὺς χιτῶνας τῶν ὀφθαλμῶν λεπτοτάτους εἶναι, ἵνα ταχέως τὰς αὐγὰς δέχωνται. παχύ-

τοιοι γὰρ ὄντες ἐνεποδίζοντο ἂν πρὸς τοῦτο ὑπὸ τοῦ πάχους. ἐπεὶ οὖν οὕτως ἔδει τούτους εἶναι, πεποίηκεν ἡ φύσις ἐξ ὑγροῦ τὸ αἰσθητήριον, καὶ οὐκ ἀπὸ ἀέρος· ἐξ ἀέρος γὰρ ὂν διὰ τὴν λεπτότητα διέπνει ἄν, καὶ διεξήρχετο· δυσκράτητος γὰρ, καὶ δυσφύλακτος ὁ ἀήρ· τὸ δ' ὕδωρ εὐφύλακτον. ἔτι ἐπεὶ αἱ ἀκριβέστεραι τῶν αἰσθήσεων, ἀκριβέστεραι γίνονται διὰ τῶν καθαρωτέρων ἐχόντων τὸ αἷμα μορίων· καθαρώτερον δὲ τὸ ἐνυπάρχον τοῖς ἐν τῇ κεφαλῇ οὖσι φλεβίοις, καὶ διὰ τοῦτο ἂν εἶεν ἐν τῇ κεφαλῇ ταυτὶ τὰ αἰσθητήρια. σαφῆ δὲ τὰ ἑξῆς· τὰ δὲ ὦτα κεῖνται ἐν τῇ κεφαλῇ, ὅτι τῆς ἀκοῆς αἰσθητήρια, ὁ ἀήρ ἐστιν. ὡς ἐν τοῖς περὶ αἰσθήσεως δέδεικται. εἰ δ' ἦσαν τὰ ὦτα ἐν ἄλλῳ τόπῳ, οὐκ ἂν ῥαδίως ἐδέχοντο τὸν ἀέρα. ταῦτα μὲν οὕτως. τῶν δ' ἐναίμων ζώων οὐδέν ἐστιν ἄναιμον μόριον αἰσθητικόν, οὔτε μὴν τὸ αἷμα· ἀλλ' ὄχημα μὲν τὸ αἷμα τῆς αἰσθητικῆς δυνάμεως, ὡς καὶ πρότερον εἴπομεν ἐστιν, αἰσθητικὸν δὲ οὐκ ἔστιν· ἀλλὰ τὸ ἐξ αἱμάτων ἤτοι ἡ σὰρξ, ἀλλὰ πῶς εἴπερ ἡ σὰρξ ἐξ αἵματος· τὸ δ' αἷμα ἀναίσθητον, τὸ ἐξ ἀναισθήτου ὄν, ἔσται αἰσθητικόν; ἢ ἐπειδὴ τὸ αἰσθησόμενον μόριον λαβὼν τὸ αἷμα, καὶ συμπέψαν, καὶ ὅμοιον ἑαυτῷ ποιῆσαν, οὕτω τρέφεται, δῆλον ὅτι καὶ τὴν αἰσθητικὴν δύναμιν ἥτις ἐν τῷ αἵματι ἐποχεῖται συνανακεραννύει, καὶ ἀναζυμοῖ ἑαυτῷ· εἰ δὲ τοῦτο, δῆλον ὅτι ἡ σὰρξ, οἷον κρᾶμα ἐστὶν αἰσθήσεως, καὶ αἵματος· καὶ τοῦτο εὐλόγως· μᾶλλον δ' ἀνάγκη αὐτὴν μὲν εἶναι αἰσθητικήν· τὸ δ' αἷμα, ἀναίσθητον. μετὰ ταῦτα λέγει τίνος ἕνεκα ὁ ἐγκέφαλος ἔμπροσθεν ἐστίν. καὶ φησὶν ὅτι ἐπεὶ διὰ τὸ τὴν καρδίαν περιψύχειν γέγονεν, αὕτη δ' ἔμπροσθεν ἐστίν, ἀνάγκη καὶ τοῦτον ἔμπροσθεν εἶναι. δι' ἣν δ' αἰτίαν ἡ καρδία ἔμπροσθεν κεῖται, ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ ὅτε περὶ σπλάγχνων λέγει. ἔτι ἐπεὶ τὸ αἰσθάνεσθαι διὰ τῶν ἐναίμων γίνεται μορίων· τὰ δ' ἔναιμα μόρια, δι' ὧν ἡ αἴσθησις πρὸς τὰ αἰσθητήρια ἄνεισιν, ἔμπροσθεν ἐστίν· ἐκ τῆς καρδίας γὰρ ταῦτα· τῶν δὲ τοιούτων αἰσθητηρίων αἱ φλέβες, ὡς εἴρηται, πρὸς τὸν ἐγκέφαλον εἰσί· καὶ διὰ τοῦτο ἂν εἴη ὁ ἐγκέφαλος ἔμπροσθεν. μετὰ ταῦτα λέγει διατί οὕτω τέτακται τὰ αἰσθητήρια. σαφῶς δὲ καταλέγει τὰ περὶ ὀφθαλμῶν, καὶ ὤτων· περὶ δὲ τῶν ῥινῶν δι' ἣν αἰτίαν οὕτω κεῖνται μέλλων εἰπεῖν, πρῶτον λέγει, ὅτι ἕκαστον τῶν αἰσθητηρίων διπλοῦν ἐστίν, εἰ καὶ ἐπὶ τῆς ἁφῆς ἄδηλον ὂν τοῦτο, διὰ τὸ μὴ εἶναι πρῶτον αἰσθητήριον τὴν σάρκα, ἀλλ' οὖν ἐπὶ τῆς γεύσεως μᾶλλον ἐστὶ δῆλον· φαίνεται γὰρ ἡ γλῶττα κεχαραγμένη, καὶ οἷον ἐσχισμένη. εἰπὼν οὖν, ὅτι ἕκαστον τῶν αἰσθητηρίων διπλοῦν ἐστίν, λέγει ὅτι εἰ μὴ ἔκειτο ἡ ῥὶς ὥσπερ κεῖται, ἀλλ' ἦν διεσπασμένη, ὥσπερ τὰ ὦτα, ἐπεὶ δὴ οἱ πόροι αὐτῆς κατὰ στάθμην, καὶ ἐπ' εὐθείας πρὸς τὴν τραχεῖαν ἀρτηρίαν εἰσβάλλουσιν, οὐκ ἂν ἐποίει τὸ αὐτῆς ἔργον· οὐ γὰρ ἠδύνατο τὸ πνεῦμα πρὸς τὴν τραχεῖαν ἀρτηρίαν εἰσέρχεσθαι τῶν μυκτήρων, τοῦ μὲν ἐν τῇ κεφαλῇ φέρε εἰπεῖν κειμένου, τοῦ δὲ ἐν ἄλλῳ μέρει τοῦ σώματος. λέγει καὶ διότι οὕτως καὶ τὰ ἄλλα ζῶα ἔχει τὰ ὦτα· διότι φησὶ τὰ τετράποδα κυπτάζει, καὶ οὕτω κινεῖται. ἀλλ' οὐκ ὄρθια ἐστίν· εἰ γὰρ οὕτω κινούμενα, εἰ μὴ μετέωρα εἶχον τὰ ὦτα καὶ κινούμενα, ἀλλὰ κάτωθεν, καὶ ἀκίνητα, οὐκ ἂν ἐδέχετο πάντοθεν τοὺς ψόφους. οἱ δὲ ὄρνιθες σκληρόδερμοι ὄντες, καὶ πτερωτοί, πρῶτον μὲν διὰ τὴν τοῦ δέρματος σκληρότητα ὦτα ποιῆσαι ἐν αὐτοῖς ἡ φύσις οὐκ ἠδυνήθη. ἔπειτα πάσης τῆς ὕλης εἰς τὴν τῶν πτερῶν φύσιν καταναλωθείσης, οὐχ εὐπόρησε καὶ ἄλλης εἰς ὤτων γένεσιν· διὰ ταύτας δὲ τὰς αἰτίας οὐδὲ τὰ τετράποδα καὶ ᾠοτόκα ἔχει ὦτα. ἡ δὲ φώκη τετράπουν μὲν ἐστίν, ἀλλὰ διὰ τὸ λίαν ἔχειν βραχυτάτους, καὶ δακτυλιαίους τοὺς πόδας. καὶ οἷον πεπηρωμένη διὰ τοῦτο οὖσα, οὐκ ἔχει ὦτα. μετὰ ταῦτα λέγει διατί οἱ ὀφθαλμοὶ ἔχουσι φυλακὴν τὰ καλούμενα βλέφαρα, ὑφ' ὧν καὶ σκαρδαμύττουσι· σκαρδαμύττειν δὲ λέγεται τὸ συνεχῶς, καὶ πυκνῶς μύειν. καὶ τὰ μὲν ἄλλα σκαρδαμύττει τοῖς βλεφάροις. οἱ δὲ ὄρνιθες ὑμένος ἐξερχομένου ἀπὸ τῶν κανθῶν, τῶν πρὸς τοῖς μυκτῆρσι· σαφῶς δὲ λέγει διατί τὰ βλέφαρα ἔχει, ὅσα βλέφαρα ἔχει. λέγει δὲ, ὅτι σκαρδαμύττουσιν ὅσα σκαρδαμύττει, οὐκ ἐκ προαιρέσεως, ἀλλὰ ἀπροαιρέτως· καὶ μὴ δὲ

συναισθανόμενα,

συναισθανόμενα, ὅτι ἐστὶ παχέα. μᾶλλον δὲ τῶν ἄλλων σκαρδαμύττει ὁ ἄνθρωπος, ὅτι λεπτόδερμός ἐστιν· εὐκινητότερον δὲ τὸ λεπτόν. τὸ δὲ, [Ἡ δὲ βλεφαρίς ἐστι δέρματι περιειλημμένη.] ἴσον ἐστὶ τῷ, ἡ δὲ βλεφαρὶς δέρμα ἐστίν· διὰ δὲ τὸ εἶναι δέρμα, τμηθεῖσα οὐ συμφύεται. ἐστὶ δὲ φύσις δέρματος· οὔτε δὲ αὕτη συμφύεται, οὔτε ἡ ἀκροποσθία· ἔστι δὲ ἡ ἀκροποσθία τὸ περιέχον δέρμα τὴν βάλανον τοῦ αἰδοίου. ὃ καὶ τέμνουσιν οἱ Ἰουδαῖοι, καὶ Αἰγύπτιοι, καὶ λέγουσι τὴν τοιαύτην τομὴν, περιτομήν. λέγει δὲ καὶ διατί οἱ ὄρνιθες τῷ κάτω, ἀλλ' οὐ τῷ ἄνω βλεφάρῳ σκαρδαμύττουσι, καὶ ὅλως μύουσι· καί φησιν, ὅτι διὰ τὴν τοῦ δέρματος, τοῦ περὶ τὴν κεφαλὴν σκληρότητα· σκληρὸν γὰρ ὂν δυσκίνητόν ἐστι. καὶ διατί σκληρὸν λέγει, ὅτι οἱ βαρεῖς τῶν ὀρνίθων πτητικοὶ μὴ ὄντες, ἀλλὰ δυσκίνητοι διὰ τὴν τῶν πτερῶν ὀλιγότητα ὥπλισεν αὐτοὺς ἡ φύσις σκληρῷ δέρματι, ἵνα τυπτόμενοι ὑπὸ τῶν θηρευόντων ἀντέχωσι διὰ τὴν σκληρότητα, καὶ μὴ ταχέως ἀποθνήσκωσιν, ὥσπερ οὖν ἔμελλε χρήσασθαι ἡ φύσις πρὸς αὔξησιν τῶν πτερῶν, ἐχρήσατο πρὸς τὴν τοῦ δέρματος σκληρότητα· λέγει δὲ καὶ περὶ τῶν τετραπόδων, τῶν ᾠοτοκούντων, ὅτι φολιδωτά ἐστιν, καὶ ἔστιν, ἡ φολὶς σκληροτέρα τῶν τριχῶν· ὥστε καὶ τὸ δέρμα τὸ τὰς φολίδας ἔχον, σκληρότερον τοῦ δέρματος, τοῦ τὰς τρίχας ἔχοντός ἐστιν. λέγει δὲ καὶ διατί σκαρδαμύττουσιν οἱ ὄρνιθες τῷ ὑμένι τῷ ὄντι ἐν τοῖς πρὸς τοὺς μυκτῆρας κανθοῖς, καὶ οὐ διὰ τῶν ὄντων πρὸς τοῖς ἐν τοῖς κροτάφοις κανθοῖς· καί φησιν, ὅτι βέλτιον ἀπὸ μιᾶς ἀρχῆς εἶναι τὴν φύσιν αὐτῶν· δύνανται δὲ ἀπὸ τῶν πρὸς τοὺς μυκτῆρας κανθῶν διὰ τὸ σύνεγγυς εἶναι ἀλλήλων, ἀπὸ μιᾶς εἶναι ἀρχῆς. ἐκ δὲ τῶν ὄντων πρὸς τοῖς ὠσὶν, οὐ δύνανται, ἀπῳκισμένοις οὖσιν ἀπ' ἀλλήλων· ἄλλως τε τῶν ὤτων πρὸς τὰ πλάγια κειμένων· τῶν δὲ μυκτήρων ἔμπροσθεν· βέλτιον δὲ τὸ ἔμπροσθεν διὰ τὸ καὶ τὴν καρδίαν τὴν ἀρχὴν τῶν ζώων, ἔμπροσθεν κεῖσθαι· καὶ διὰ ταύτην τὴν αἰτίαν βέλτιον ἐκ τῶν ἔμπροσθεν ὃ ταυτόν ἐστι τῷ ἐκ τῆς ἀρχῆς πάσης κινήσεως, καὶ ζωῆς σκαρδαμύττειν ἢ ἐκ τῶν πλαγίων. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ, [Οἷον βλέποντα διὰ τοῦ βλεφάρου προσπεφυκότος] σαφὲς ἔσται, εἰ οὕτω πως εἴποιμι, καὶ νοηθῇ, ὅτι συμπεφυκότα, καὶ συνεχῆ γεγονότα τὸ ἄνω, καὶ κάτω βλέφαρον, δύναται ὁρᾶν οὕτω τὸ ζῶον. τοιοῦτόν τι εἰσὶ τὰ σκληρόφθαλμα οἱονεὶ βλέποντα συμπεφυκότων τῶν βλεφάρων· ὥσπερ οὖν εἰ ἑώρων ἐγώ τε, καὶ σὺ, καὶ πάντες συμπεφυκότων τῶν βλεφάρων, οὐδ' ἂν ἦν ἡμῖν ἄλλων χρεία βλεφάρων πρὸς φυλακὴν τῶν ὀφθαλμῶν διὰ τὸ ἅμα τὰ προσπεφυκότα βλέφαρα, καὶ φυλάττειν αὐτοὺς, καὶ μὴ κωλύειν πρὸς τὸ ὁρᾶν, οὕτως οὐδὲ τοῖς σκληροφθάλμοις ἐστὶ χρεία βλεφάρων. ἀλλ' ἐπεὶ διὰ τὴν τῶν ὀφθαλμῶν σκληρότητα ἀναγκαῖον ἦν ἀμβλύτερον βλέπειν, ὥσπερ τὰ ὦτα τῶν τετραπόδων κινούμενα γέγονεν, ἵνα διὰ τὴν κίνησιν πάντοθεν δέχηται τοὺς ψόφους· οὕτως καὶ τοὺς ὀφθαλμοὺς τούτων κινεῖσθαι παρασκευάζει, ἵνα πάντοθεν δέχωνται τὰς αὐγάς. εἶτα λέγει καὶ διατί βλέφαρα τοῖς ἰχθύσιν οὐ δέδωκεν ἡ φύσις· καί φησιν, ὅτι ἐπειδὴ ἐν τῷ ὕδατι ζῶσιν, ἐμποδιστικὸν δὲ τὸ ὕδωρ πρὸς τὸ ὁρᾶν διὰ τὸ μήτε διαφανέστερον εἶναι τοῦ ἀέρος, μήτε εὐδιαιρετώτερον, ἔχουσιν ὑγροτέρους τοὺς ὀφθαλμοὺς, καὶ πλέον τῶν ἄλλων τὸ κρυσταλλοειδὲς, ἵνα νικᾷ τὸ τοῦ ὕδατος πρὸς τὸ ὁρᾶν, ἐμπόδιον. ἐπεὶ οὖν πολὺ τούτοις τὸ κρυσταλλοειδὲς, ἀνάγκη ἦν ἔχειν βλέφαρα· ἀλλ' ἐπεὶ ἐν τῷ ὕδατι οὐκ εἰσὶ κονιορτώδη τινὰ, καὶ προσκρούσματα τῶν ὄψεων, οὐ δέδωκεν αὐτοῖς ἡ φύσις βλέφαρα εἰς φυλακὴν τῶν ὀμμάτων, διὰ τὸ μηδὲν μάτην, ἢ περίεργον ποιεῖν· σαφῆ δὲ τὰ περὶ τριχῶν. τὸ δὲ, [Ἀλλ' ἀλεάζει δὴ τὴν κεφαλήν.] ἴσον ἐστὶν τῷ, θερμαίνεται διὰ τὸ κυπτάζειν· πρὸ δὲ τούτου, ὅταν λέγῃ, ὅτι τὰ τετράποδα ἐν τοῖς ὑπτίοις οὐκ ἔχει τρίχας, ἢ τὸ, [Μὴ ἔχει] εἴρηται, ἀντὶ τοῦ ἥττονας ἔχουσι ἐν τοῖς ὑπτίοις. πλείονας δὲ ἐν τοῖς πρανέσιν· ἢ τὰς ἐν τοῖς ὑπτίοις, οὐ βούλεται λέγειν τρίχας, διὰ τὸ διαφέρειν πρὸς τὰς ἐν τοῖς πρανέσιν. λέγει δὲ καὶ πλείονας τρίχας ἔχειν τὸν ἄνθρωπον διά τι τὴν ὑγρότητα τοῦ ἐγκεφάλου, καὶ διὰ τὰς ῥαφάς· ἀλλ' ἡ μὲν ὑγρότης ὡς ὑλικὸν

αἰτία. αἱ δὲ ῥαφαί, ὡς μὴ ἐμποδίζουσαι ὑπεξέρχεσθαι τὴν ὑγρότητα. διὰ ταύτας δὲ τὰς αἰτίας ἔχει καὶ τὰς ὀφρύας: διὰ τοῦτο (συνθέσει γὰρ καὶ ἁρμογῇ ὀστῶν οὖσαι, οὐκ ἐμποδίζουσι τὸ ὑγρὸν αἱ ἁρμογαὶ ὑπεξέρχεσθαι): τὰς δὲ βλεφαρίδας ἔχει ἢ παραποιοῦνται τὰ φλεβία: ἢ δὲ ἀορατοῦνται, πόρους ἔχουσιν: οἱ δὲ πόροι τυγχάνουσιν ὄντες, δίδοται διέξοδος τῷ ὑγρῷ. εἰ μὴ ἄπου ἔργον τι φύσεως ἐμποδίσει πρὸς ἄλλο ἔργον καὶ χρῆσιν: ταῦτ᾽ εἰπών, ἐπάγει, ὅτι οὐ πόρρω διέστηκεν ἀλλήλων τὸ τῆς ὀσφρήσεως αἰσθητήριόν τε. [Διέστηκε,] χρησάμενος ἀντὶ τοῦ μὴ ἔχειν μέγεθος, μὴ δὲ μῆκος, ἀλλὰ τὸ μὲν τῶν πτιλωτῶν, καὶ τετραπόδων, οὔτε μῆκος ἔχει, οὐδὲ ὅλως ἐπανέστηκεν, ἀλλὰ καὶ πάντη ἀδιάρθρωτον τὸ τῶν πτιλωτῶν: τῶν δὲ τετραπόδων μᾶλλον διηρθρωμένον, ὃ δ᾽ ἐλέφας φησὶν ἰδιώτατον ἔχει τοῦτο μόριον. σαφῆ δὲ ἃ λέγει περὶ τῆς ῥινὸς τοῦ ἐλέφαντος: τινὰ δὲ δεόμενα μικρᾶς ἐπιστασίας καὶ τεύξεται αὐτῆς. αὐτίκα. [Τὸ γὰρ μέγεθος ὂν ὑπερβάλλον, ἀναγκαῖον ὁμοίως ἦν χρῆσθαι τῷ ὑγρῷ, ὥσπερ τῇ γῇ,] ἴσον ἐστὶ τῷ, μέγιστος γὰρ ὢν ὁ ἐλέφας, καὶ διὰ τοῦτο δυσκίνητος, ἀναγκαῖόν ἐστιν ὅσον ἂν χρόνον ἐν τῇ γῇ διατρίβῃ, τοσοῦτον εἶναι, καὶ ἐν τῷ ὕδατι. τὸ δὲ λεγόμενον περὶ τῶν ὀπισθονόμων βοῶν, τοιοῦτόν ἐστιν. φασὶ γὰρ κινεῖσθαι τὰ κέρατα τούτων, καὶ ἐπειδὰν κύψωσιν εἰς τὴν νομὴν πήγνυνται ἐν τῇ γῇ, καὶ οὐκ ἐῶσιν αὐτοὺς πρόσω προβῆναι, καὶ διὰ τοῦτο ἀποχωροῦσιν ὀπίσω. οὕτω δὲ ἑλκόμενα τὰ κέρατα ὑπ᾽ αὐτῶν, ἀλλ᾽ οὐκ ὠθούμενα οὐ πήγνυνται: ἐν γὰρ τῇ ὠθήσει, ἀλλ᾽ οὐ τῇ ἕλξει πήγνυται πᾶν εὐθύ: τὸν δὲ ἐλέφαντα φησὶ χρῆσθαι τῷ μυκτῆρι ἀντὶ τῆς τῶν ἐμπροσθίων ποδῶν χρείας: ὡς γὰρ τὰ τετράποδα χρῶνται τοῖς ἐμπροσθίοις ποσὶν ἀντὶ χειρῶν οὕτως, καὶ οὗτος τῷ μυκτῆρι. ὅτι δὲ χρῶνται τοῖς τοιούτοις πολλὴ ἀντὶ χειρῶν δῆλον μὲν καὶ ἐξ ἄλλων, ἀλλὰ καὶ ἐκ τῶν κυνῶν: οὗτοι γὰρ τοὺς ὀδόντας αὐτῶν διὰ τούτων καθαίρουσι, τούς τε κυνοραιστάς, κἂν ἄλλο τι δάκνῃ, διὰ τούτων μάλιστα ἀποῤῥίπτουσιν, καὶ ἄλλα πολλὰ μετὰ τούτων ἐργάζονται: οἱ κατοικίδιοί τε αἴλουροι τοὺς μῦς μετὰ τούτων τύπτουσί τε, καὶ κατέχουσιν. οἱ δὲ ὄρνιθες, καὶ οἱ ὄφεις, καὶ ὅσα ἄλλα ἔναιμα ἔχουσι τοὺς μυκτῆρας πρὸ τοῦ στόματος: ἐν τῷ σώματι γὰρ σχεδὸν τοῦ ἄνωθεν χείλους: οἱ δὲ ὄρνιθες ἐν τῷ ῥύγχει. ἔχουσι δὲ οἱ ὄρνιθες τοὺς μυκτῆρας, ὥστε μὲν εἰπεῖν μυκτῆρας, διὰ τὸ ἔργον ὃ ποιοῦσιν: οὐκ εἰσὶ δὲ διὰ τὸ μὴ εἶναι φανερῶς διηρθρωμένους: αἰτία δὲ τούτου ἡ τῶν ὀρνίθων φύσις, δίπους οὖσα καὶ πτερυγωτή. διὰ μὲν οὖν τὸ πτέρυγας ἔχειν οὐκ ἔχει μυκτῆρας: ὅτι καταναλισκομένη ὕλη εἰς τὴν τῶν πτερῶν φύσιν οὐκ ἀρκεῖ, καὶ εἰς γένεσιν μυκτήρων. δίπους δὲ οὖσα, καὶ οὐκ ἐν τῷ μέσῳ τοῦ σώματος ἔχουσα τοὺς πόδας, ἀλλὰ πρὸς τῷ τέλει ὥσπερ εἰ ἔχε μυκτῆρας εἶχεν ἂν καὶ μεγάλην κεφαλήν: ἔχουσα δὲ ταύτην μεγάλην ἔπιπτεν ἂν εἰς τοὔμπροσθεν, ὥσπερ ἐπὶ τῆς τρυτάνης συμβαίνει. ἐν ἐκείνῃ γὰρ εἰ δύο τινὰ βάρη ἐν ἑκάστῃ τῶν πλαστίγγων θήσεις, βρίθει ἐπὶ τὴν ἔχουσαν τὸ μεῖζον βάρος. σαφῆ δέ ἐστι τὰ ἑξῆς. μετρικοὺς δὲ λέγει τοὺς ποιητὰς τοὺς ἔμμετρα γράψαντας, ὥσπερ ὁ Ὅμηρος, καὶ οἱ λοιποί. τὸ δὲ ψαυλίζειν φησὶν ἐστι, καὶ μὴ ἐν τῷ ἔχειν πλατεῖαν ἢ στενὴν τὴν γλῶτταν: ὁ γὰρ πλατεῖαν τὴν γλῶτταν ἔχων, καὶ συμμέτρως ἀπολελυμένην, οὐ ψαυλίζει: ἰστέον δὲ ὅτι ὁ ἔχων πλατεῖαν, ἔχει καὶ στενήν: ὥσπερ καὶ ὁ μέγα ἔχων, ἔχει καὶ μικρόν: δύναται γὰρ στενοῦν αὐτήν, ἀλλ᾽ οὐχ ὁ στενήν, ἤδη καὶ πλατεῖαν: τὴν δὲ γλῶτταν ἔχουσιν οἱ ὄφεις δικρόαν, καὶ ἐσχισμένην διὰ τὴν λιχνότητα: λίχνοι γὰρ ὄντες ἔλαβον αὐτὴν ἐσχισμένην, καὶ οἱονεὶ διπλῆν, ἵνα ἔχωσι διπλῆν τὴν ἡδονήν: οἱ δὲ ἰχθύες ἔχουσι βραχεῖαν τὴν τῆς γλώττης διάρθρωσιν, καὶ δι᾽ ἃς μὲν εἶπε σαφῶς αἰτίας. καὶ διὰ ταύτην ἓν καὶ αὐτὸς ἐνταῦθα μετὰ τῶν προειρημένων τίθησιν: ἐν ὕδατι φησὶ διατρίβοντες, καὶ ταχέως διαβιβάζοντες τὴν τροφὴν εἰς τὴν κοιλίαν, ἵνα μὴ λεαινόντων αὐτὴν διὰ τῶν ὀδόντων εἴσεισι τὸ ὕδωρ εἰς τὴν κοιλίαν αὐτῶν, καὶ ἀποπνίγωνται, οὐ δίδοται αὐτοῖς γλῶττα. ἐπεὶ γὰρ ὡς εἴρηται, ἅμα τῷ ἅψασθαι τῆς τροφῆς εἰς τὴν οἰκείαν κοιλίαν αὐτὴν παραπέμπουσιν. ἐκ τούτου δὲ αἴσθησιν οὐκ ἔχου-

σιν τῶν χυμῶν ἀφῄρηνται, καὶ τὸ τῶν χυμῶν αἰσθητήριον, καὶ τοσοῦτον, ὥστε εἰ μή τις αὐτῶν τὸ στόμα ἐπικλίνει, καὶ οἱονεὶ κυρτώσει, ἢ κοιλανεῖ, οὐ φαίνεται ἡ τοιαύτη διάρθρωσις. οἱ δὲ κροκόδειλοι πεπηρωμένην ἔχουσι τὴν γλῶτταν ἴσως τοῖς ἰχθύσι, διὰ ταυτηνὶ τὴν αἰτίαν: ἐπεὶ γὰρ ἐν τῇ κάτω σιαγόνι πέφυκεν ἡ γλῶττα κεῖσθαι: ἄνω γὰρ κρεμαμένη ἐκώλυε τὴν τροφὴν εἰσέρχεσθαι εἰς τὸν οἰσοφάγον: τοῖς δὲ κροκοδείλοις τὸ κάτω ἄνω ἐστίν: τὴν γὰρ ἄνω κινοῦσιν: ἐν ἅπασι δὲ τοῖς ἄλλοις ζῴοις ἡ κινουμένη σιαγὼν, κάτω ἐστίν: κάτω μὲν τὴν γλῶτταν οὐκ ἔχει, ὅτι τὸ κάτω ἄνω ἐστίν: ἄνω δὲ κεῖσθαι οὐ πέφυκε: ἄνω δὲ ὅπερ δεῖ κάτω οὐκ ἔχει τὴν γλῶτταν, ἵνα μὴ ἐμποδίζῃ τὴν τροφήν: ἐπάνω γὰρ τῆς γλώττης πίπτει τὰ βρώματα, καὶ οὕτως ὑπ' αὐτῆς διαπέμπεται πρὸς τὸν οἰσοφάγον: αἱ δὲ πορφύραι ἰσχυρότατον ἔχουσαι τὸ κέντρον διατρυπῶσι τὸ τῶν στρόμβων ὄστρακον: ὑφ' ὧν στρόμβων καὶ δελεάζουσιν αὐτὰς οἱ ἁλιεῖς: τιθέασι γὰρ περὶ τὸ ἄγκιστρον στρόμβον: ὃν ἰδοῦσαι, ἔρχονται πρὸς αὐτὸν, καὶ οὕτως ἁλίσκονται. σαφῆ δὲ τὰ λοιπὰ πάντα τοῦ παρόντος βιβλίου: διὸ ἰτέον τὴν ἐφεξῆς.

ΣΧΟΛΙΑ ΤΩΝ ΔΕΟΜΕΝΩΝ ΡΗΤΩΝ ΣΑΦΗΝΕΙΑΣ ΤΟΥ Γ. ΒΙΒΛΙΟΥ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ

ΜΕΤΑ τὰ εἰρημένα φησὶ περὶ κεφαλῆς ἡ τῶν ὀδόντων ἐστὶ φύσις, καὶ τὸ στόμα τὸ περιεχόμενον ὑπὸ τῶν ὀδόντων, καὶ ἐξ ὀδόντων συνεστηκός: λέγει δὲ καὶ ὅτι οὐ μόνον πρὸς τὴν τῆς τροφῆς ἐργασίαν ἔχει τὰ ζῶα τοὺς ὀδόντας, ἀλλὰ καὶ χάριν ἀλκῆς: διαιρεῖ δὲ τὴν ἀλκὴν εἴς τε τὸ ποιεῖν, καὶ ἐπιτίθεσθαι ἄλλοις, καὶ εἰς τὸ μὴ πάσχειν, καὶ ἀμύνεσθαι τὰ ἐπιτιθέμενα: τῶν γὰρ ζώων τὰ μὲν ἐπιτίθενται ἄλλοις: οἷον λέων, ἀετὸς κατεσθίουσι τὰ οἷς ἐπιτίθενται: τὰ δὲ οὔτε ἐπιτίθεται, οὔτε ἐπιβουλεύει, οἷον λαγὼς, ἀηδὼν: ἀλλ' ἀμύνεται, καὶ μάχεται, ὡς διώκεσθαι τοῖς ἐπιτιθεμένοις, καὶ ἀναιρεῖν αὐτὰ σπουδάζουσιν. ὁ δὲ ἄνθρωπος ἔχει τοὺς κυνόδοντας, καὶ τοὺς ἄλλους ἅπαντας τοσούτους πρὸς τὴν διάλεκτον: ἂν γὰρ τις λείψῃ, ψελλίζεται ὁ ἄνθρωπος: χαυλιόδοντας δὲ λέγει τοὺς ἐοικότας τοῖς τῶν βουβαλίων κέρασιν, οἷοι εἰσὶν οἱ τῶν κάπρων. οὐδὲν δὲ τῶν ζώων ἐστὶν ἅμα καὶ καρχαρόδουν, καὶ χαυλιόδουν: ἐπεὶ γὰρ τὸ καρχαρόδουν ἕνεκα τοῦ δάκνειν ἐστίν: τὸ δὲ χαυλιόδουν τοῦ πλήττειν, καὶ τιτρώσκειν: οὐδὲν δὲ μάτην ἡ φύσις ποιεῖ, διὰ τοῦτο οὐδέν ἐστιν ἅμα καρχαρόδουν, καὶ χαυλιόδουν. ἐπεὶ ὅτι κάπρος, καὶ ἡ θήλεια ὗς, ἐκ τοῦ αὐτοῦ εἰσὶ γένους, λέγων γένος τὸ εἶδος, ὅτι ἄῤῥην ἔλαφος, καὶ ἡ θήλεια: ὁμοειδῆ γὰρ καὶ ταῦτα: καὶ ὁ μὲν κάπρος ἔχει χαυλιόδοντας: ἡ δὲ ὗς οὐκ ἔχει: ὁμοίως ὁ ἄῤῥην ἔλαφος ἔχει κέρατα: ἡ θήλεια δὲ, οὔ. ἐπεὶ οὖν ταῦτ' οὕτως ἔχει, καὶ ἦν εἰκὸς τὸν μὴ ἀργὸν τὴν διάνοιαν ζητεῖν διατί ὁμοειδῆ ὄντα, ὅτι κάπρος, καὶ ἡ ὗς, ὁ μὲν ἔχει χαυλιόδοντας: ἡ δὲ οὐκ ἔχει. ὁμοίως καὶ ἐπὶ τῶν ἐλάφων, ὁ μὲν, κέρατα: ἡ δὲ, οὔ. μέλλων τὴν αἰτίαν τούτων εἰπεῖν λέγει, ὅτι δεῖ καθόλου περὶ τούτων εἰπεῖν, ὃ χρήσιμον ἔσται καὶ περὶ τούτων, καὶ τῶν ἄλλων, τῶν ὕστερον λεχθησομένων: καὶ ἐπάγει, ὅτι ἐπειδὴ χάριν ἀλκῆς, καὶ βοηθείας ὑπὸ τῆς φύσεως δίδονται, οἷς δίδονται κέρατα κέντρα, πλῆκτρα ἐκείνοις ταῦτα δίδωσιν ἡ φύσις τοῖς δυναμένοις χρῆσθαι. ὥσπερ γὰρ στρατηγὸς οὐκ ἂν δώσει τῷ βρέφει σπάθην, ἢ κόντον, ἀλλ' ἀνδρὶ, καὶ ἀνδρὶ δυναμένῳ χρῆσθαι: οὕτως καὶ ἡ φύσις, τοῖς μὲν ἄῤῥεσι τῶν ζώων ἰσχυροτέροις οὖσι, καὶ δυναμένοις χρῆσθαι, δέδωκε κέρατα, κέντρα, χαυλιόδοντας: τοῖς δὲ θήλεσιν διὰ τὴν ἀσθένειαν οὐ δέδωκεν, καὶ τῶν ἀῤῥένων πάλιν τὰ μείζω κέρατα, καὶ πλῆκτρα, καὶ τὰ λοιπὰ δέδωκε τοῖς ἰσχυροτέροις. τὰ δ' ἐλάττω τοῖς ἀσθενεστέροις. εἰ δέ που συμβαίνει τὰ αὐτὰ ἔχειν τὸ θῆλυ, ὥσπερ καὶ τὸ ἄῤῥεν, οἷά εἰσι τὰ πρὸς τὴν τροφὴν χρησιμεύοντα, ἥττονα εἰσὶ τὰ τῶν θηλειῶν, μείζω δὲ τὰ τῶν ἀῤῥένων: λέγει δὲ τοὺς ἰχθύας ἔχειν τοὺς ὀδόντας γαμψοὺς, καὶ κεκαμμένους, ὥσπερ τὸ τῶν ἱεράκων ῥύγχος, διὰ τὸ πᾶσαν τὴν ἰσχὺν αὐτῶν ἐν τούτοις εἶναι: ἐπιτηδειότατα δὲ τὰ γαμψὰ πρὸς τὸ συναρπάζειν, καὶ διατέμνειν: ἔχει δέ φησι τὰ ζῶα τὸ στόμα ἕνεκεν τῶν ἔργων τούτων. λέγων ἔργα τὸ ἐσθίειν, τὸ ἔχειν ὀδόντας ἐν αὐτῷ, καὶ πρὸς τούτοις χάριν

τοῦ ἀναπνεῖν· ἀναγκαῖα γὰρ καὶ ἐκ τοῦ στόματος· ἔχει δὲ τῶν ζώων τινὰ μὲν τὸ στόμα χάριν τῆς ἐδωδῆς μόνον· τὰ δὲ καὶ πρός τι ἀμύνασθαι· τὰ δὲ πρὸς τούτοις καὶ πρὸς τὸ διαλέγεσθαι, ὥσπερ ὁ ἄνθρωπος· καὶ δὴ ὥσπερ γέγονε τὰ στόματα τῶν ζώων διάφορα, ὅτι καὶ αἱ ἐργασίαι αὐτῶν διάφοροί εἰσι· μύουρον δὲ εἶπε τὸ τῶν μὴ σαρκοφάγων ἰχθύων στόμα, ὅτι ἐκ παχέος καὶ πλατέος εἰς λεπτὸν λήγει· τοιαύτη γάρ ἐστι καὶ ἡ τῶν μυῶν οὐρά· γλαφυρὸν δὲ εἶπε τὸ τῶν μικρῶν ὀρνίθων ῥύγχος, ἀντὶ τοῦ περιφερὲς, καὶ κυρτόν· στεγανόποδα δὲ λέγει τὰ μὴ ἐσχισμένους ἔχοντα τοὺς δακτύλους, οἷοι εἰσὶν οἱ τῶν χηνῶν, καὶ νηττῶν· τὸ δὲ πρόσωπόν φησιν, ἢ ἐκ τοῦ πρόσω ὀπωπέναι καλεῖσθαι πρόσωπον, ἢ ἐκ τοῦ πρόσω τὴν φωνὴν διαπέμπειν. σαφῆ δὲ τὰ περὶ κεράτων λεγόμενα· κατὰ δὲ τὴν λέξιν τήν. [Ὅσοις δὲ μὴ δέδωκεν ἡ φύσις ἄλλην ἀλκὴν πρὸς σωτηρίαν, οἷον ταχυτῆτα σώματος,] λείπει τὸ, κέρατα δέδωκε, ἵν' ᾖ τὸ πλῆρες τοιοῦτον· ὅσοις δὲ μὴ δέδωκεν ἡ φύσις κέρατα, δέδωκεν αὐτοῖς ἄλλην ἀλκὴν πρὸς σωτηρίαν καὶ τὴν ἣ τοιαύτη ἄλλη ἐπάγει, λέγων. οἷον τοῖς μὲν ἵπποις [βεβοήθηκε] τουτέστιν εἰς τὴν βοήθειαν δέδωκε ταχυτῆτα σώματος. ταῖς δὲ καμήλοις, μέγεθος· ἡ γὰρ ὑπερβολὴ τοῦ μεγέθους ἱκανὴ ὑπάρχει πρὸς βοηθεῖν αὐταῖς· ταῦτα μὲν οὕτω βεβοήθηκεν· ἄλλα δὲ ὥσπερ εἴρηται, πεποίηκε χαυλιόδοντα· ἐπεὶ δέ τινα, ὥσπερ οἱ ἔλαφοι, κέρατα μὲν ἔχουσιν, οὐδὲν δὲ πρὸς βοήθειαν αὐτοῖς συμβάλλει, διά τε τὸ μέγιστα εἶναι καὶ πολυσχιδῆ· κατεσχισμένα γὰρ τὰ τῶν ἐλάφων κέρατα, καὶ πολλαῖς παραφυάσι καταπεπύκνωται, ὥσπερ καὶ τὰ δένδρα τοῖς κλάδοις, δέδωκεν αὐτοῖς ταχυτῆτα· οἱ δὲ βόνασοι φησὶ, ἐπειδὰν διώκωνται, ἀποψοφοῦσιν ἐκ τοῦ ἐν τῇ κοιλίᾳ αὐτῶν ὄντος περιττώματος· ἔστι δὲ λίαν δυσωδέστατον ὂν ἀποπνίγει, ἢ φθάσῃ παρασκευάζει, τὸ διῶκον· ὥστε δὴ τῆς τοιαύτης τοῦ περιττώματος προσθήκης, ἐφεῦρεν ἡ φύσις σωτηρίαν τοῖς ζώοις· ἐπεὶ δὲ εἰσὶ μονόκερα καὶ διχηλὰ, καὶ μώνυχα, εὐλογώτερόν ἐστι φησὶν τὸ τὰ μώνυχα μονόκερα εἶναι, ἤπερ τὰ διχηλά· τῷ μωνύχῳ γὰρ τὸ ἓν, ἁρμόζει καὶ τὸ μονόκερον· τὸ δὲ διχηλῷ διὰ τὴν δυάδα, τὸ δίκερον. ἔτι ἐπεὶ ἡ σχίσις κατ' ἔλλειψιν ὕλης ἐστίν· μὴ τοῦ εὐποροῦσα ἡ φύσις ὕλης ὁλόκληρον, ὥσπερ τὴν μωνύχων ἀπεργάσασθαι, πεποίηκεν αὐτὸ διχηλόν· ἀποβάλλει δὲ καὶ μόνος ὁ ἔλαφος τὰ κέρατα δὴ τὴν εἰδικὴν αἰτίαν, καὶ δὴ τὴν ὑλικήν· δὴ μὲν τὴν εἰδικὴν, ὅπως τῇ ἀποθέσει ἐλαφριζόμενα ἀφελῶνται· [Ἐξ ἀνάγκης δὲ] τουτέστι διὰ τὴν ὕλην δὲ, ὅτι βαρύτατα ὄντα, καὶ δὴ ὅσπερ ἀπεικῶς κινούμενα, σαλευτά τε, καὶ ἐκριζοῦνται· οὐ πέφυκε δὲ τὰ κέρατα ἐκ τοῦ δέρματος, ἀλλ' ἐν τῷ δέρματι ἐνήρμοσται στερεὸν ἐκ τῶν ὀστῶν· τουτέστιν ἐκ τοῦ κρανίου δὴ τοῦ δέρματος δίεισιν ὀστοῦν τι, καὶ εἰσέρχεται εἰς τὸ τοῦ κέρατος κοῖλον· ταῦτα εἰπὼν λέγει, ὅτι ῥητέον πῶς ἔχουσα ἡ ἀναγκαία, καὶ ὑλικὴ φύσις λαμβάνει αὐτὴν τὸ εἶδος, καὶ κατακέχρηται ἕνεκά του, καὶ λέγει, ὅτι τῷ σωματώδει ἢ γεώδει, ὅπερ ἐστὶν ἡ φύσις τῶν ὀστῶν, κατακέχρηται ἡ φύσις εἰς βοήθειαν καὶ τὸ συμφέρον· τὰς δὲ θηλείας τῶν ἐλάφων, τὰς αὐτὰς τὴν φύσιν οὔσας τοῖς ἄρρεσιν, καὶ μηδὲ ὀδόντας ἄνωθεν ἐχούσας, ὅσον ἐπὶ τούτῳ ἔδει κέρατα ἔχειν· οὐκ ἔχει δὲ δὴ τὸ μηδὲ τοῖς ἄρρεσιν, ὥσπερ εἴρηται, χρήσιμα εἶναι· ἔχουσι δὲ ταῦτα οἱ ἄρρενες, ὅτι ἰσχυρότεροι τῶν θηλειῶν ὄντες, ἧττον βλάπτονται. λέγει δὲ καὶ περὶ τοῦ οἰσοφάγου, ὅτι οὐκ ἀναγκαῖον ἔχειν αὐτὸν ἕνεκα τῆς τροφῆς· [Οὐθὲν γὰρ παρασκευάζει πρὸς αὐτὴν] τουτέστι περὶ οὐθὲν συμβάλλει πρὸς αὐτήν· οὔτε γὰρ λεαίνει ταύτην, ὥσπερ οἱ ὀδόντες, οὔτε πέττει, ὡς ἡ κοιλία, οὔτ' ἄλλο οὐδὲν ποιεῖ πρὸς αὐτήν. ἔτι ἐπεὶ ἐνδέχεται εὐθὺς μετὰ τὸ στόμα κεῖσθαι τὴν κοιλίαν, ἱκανόν ἐστι τὸ στόμα διακομίζειν τὴν τροφὴν πρὸς τὴν κοιλίαν· ὥστε οὐδεμία ἐστὶ τοῖς οὕτως ἔχουσι κειμένην τὴν κοιλίαν οἰσοφάγου χρεία· τὸν δὲ πνεύμονα, ἐπεὶ οὐκ ἐνδέχεται εὐθὺς μετὰ τὸ στόμα κεῖσθαι, χρεία τῆς τραχείας ἀρτηρίας, δι' ἧς μεταδίδοσθαι τὸ πνεῦμα κατὰ τὰς ἀρτηρίας· αἴτιον [illegible] ὑπὸ τῶν ἐν τῷ πνεύμονι συνεγγυ[illegible]· δεῖ γὰρ συλλαβεῖν ὄντα δυοῖν [illegible]

πνεύμονι σύνεγγυς ἔχουσιν ἐν ἑαυτοῖς τὰς ἀρτηρίας. ἐπεὶ δὲ ἡ κοιλία πόρρω κεῖται τοῦ στόματος, ἀναγκαῖος γέγονε μεταξὺ τοῦ στόματος, καὶ τῆς κοιλίας ὁ οἰσοφάγος, ἵνα δι' αὐτοῦ ἀπὸ τοῦ στόματος πρὸς τὴν κοιλίαν κομίζηται τὰ βρώματα· ἡ δὲ τραχεῖα ἀρτηρία κεῖται ἔμπροσθεν τοῦ οἰσοφάγου, καίπερ ἐμποδίζουσα αὐτόν· παρενοχλεῖται γὰρ καὶ οἱονεὶ μετὰ ἐμποδισμοῦ, ὁ οἰσοφάγος τὰς τροφὰς ἐκ τοῦ στόματος λαμβάνει, διὰ τὸ ὥσπερ δεδιέναι μή τι ἐκδραμὸν εἰσέλθοι τῆς ξηρᾶς, ἢ ὑγρᾶς τροφῆς πρὸς τὴν τραχεῖαν ἀρτηρίαν· σαφῆ δὲ τὰ ἑξῆς. τὸ δέ· [Δῆλον δὲ ὅτι οὐκ εὐθέως εἰς τὴν κύστιν συλλέγεται τὸ ὑγρόν·] λύσις ἐστὶν ἐνστάσεως ὑπὸ τῶν ἀντιδοξούντων λεγομένης· ἔφασκον γάρ, ὅτι μὴ γὰρ εἰς τὴν κοιλίαν ἀπέρχεται τὸ ποτόν, ἵν' ὥσπερ ἐκ τοῦ πνεύμονος φέρει πρὸς αὐτήν, ἀλλ' εἰς τὴν κύστιν· πρὸς δὴ ταύτην τὴν ἔνστασιν ἐπήνεγκε τὸ δῆλον ἐστὶν, ὅτι οὐκ εὐθέως εἰς τὴν κύστιν συλλέγεται τὸ ὑγρόν, ἀλλ' εἰς τὴν κοιλίαν πρότερον· πίστις δὲ τούτου, ὅτι μελαίνεται τὰ τῆς κοιλίας περιττώματα ὑπὸ τοῦ ἐρυθροῦ οἴνου. ὥστε, εἰ μὴ ἀπήρχετο ὁ οἶνος πρότερον εἰς τὴν κοιλίαν, οὐκ ἂν ἐμελαίνετο ὑπ' αὐτοῦ τὰ περιττώματα. ἀλλὰ καὶ κοιλίας πολλάκις ὑπὸ βέλους τρωθείσης ὤφθη ἐξερχόμενον ἐξ αὐτῆς τὸ ποτόν. ἀλλὰ περὶ μὲν τούτων φασὶν οὕτως ἀπελέγχει· ἡ δὲ φύσις πεποίηκε τὴν ἐπιγλωττίδα· ἥτις περίκειται τὴν τραχεῖαν ἀρτηρίαν, ὅπως μὴ ἐᾷ εἰς αὐτὴν εἰσέρχεσθαι ὑγρόν, ἢ ξηρόν· ὅσα δὲ μὴ ἔχουσιν ἐπιγλωττίδα, τούτων συνάγεται, καὶ συστέλλεται ὁ φάρυγξ εἰσιούσης τῆς τροφῆς, καὶ οὐκ ἐᾷ εἰσέρχεσθαί τι τῆς τροφῆς εἰς αὐτήν· μεμηχάνηται δὲ θαυμαστῶς, καὶ ἡ ταύτης, καὶ ἡ τῆς ἐπιγλωττίδος κίνησις· τῆς γλώττης γὰρ κινουμένης ἡνίκα ἡ τροφὴ ὑπὸ τῶν ὀδόντων λεαίνεται, οὐδαμῶς αὕτη δίκεται ὑπὸ τούτων, εἰ μὴ ἀτονίας· τούτου γάρ ἐστι δηλωτικὸν τό, [Ὥστε τῆς τροφῆς ἐν μὲν τῷ στόματι λεαινομένης, παρ' αὐτὴν δὲ διιούσης·] καὶ τὰ ἑξῆς· τὸ δὲ, [Ἀλλ' αὐτῆς τῆς ἀρτηρίας τῶν ἐσχάτων θᾶττον ἐγίνετ' ἂν ἡ συναγωγὴ τῆς ἐκ τῆς οἰκείας σαρκὸς ἐπιγλωττίδος,] τοιοῦτον ἐστίν, ἀλλ' ἀπὸ τῶν ἐσχάτων μορίων τῆς τραχείας ἀρτηρίας θᾶττον γίνεται ἡ συναγωγὴ τῆς ἐπιγλωττίδος, ἥτις ἂν ἐγίνετο ἐκ τῆς οἰκείας σαρκός· τοῦτο δὲ ταὐτόν ἐστι τῷ, θᾶττον συνάγεται καὶ συστέλλεται τὰ ἔσχατα μέρη τῆς τραχείας ἀρτηρίας· ἔσχατα λέγων τὰ ἐγγὺς τοῦ στόματος· εἰ δὲ εἶχον ἀπὸ τῆς οἰκείας σαρκὸς ἐπιγλωττίδα, ἐπειδὴ ξηρά ἐστιν ἡ σάρξ, βραδέως ἂν συνήγετο· κεῖται δ' ἔμπροσθεν ὁ φάρυγξ τοῦ οἰσοφάγου ἐξ ἀνάγκης· ἐπειδὴ γὰρ ἡ καρδία ἔμπροσθεν κεῖται, δι' ἃς πρὸς σαφῶς λέγει αἰτίας, ὁ δὲ πνεύμων περὶ τὴν καρδίαν, ἵνα καταψύχῃ αὐτήν· ἡ δὲ ἀρτηρία ἣν φάρυγγα εἶπεν, κομίζει περὶ τὸν πνεύμονα τὸ πνεῦμα, ἀνάγκη τὴν ἀρτηρίαν ἔμπροσθεν κεῖσθαι τοῦ οἰσοφάγου· τὸ μὲν οὖν λεγόμενον, τοιοῦτον· τὸ δέ, [Αὐτῷ γὰρ τῷ λόγῳ τούτῳ διώρισται, τὸ ἔμπροσθεν, καὶ ὄπισθεν·] ἴσον ἐστὶ τῷ· οὕτω γὰρ ὁριζόμεθα τὸ ἔμπροσθεν· ἔμπροσθέν ἐστιν ἐν ᾧ ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τῆς αἰσθήσεως. τὸ δέ· [Τὰ μὲν γὰρ πρὸς τὸν πνεύμονα τείνει,] τὰ μέν, εἶπε τὸν φάρυγγα, καὶ τὴν ἀρτηρίαν, ὁ δὲ πνεύμων εἰς τὴν κοιλίαν· σημειωτέον δέ, ὅτι πρότερον μὲν φάρυγγα, καὶ ἀρτηρίαν, τὸ αὐτὸ ἔλεγε· νῦν δὲ φάρυγγα λέγει τὴν ἀρχὴν τῆς ἀρτηρίας, τὴν εὐθὺ μετὰ τὸ στόμα· ἀρτηρίαν δὲ τὸ λοιπὸν ἅπαν· καὶ δὴ ἔδει ἀντὶ τοῦ εἰπεῖν· ὁ μὲν γάρ, ἡ ἡ μὲν γὰρ ἑνικῶς, εἶπεν, ὅτι [Τὰ μὲν etc.] ὅλως δὲ φησὶν εἰς τὸ βέλτιον, καὶ τιμιώτερον ἐν τῷ βελτίονι τέθεικεν ἡ φύσις τόπῳ· ἐὰν μὲν ᾖ τὸ βέλτιον ἄνω, ἐν τῷ ἄνω· εἰ δὲ τὸ ἔμπροσθεν, ἐν τῷ ἔμπροσθεν· εἰ δὲ τὸ δεξιόν, ἐν τούτῳ· ταῦτα γὰρ ἐδήλωσε διὰ τοῦ, [Τοῦ μὲν ἄνω, καὶ κάτω ἐν τοῖς μᾶλλον ἐστὶν ἄνω·] καὶ τὰ ἑξῆς· ἐλλιπῶς δέ, καὶ ἀσαφῶς ἀπήγγελται τό· [Ἐν τοῖς μάλιστα ἐστὶν ἄνω·] ἔστι δ' αὐτὸ τὸ πλῆρες τοιοῦτον· ἐν τοῖς ἔχουσι τὸ ἄνω μᾶλλον, ἤτοι τιμιώτερον, ἐν ἐκείνοις τὸ τιμιώτερον ἄνω κεῖται. ἃ δὲ λέγει περὶ τῶν σπλάγχνων σαφῆ· τὸ δέ· [Ὥσπερ τῶν ἐκτὸς μορίων οὐ πᾶσι τῶν αὐτῶν ἡ χρῆσις·] ἴσον ἐστὶ τῷ οὐ πᾶσι τοῖς ἐκτὸς μορίοις πρὸς τὰ αὐτὰ χρώμεθα· οὐ γὰρ οἷς χρώμεθα μορίοις πρὸς βάδισιν, τούτοις καὶ πρὸς τὴν τροφήν.

λεαίνειν, ἀλλ' ἑτέροις. τὸ δὲ, [Αἱματωδέστερα δὲ καὶ μέγιστα κατὰ λόγον.] μέγιστα μὲν εἶπεν, διότι αἱματικά εἰσι· πάμπολυ δὲ ἐν τοῖς νεογνοῖς τὸ αἷμα. τούτου γάρ ἐστι δηλωτικὸν, τὸ, [Διὰ τὸ εἶναι τὸ εἶδος τῆς ὕλης, καὶ τὸ πλῆθος ἐμφανέστατον.] εἶδος καὶ πλῆθος, ἐκ παραλλήλων θεὶς, [Εμφανέστατον] δὲ ἀντὶ τοῦ πολύ· πολὺ γὰρ ἐν αὐτοῖς τὸ αἷμα. ὅπερ ἐστὶν ὕλη τῶν σπλάγχνων· τὸ δὲ [Κατὰ λόγον,] πρόσκειται, ὅτι ὑπερβαίνει τὴν ἀναλογίαν τοῦ ὅλου σώματος· ἀναγκαῖον δὲ λέγει σῶμα τὸ ἀπὸ τῆς κεφαλῆς μέχρι τοῦ ἀφ' οὗ ἐξέρχεται τὰ περιττώματα. κεῖται οὖν ἡ καρδία ἐν τῷ μέσῳ τοῦ ἀναγκαίου σώματος· ὥσπερ δὲ ἀρχὴ τοῦ ἀναγκαίου σώματος ἡ κεφαλὴ, οὕτω πέρας, ᾗ τὰ περιττώματα ἐκκρίνεται· ἀναγκαῖον δὲ καλεῖ τὸ τοιοῦτο σῶμα, διὰ τὸ μὴ δύνασθαι χωρὶς τούτου εἶναι τὸ ζῷον· χωρὶς μὲν γὰρ χειρῶν, ἢ ποδῶν, ἢ ὤτων, ἢ ῥινῶν εἶναι δύναται· ἄνευ δ' ἐκείνου, ἀδύνατον· τὸ δὲ, [Δῆλον δ' ὥσπερ οὐδὲ προστιθέμενα φθείρει] εἴρηκε, διὰ τὸ γίνεσθαι τινὰς ἀνθρώπους ἑξαδακτύλους, ὅμως μὴ φθείρεσθαι τὸν ἄνθρωπον ὑπὸ τῆς τοιαύτης προσθέσεως. δυσριγῆ δὲ εἶπε τὸν ἐγκέφαλον, ἀντὶ τοῦ ταχέως ῥιγοῦντα. καὶ ἐπεὶ ψυχρὸς ὁ ἐγκέφαλος· αἱ δὲ φλέβες θερμαὶ, ἐπεὶ καὶ τὸ ἐν αὐταῖς αἷμα, οὐκ ἂν εἶεν αἱ φλέβες ἐκ τοῦ ἐγκεφάλου· ψυχραὶ γὰρ ἂν ἦσαν καὶ αὗται. τῷ δὲ, [Αὕτη γάρ ἐστιν ἀρχὴ, καὶ πηγὴ αἵματος] προσέθηκε τὸ, [Η ὑποδοχὴ πρώτη.] ὥσπερ εἰ ἔλεγεν, εἰ δέ τις ἀρχὴν αἵματος μὴ λέγοι τὴν καρδίαν· ἀλλὰ τὴν ἐν αὐτῇ ψυχὴν, λεγέτω τὴν καρδίαν πρώτην ὑποδοχὴν τοῦ αἵματος. τὸ δὲ [Καὶ ἔστι πᾶσι ἐφικτὸν ὁμοίως ἢ παραπλησίως·] δυνάμει τοιοῦτόν ἐστιν· τὸ κείμενον μέσον μᾶλλον δύναται μεταδιδόναι ὁμοίως δυνάμεώς τινος τοῖς κύκλῳ αὐτοῦ· ἡ δὲ καρδία μέσον κεῖται· αὕτη ἄρα δυνήσεται ὁμοίως καὶ τοῖς πρὸς τῇ κεφαλῇ, καὶ τοῖς πρὸς τοῖς ποσὶ μέρεσι χορηγεῖν ζωτικήν τινα δύναμιν, ἤπερ ὁ ἐγκέφαλος ἄνω κείμενος. τὸ δὲ [Η παραπλησίως] εἴρηται ἀντὶ τοῦ, ἧττον ὁμοίως· ἢ γὰρ ὁμοίως πᾶσι χορηγεῖ ἢ ὀλίγον τι ἐνδεῖ πρὸς τὸ ἀνομοίως χορηγεῖν. τὸ δὲ αἷμα ἔχει ἡ καρδία, ὥσπερ τὸ ἀγγεῖον τὸν οἶνον. τὸν δὲ σπλῆνα εἶπεν [Αντίζυγον] ἀντὶ τοῦ ὁμόζυγον· ὡς γὰρ ὁ δεξιὸς ὀφθαλμὸς ὁμόζυγον ἔχει τὸν ἀριστερὸν, οὕτως καὶ τὸ ἧπαρ, τὸν σπλῆνα· λέγει δὲ τὴν καρδίαν κεῖσθαι ἐν τοῖς ἔμπροσθεν τοῦ σώματος, ὅπως μὴ καταψύχηται, καὶ τὴν αἰτίαν ἐπήγαγε διὰ τοῦ, [Πᾶσι γὰρ ἀσαρκότερον τὸ στῆθος· τὰ δὲ πρανῆ, σαρκωδέστερα·] ἐπεὶ γὰρ τὰ ἄλογα κυπτάζει, καὶ διὰ τοῦτο δέχεται ἐν τοῖς πρανέσι τούς τε ὄμβρους, τά τε ψύχη· ἐν δὲ τοῖς ὑπτίοις διὰ τὴν κάμψιν οὐδαμῶς· ὥστε καὶ θερμότερον διὰ τοῦτο, κἂν ἀσαρκωδέστερα τυγχάνῃ, τέθεικεν ἡ φύσις τὴν καρδίαν πρὸς τῷ στήθει· εἰ γὰρ ἔκειτο πρὸς τοῖς πρανέσιν, ἐπειδήπερ ὡς εἴρηται ἐν τούτοις δέχεται τοὺς ὄμβρους, καὶ τὰ ψύχη, ἐψύχετο ἄν· διὰ τοῦτο δὲ καὶ σαρκωδέστερα γέγονεν αὐτὰ, ἵνα μὴ ταχέως διέρχηται διὰ τούτων εἰς τὴν καρδίαν τὸ ψῦχος· ἐν δὲ τοῖς ἀνθρώποις γέγονε τὰ πρανῆ. διὰ τὴν αὐτὴν αἰτίαν· ἔχει δὲ τὸ στῆθος θερμὸν, διὰ τὴν ἀπὸ τῶν χειρῶν φυλακήν· ἐπεὶ δὲ τὸ ὀξὺ τῆς καρδίας, ἐν μὲν τοῖς ἄλλοις ζῴοις πρὸς τῷ στήθει κεῖται· τοῦτο γάρ ἐστι τὸ ἔμπροσθεν ὥσπερ ἡ κεφαλὴ τὸ ἄνω· ἐν δὲ τοῖς ἰχθῦσιν οὐχ οὕτω κεῖται, ἀλλὰ πρὸς τῇ κεφαλῇ, ἐπήγαγε τὸ, [Οτι δὲ καὶ ἐν τοῖς ἰχθῦσιν ἡ καρδία ὁμοίως κεῖται,] τουτέστιν ἔμπροσθεν, κἂν πρὸς τῇ κεφαλῇ κειμένη οὐ φαίνεται εἰς τὸ ἔμπροσθεν κεῖσθαι, ἀλλ' εἰς τὸ ἄνω δῆλον· ἐν γὰρ τοῖς ἰχθῦσι τὸ ἔμπροσθεν ἡ κεφαλή ἐστιν. πῶς δὲ ἐν τοῖς ἰχθῦσιν ἡ κεφαλή ἐστι τὸ ἔμπροσθεν, κατασκευάζων ἐπήγαγεν. [Επὶ ταύτην γὰρ ἡ κίνησις.] ἐφ' ὃ δὲ ἡ κίνησις τοῦτο ἐστὶν τὸ ἔμπροσθεν, ἔχει δὲ καὶ νεύρων πλῆθος ἡ καρδία εὐλόγως· ἀπὸ ταύτης γὰρ αἱ κινήσεις πᾶσαι ἀπάρχονται· πῶς δὲ ἀπὸ ταύτης ἀπάρχονται, ἐπήγαγε τό. [Διὰ τοῦ ἕλκειν καὶ ἀνιέναι·] ἕλκουσα γὰρ ἡ καρδία διὰ τῶν ἐξ αὐτῆς νεύρων τὰ τῆς πορείας ὄργανα καὶ πάλιν ἀνεῖσα, κινεῖ τὸ ζῷον. ἐπεὶ οὖν διὰ τῶν νεύρων κινεῖ τὸ ζῷον, δεῖ αὐτῇ τῆς ἀπὸ τῶν νεύρων ὑπηρεσίας, καὶ ἰσχύος. διὰ ταύτην ἄρα τὴν αἰτίαν ἐστὶ καὶ τῶν νεύρων ἀρχὴ ἡ καρδία· λέγει δὲ καὶ διατί αἱ τῶν μεγά-

λων ζώων καρδίαι ἀνὰ τριῶν ἔχουσι κοιλιῶν· ἄλλαι δὲ ἀνὰ δύο. πρὸς δὲ τούτοις καὶ διατί οὐδεμία καρδία ἀκοίλιος ἐστίν, ἀλλὰ τοὐλάχιστον τέως μίαν ἔχει· τὸ γάρ. [Μίαν δὲ πᾶσαι.] ἴσον ἐστὶν τῷ, οὐκ ἔστι δέ τις καρδία ἵνα τέως μίαν μὴ ἔχει· τρεῖς μὲν γὰρ μὴ ἔχειν μηδὲ δύο, εὕρηνται πολλαί· μηδεμίαν δὲ οὐδεμία ὦπται· καὶ ἡ αἰτία τοῦ τινὸς χάριν ἔχει μίαν, εἴρηται· ἀνάγκη γὰρ ἀρχὴν οὖσαν τοῦ αἵματος τὴν καρδίαν ἔχειν ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ αἷμα· ἐπεὶ δὲ αἱ ἀρχηγοὶ καὶ πρῶται καὶ ῥίζαι τῶν ἄλλων φλεβῶν δύο εἰσίν, ἥτε μεγάλη, καὶ ἡ καλουμένη ἀορτή, βέλτιον καὶ τὰς ἀρχὰς αὐτῶν κεχωρίσθαι· ἀρχαὶ δὲ τῶν τοιούτων δύο φλεβῶν, τὸ ἐν τῇ καρδίᾳ αἷμα. βέλτιον οὖν καὶ τὸ ἐν τῇ καρδίᾳ αἷμα κεχωρισμένον εἶναι, καὶ διάφορον τό, ἐξ οὗ γέγονεν ἡ μεγάλη πρὸς τὸ ἀφ' οὗ ἡ ἀορτή· διάφορον δὲ οὐκ ἂν ἦν, εἰ μὴ δύο ἦσαν αἱ ἐν τῇ καρδίᾳ κοιλίαι, καὶ ἐν θατέρᾳ μὲν ἦν, τὸ ἀφ' οὗ ἡ μεγάλη φλὲψ γέγονεν αἷμα· ἐν τῇ λοιπῇ δέ, τὸ ἀφ' οὗ ἡ ἀορτή. δι' ἣν μὲν οὖν αἰτίαν ἀνάγκη πρὸς τῇ μιᾷ καὶ ἄλλην εἶναι κοιλίαν ἐν τῇ καρδίᾳ εἴρηται· δι' ἣν δὲ καὶ τρίτη προσευρίσκεται ἐφεξῆς λέγων. ἀνάγκη καὶ τρίτην εἶναι ἐν τοῖς μεγάλοις, ὅπως ᾖ ἀρχὴ τῶν λοιπῶν δύο· δύο γὰρ οὐσῶν τῶν κοιλιῶν· τίνος ἂν ἕνεκα ἡ ἐν τῷ δεξιῷ μέρει φέρε εἰπεῖν, ἀρχὴ ἦν τῆς ἐν τῷ ἀριστερῷ, καὶ οὐχ αὕτη ἐκείνης. διὰ τοῦτο καὶ μέσου τινὸς ἐδέησεν, ἵν' ᾖ τὸ περιττόν, καὶ τρίτον ἀρχὴ τῶν λοιπῶν δύο. τὸ δὲ [Ὥστε μεγέθους δεῖ μείζονος αὐταῖς ἀεί] ἴσον ἐστὶν τῷ, ὥστε ταῖς μελλούσαις ἔχειν καρδίαις τρεῖς κοιλίας, ἀνάγκη μέγεθος ἔχειν· εἰ γὰρ μὴ ὦσιν μεγάλαι, πῶς ἂν χωρήσωσι τρεῖς κοιλίας· σαφῆ δὲ τὰ ἑξῆς· διατί δὲ καθαρώτατον τὸ ἐν τῇ μέσῃ τῆς καρδίας κοιλίᾳ αἷμα ἐστίν, σαφῶς ἐκτίθεται λέγων· [Δεῖ γὰρ τὴν ἀρχήν.] λέγων ἀρχὴν τὴν αἰσθητικὴν ψυχήν, καὶ ὅλως πᾶσαν ψυχήν, τὴν ἐν τῇ καρδίᾳ καθιδρυμένην. Δεῖ οὖν φησι τὴν ἀρχὴν ἠρεμεῖν· ἠρεμήσειε δ' ἂν καθαροῦ τοῦ αἵματος ὄντος, καὶ μέσου τῷ τε πλήθει, καὶ τῇ θερμότητι· εἰ γὰρ ὑπερβαλεῖ, ἢ τῷ πλήθει, ἢ τῇ θερμότητι ταραχὴν παρέξει τῇ ἀρχῇ· λέγει δὲ τὴν καρδίαν ἔχειν διαίρεσιν, καὶ οἱονεὶ ῥαφήν, οἷα τυγχάνει ὄντα τὰ χαράγματα τὰ ἐν τῷ μέρει τῆς χειρός, ὃ καλεῖται θέναρ. τοιαύτην δή τινα διαίρεσιν λέγει ἔχειν τὴν καρδίαν· οὐκ εἰσὶ δὲ συναφεῖς, καὶ συνεχεῖς ὑπὸ τῶν τοιούτων διαιρέσεων αἱ καρδίαι, ὥσπερ τὰ ἐκ διαφόρων τινῶν ἀνομοίων μερῶν συγκείμενα· τὰ γὰρ ἀνομοιομερῆ, ὥσπερ αἱ ἐπιφάνειαι· φέρε εἰπεῖν, ὑπὸ τῶν γραμμῶν συνεχίζονται· καὶ ταῦτα ὑπὸ τῶν τοιούτων ῥαφῶν· αἱ δὲ καρδίαι ὁμοιομερεῖς οὖσαι ἑαυταῖς, ἔχουσι τὰς ῥαφὰς οἱονεὶ διαρθρώσεις καὶ ῥαφάς· οἷαί εἰσι καὶ αἱ ἐν τοῖς δακτύλοις ᾗ κάμπτονται ῥαφαί· φανεραὶ γὰρ φαίνονται, καὶ μάλιστα ἐν ταῖς περιφερείαις, καθ' ἃς κάμπτονται οἱ τῶν χειρῶν δάκτυλοι ῥαφαί τινες· ἃς ῥαφὰς καὶ ἄρθρα ὀνομάζει πολλάκις δὴ τὸ ἐν τοῖς ἄρθροις εὑρίσκεσθαι περικειμένας. ἀλλ' αἱ μὲν τῶν αἰσθητικῶν καρδίαι φησὶν εἰσὶν [Ἀρθρωδέστεραι] τουτέστιν ἔχουσιν εἰς βάθος ἐνσεσημασμένας, καὶ δὴ τοῦτο διαδηλοτέρας, τὰς τοιαύτας ῥαφάς. [Τῶν δὲ νωθροτέρων ἀναρθρότεροι.] ἤγουν ἐπιπόλαιοι αἱ ῥαφαὶ τούτων εἰσίν, καὶ οὐ διάδηλοι, ἀλλ' ἀμαυραί· λέγει δὲ καὶ διατί τὰ μεγάλας ἔχοντα καρδίας δειλά ἐστιν· καὶ φησίν, ὅτι ἐπεὶ ὁ φόβος γίνεται ψυγρανθέντος τοῦ αἵματος· ἐν δὲ τῇ μεγάλῃ καρδίᾳ μικρὸν ὂν τὸ αἷμα· λέγει [Μικρόν,] τὸ ὀλίγον. ὀλίγον οὖν ἐν ταύτῃ ὂν τὸ αἷμα, ψύχεται δὴ τὸ μὴ ἀνάλογον ἔχειν τῷ μεγέθει αὐτῆς τὸ θερμόν, δῆλον τὸ διατί δειλά ἐστιν τὰ μεγάλας ἔχοντα καρδίας· παραπλήσιον δὲ ταύτῃ εἰσὶ ψυχραί, καὶ αἱ μεγάλαι κοιλίαι· ὁμοίως δὲ καὶ αἱ μεγάλαι φλέβες· ὡς γὰρ τὸ αὐτό, καὶ ἐν ἀριθμῷ πῦρ, ἐν μὲν μεγάλῃ οἰκίᾳ τεθέν, ἧττον θερμαίνει· ἐν δὲ βραχυτέρᾳ μᾶλλον, οὕτως καὶ ἐν ταῖς μικραῖς καρδίαις ἢ φλεψὶ τὸ αὐτὸ θερμόν, μᾶλλον θερμαίνει· ἧττον δέ, ἐν ταῖς μεγάλαις· ἄλλως τε ἐπειδὴ αἱ ἀλλότριαι κινήσεις οἷον ἀνέμων, καὶ ἀέρος καταψύχουσιν ἕκαστον τῶν θερμῶν· εἰ γάρ τι θερμὸν ὄν, ἐν ἀνέμῳ ἢ ἀέρι ὑπ' ἀνέμου κινουμένῳ, τεθείη, ψυχρὸν γίνεται· ἐν δὲ ταῖς εὐρυχωροτέραις καρδίαις, ἢ φλεψίν, ἢ κοιλίαις, ἔνεστι πολὺ πνεῦμα ἀνάγ-

κη ὑπὸ

καὶ ὑπὸ τούτου ψύχεσθαι τὸ ἐν αὐταῖς αἷμα· καὶ διὰ τοῦτο οὐδὲ πίονά ἐστι τὰ μεγαλόφλεβα, καὶ μεγαλοκοίλια, ὅτι ὀλίγον τὸ ἐν αὐταῖς θερμόν· τὸ δὲ πιὸν, πέψις ἐστὶν αἵματος διὰ θερμοῦ· λέγει δὲ καὶ τίνος ἕνεκα τὰ μὲν ἄλλα σπλάγχνα ὑπομένει χαλεπὰ πάθη· ἡ καρδία δὲ οὐδαμῶς, ἀλλ' ἐάν τι τοιοῦτον περὶ αὐτὴν συμβῇ, εὐθὺς φθείρεται τὸ ζῶον· αἱ δοθιῆναι δὲ εἶδος ἐστὶ φυμάτων· περὶ δὲ τὴν τραχεῖαν ἀρτηρίαν, καὶ ἐν τῷ ἥπατι, περὶ τὸ μέρος ἐκεῖνο καθὸ συνάπτει ἐν αὐτῷ ἡ μεγάλη φλέψ. λέγει μὴ δ' ὅλως γίνεσθαι ὑπομονὴν, καὶ καρτερίαν χαλεποῦ πάθους. διατὶ, ὅτι κατὰ ταῦτα τὰ μέρη κοινωνοῦσι τῇ καρδίᾳ· ὥστε τὸ γενηθὲν ἐν τούτοις πάθος, εὐθὺς ἀπὸ τούτων διαδιδόμενον εἰς τὴν καρδίαν, φθείρει τὸ ζῶον, καὶ διά τινα δὲ πάθη, εἰ ἀποθάνοι ζῶον καὶ ἀνατμηθῇ, ὁρᾶται τὶ πάθος περὶ τὴν καρδίαν αὐτοῦ· εἰ μὴ γὰρ εἰς αὐτὴν φθάσει τὸ πάθος, οὐκ ἀποθνήσκει τὸ ζῶον· λέγει δὲ καὶ διότι δύο εἰσὶν αἱ μεγάλαι φλέβες, καὶ ἀπὸ μιᾶς ἀρχῆς τῆς καρδίας. ἀπὸ μὲν οὖν μιᾶς ἀρχῆς λέγει εἶναι αὐτὰς, διὰ τὸ καὶ τὴν αἰσθητικὴν ψυχὴν μίαν εἶναι, μιᾶς δὲ οὔσης ταύτης τῆς ψυχῆς εὔλογον καὶ τὸ ταύτην ἔχον μόριον ἓν εἶναι· ἀμεροῦς γὰρ οὔσης, καὶ ἀσωμάτου, πῶς ἐνδέχεται ἐν πλείοσι μέρεσι τὴν οὐσίαν αὐτῆς εὑρίσκεσθαι· ἀλλ' ἐν μὲν τοῖς ἐναίμοις, καὶ πᾶσι τοῖς γεννῶσιν ὅμοια ἑαυτοῖς, ἐστὶν ἡ αἰσθητικὴ ψυχὴ, καὶ δυνάμει καὶ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν καθὸ ἔχουσι τὴν τοιαύτην ψυχὴν ἐνεργείᾳ· δυνάμει δὲ καθὸ δύνανται μεταδοῦναι τοιαύτης ψυχῆς, καὶ τοῖς ἐξ αὐτῶν γινομένοις. ἐν δὲ τοῖς μὴ γεννῶσιν ὅμοια ἑαυτοῖς, οἷά ἐστι τὰ ἐκ σήψεως γινόμενα, ἐνεργείᾳ μόνον· καθὸ ἤδη ἔχουσιν αὐτὴν, οὐδαμῶς δὲ δυνάμει· διότι οὐ γεννῶσιν ὅμοια ἑαυτοῖς, ἵνα ἐκ τούτου ἔχωσι δύναμιν τοῦ καὶ ἄλλοις διδόναι. ὅτε οὖν ἐστιν ἡ τοιαύτη ψυχὴ ἐνεργείᾳ ἐν τῇ καρδίᾳ, ἀνάγκη τότε εἶναι ἐν αὐτῇ καὶ τὴν τοῦ αἵματος ἀρχήν· αὐτὴ γὰρ ἡ ψυχὴ ἐστὶν αἰτία, καὶ τοῦ εἶναι τὸ αἷμα ὑγρὸν, καὶ θερμόν. διότι μὲν οὖν ἐστὶν ἡ αἰσθητικὴ ψυχὴ ἐν τῇ καρδίᾳ, διὰ τοῦτο καὶ τὸ αἷμα ἐστὶν ἐν αὐτῇ· [Διὰ δὲ τὴν τοῦ αἵματος ἑνότητα,] ἤτοι διὰ δὲ τὸ αἷμα ἐν αὐτῇ ἠθροῖσθαι διὰ τοῦτο καὶ αἱ φλέβες εἰσὶν ἀπ' αὐτῆς· δύο δὲ τυγχάνουσιν οὖσαι ὅπερ προὔκειτο ζητῆσαι, διὰ τὸ καὶ τὰ τῶν ζώων σώματα διμερῆ εἶναι· εὐθὺ γὰρ τὸ ἔμπροσθεν, καὶ ὄπισθεν δύο, καὶ οὐχ ἕν, καὶ τὸ ἄνω καὶ τὸ κάτω, δύο· ὁμοίως δὲ καὶ τὸ δεξιὸν, καὶ τὸ ἀριστερόν· λέγει δὲ καὶ τὴν μεγάλην φλέβα πάντα ἔχειν τὰ ἔναιμα· ἔνια δὲ τὴν ἀορτὴν ἀφανῶς· σαφῆ δὲ τὰ ἑξῆς· ἐν δὲ τῇ λέξει τῇ, [Καὶ ἄλλους αἰεὶ πρὸς τὸ πάντη μεταδιδόναι,] λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ τὸ πλῆρες, εἰς πολλοὺς ὀχετοὺς, καὶ ἐκ τούτων εἰς ἄλλους πρὸς τὸ πάντη μεταδιδόναι· τὰ δὲ περὶ τῶν τάφρων, οὓς ὁ πολὺς ἄνθρωπος, τράφους καλεῖ, δῆλον ὅτι αἱ μὴ εἰς βάθος, ἀλλ' ἐπιπολῆς ταχέως ἀφανίζονται ὑπὸ τῆς ἰλύος· ἣν κατάγει τὸ ὕδωρ· αἱ δὲ μὴ τοιαῦται βραδέως· δῆλον δὲ καὶ ὅτι καθαιρομένοις πάλιν τῆς ἰλύος φαίνονται αἱ τάφροι· λέγει δὲ καὶ ὅτι ἐπειδὰν ἐλάσσους αἱ φλέβες γίνωνται δίοδος αἵματος ἐν αὐταῖς οὐ γίνεται, δι' ἣν ἔχει παχύτητα· καὶ αἵματος μὲν δίοδος οὐ γίνεται ἐν αὐταῖς. γίνεται δὲ τοῦ περιττώματος, ὃ καλοῦμεν ἱδρῶτα· λεπτότατον γὰρ τοῦτο· λέγει δὲ καὶ ὅπως συνέβη τισὶν διὰ καχεξίαν ἱδρῶσαι αἷμα, καὶ φησί· γενομένου γὰρ τοῦ σώματος αὐτῶν εὐάδος καὶ σαφηνίζων τί δηλοῖ ἡ εὐὰς, ἐπήγαγε τὸ [Καὶ μανῷ:] εὐάδους γὰρ καὶ μανοῦ γενομένου τοῦ σώματος· ὑγροῦ δὲ τοῦ αἵματος διὰ τὴν ἀπεψίαν, καὶ μὴ δυναμένου τοῦ σώματος, δι' ἣν πέπονθε μανότητα, καὶ ἀραιότητα, τὴν τοιαύτην κατέχειν ὑγρότητα, συμβαίνει αἱματώδεις ἱδρῶτας ἐκκρίνεσθαι ἀπ' αὐτοῦ· λέγει δὲ καὶ τὴν ὑπερβολὴν διττὴν εἶναι ἢ τῷ ποσῷ, ἢ τῷ ποιῷ. τῷ μὲν ποιῷ φέρε εἰπεῖν τῆς δυσπεψίας ὑπερβάλλει ὁ τυρός· ὁ γὰρ καργάλεος τυρὸς δυσπεπτότερος ἐστὶν εἰ τύχοι, ἀλεκτορίδος. ὑπερβάλλει οὖν ὁ τοιοῦτος τυρὸς [Καὶ νικᾷ] τὴν ἀλεκτορίδα, οὐ τῷ ποσῷ· σμικρότατος γάρ· ἀλλὰ τῷ ποιῷ· αἱ δὲ πέντε ἀλεκτορίδες ὑπερβάλλουσι τὴν μίαν, οὐ τῷ ποιῷ· εὐχυμόταται γὰρ πᾶσαι, ἀλλὰ

τῷ πόσῳ. τὰς δ' αἱμοῤῥοΐας λέγει γίνεσθαι ἐκ τῆς τραχείας ἀρτηρίας μετὰ βίας· μετὰ γὰρ βηχῶν, καὶ ὀδυνῶν ἀποπτύονται· [Διεστῶσαι δὲ ἄνωθεν.] λέγων ἄνωθεν τὴν καρδίαν. ἄνωθεν οὖν ἐκ τῆς καρδίας διεστῶσαι, καὶ εὐθὺ χωριζόμεναι αἱ δύο φλέβες, ἥτε μεγάλη, καὶ ἡ ἀορτή. κάτω δὲ πρὸς τοὺς μικρούς, καὶ ἄνω· ὁμοίως πρὸς τὴν κεφαλὴν ἐναλλάσσουσαι αὐταί τε, καὶ αἱ ἀπ' αὐτῶν φυόμεναι φλέβες· καὶ αἱ μὲν πρὸς τὰ δεξιὰ κείμεναι, γινόμεναι πρὸς τὰ ἀριστερά· ἐκεῖναι δὲ πρὸς τὰ δεξιὰ συνέχουσι τὸ σῶμα· σαφῆ δὲ τὰ ἑξῆς· ἐν δὲ τῇ λέξει τῇ. [Ὥστε ἐν τῷ πνεύματι αὐτῶν εἶναι τὸ τέλος τοῦ ζῆν,] ἴσον ἐστὶν ἕως ἂν ἀναπνῇ, ἕως τό τε καὶ ζῆν· ὄργανον δὲ τοῦ ἀναπνεῖν ἐστιν ὁ πνεύμων. τήν τε ἀρχὴν τοῦ εὐρύνεσθαι, καὶ πάλιν συστέλλεσθαι ἔχει ὁ πνεύμων ἀπὸ τῆς καρδίας· τοῦ Πλάτωνος δὲ λέγοντος, ὅτι κεῖται δὲ ἡ καρδία ὑπὸ τὸν πνεύμονα διὰ τὴν ἄλσιν· διότι γὰρ φησὶν ἅλλεται ἡ καρδία τέθεικεν αὐτὴν ἡ φύσις ἐπάνω τοῦ πνεύμονος, ἵνα ἐν αὐτῷ σομφῷ ὄντι, καὶ μαλακῷ, προσκρούσα μὴ βλάπτηται· εἰ γὰρ μὴ οὕτω τέθεικεν ἐπάνω αὐτῆς, προσέκρουεν ἂν στερεοῖς τισί, καὶ ἐβλάπτετο, ταῦτα τοῦ Πλάτωνος λέγοντος ἐπάγει τό, τὸ δὲ διὰ τὴν τῆς καρδίας ἄλσιν γενέσθαι τὸν πνεύμονα· ἵνα ἐν αὐτῷ προσπταίῃ ἡ καρδία, καὶ μὴ ἐν στερεῷ τινί, οὐ καλῶς εἴρηται· ἐν πολλοῖς γὰρ πλεῖστον ἀφέστηκεν ἡ καρδία τοῦ πνεύμονος· ὥστε μὴ δὲ προσεγγίζειν αὐτῷ κἂν λίαν ἅλληται· ἐνίοις δὲ οὐδὲ ὑπὸ τὸν πνεύμονα κεῖται, ἀλλ' ἐπάνω αὐτοῦ· τὸ δὲ φαινόμενον ἐν τοῖς ὄρνισιν αἱματῶδες, ἰστέον ὅτι οὐκ ἔστιν ὁ πνεύμων, ἀλλὰ τὸ ἧπαρ· ὁ δὲ πνεύμων αὐτῶν ἐστι τὸ κείμενον ἐν τῇ ῥάχει, καὶ ἀπτόμενον αὐτῆς μακρόν, καὶ φλεβῶδες· τὸν δὲ ἀφρὸν λέγει ἐκ μεγάλου μικρὸν γίνεσθαι, διὰ τὸ ἐξέρχεσθαι τὸν ἐν αὐτῷ ἀέρα· τοῦ γὰρ τοιούτου ἀέρος ἐξερχομένου συστέλλεται ὁ ἀφρὸς εἰς ἐλάττονα ὄγκον· ἄδιψοι δὲ, καὶ ὀλιγόποτοι εἰσὶν οἱ ὄρνιθες διὰ τὸ τὸν πνεύμονα αὐτῶν ὀλίγαιμον εἶναι· καὶ διὰ τοῦτο ψυχρόν. τοῦτο δὲ αἴτιον καὶ τοῦ, τοὺς ὄρνιθας πολὺν χρόνον ὑπὸ τὸ ὕδωρ εἶναι· ξηρὸς γὰρ ἂν διὰ τὴν ὀλιγαιμίαν, καὶ σομφὸς ὁ πνεύμων αὐτῶν, καὶ διὰ μὲν τὴν ὀλιγαιμίαν, ὡς εἴρηται, ψυχρός. διὰ δὲ τὴν σομφότητα πολὺν ἔχων ἀέρα, ἱκανῶς ἐμψύχεται ὑπ' αὐτοῦ· καὶ διὰ τοῦτο οὐ δεῖται τοῦ θύραθεν ἀέρος· τοιούτου δὲ μὴ δεόμενα, οὐδὲ σπεύδει γενέσθαι ἐκτὸς τοῦ ἀέρος. λέγει δὲ, καὶ ὅτι οὐδὲν τῶν ζωοτόκων τρωγλοδυτεῖ· θερμὰ γὰρ ὄντα ὄρθια ἐστί· τὸ δὲ ὄρθιον οὐ δύναται ὑπὸ τὴν τρώγλην εἰσέρχεσθαι, ὥσπερ οἱ σαῦροι· οὗτοι γὰρ, καίπερ ὑπόποδες ὄντες, ὅμως διὰ τὴν τῶν σκελῶν βραχύτητα, καὶ μᾶλλον διὰ τὸ μὴ ὀρθίους εἶναι, οὐκ ἐμποδίζονται εἰσέρχεσθαι, καθάπερ οὐδὲ οἱ ὄφεις. ὅλως μὲν οὖν ὁ πνεύμων ἐστὶν χάριν τοῦ ἀναπνεῖν· τὸ δὲ [Γένους τινός,] πρόσκειται. διότι οὐ πάντα ἀναπνεῖ· ἔστι δὲ ὁ πνεύμων, καὶ αἵμος, καὶ [Τοιοῦτος.] τουτέστι καὶ ἔχων αἷμα· τινῶν μὲν γὰρ ὁ πνεύμων ἔχει αἷμα· τινῶν δὲ ἔχει μὲν, ἀλλὰ πάμπαν ὀλίγον, ὥσπερ ὁ τῶν ὀρνίθων· τοὺς γὰρ ὀλιγαίμους πνεύμονας εἶναι καὶ ἀναίμους· τοῦ δὲ σπληνὸς παραπλησίαν ἔχοντος τὴν φύσιν τῷ ἥπατι, τοῖς μὲν δοκεῖ τὸ ἧπαρ μονοφυὲς εἶναι· τοῖς δὲ διφυές. ᾗ μὲν διαφέρει σπληνός, ταύτῃ δόξειεν ἂν μονοφυὲς· ᾗ δὲ κοινωνεῖ αὐτῷ, ταύτῃ διφυές. αἴτιον δὲ τοῦ διφυὲς εἶναι δοκεῖν καὶ μονοφυές. τό, τε διφυῆ μὲν εἶναι τὴν τοῦ σώματος φύσιν, συντελοῦσαν δὲ πρὸς μίαν ἀρχήν. λέγων δὲ πάλιν ἀρχήν, ἢ τὴν καρδίαν, ἢ τὴν ἐν αὐτῇ ψυχήν. ὡς μὲν οὖν διφυὲς τὸ σῶμα δοκεῖ καὶ τὸ ἧπαρ διφυὲς εἶναι. ὡς δὲ συντελοῦν πρὸς μίαν ἀρχήν, ταύτῃ πάλιν μονοφυὲς δόξειεν ἂν εἶναι. τὰ δὲ ἑξῆς σαφῆ. τὸ δὲ. [Ἐνίοις δὲ κἀκεῖ.] τὸ κἀκεῖ, ἀντὶ τοῦ τοῖς ᾠοτόκοις. κἀκεῖ δὴ ἐν τοῖς ᾠοτόκοις ἐπιδήλως διέστηκε τὸ ἧπαρ, ὥσπερ ἐν τοῖς ζωοτόκοις ἐπιδήλως διέστηκε τὸ ἧπαρ, ὥσπερ καὶ ἐν τοῖς ζωοτόκοις. πάντα δέ φησι τὰ κάτω τοῦ ὑποζώματος σπλάγχνα, χάριν τῶν φλεβῶν εἰσί· μετεώροις γὰρ οὔσαις ὑπέστρωσεν αὐταῖς ἡ φύσις τὰ σπλάγχνα, ἵνα ἀνέχωσιν αὐτάς· ὥσπερ γὰρ ἀγκύρας τινάς, καὶ βοηθείας τῶν φλεβῶν, πεποίηκεν αὐτὰς ἡ φύσις, ἵνα μὴ τέμνωνται ὑπὸ τὸ

τῶν ἀνεχόμεναι. βέβληνται δὲ ὑπ᾽ αὐτὰς τὰ σπλάγχνα. [Διὰ τῶν ὑποτεταμένων μορίων] τουτέστι διὰ τὰ ὑποτεταμένα μόρια. λέγων ὑποτεταμένα μόρια, τὰς ἀπὸ τῶν μεγάλων φλεβῶν σχιζομένας φλέβας. καὶ πῶς αἱ τοιαῦται φλέβες τέτανται λέγει. ὅτι ἀπὸ τῆς μεγάλης ἀρχόμεναι φλεβὸς, τείνουσι πρός τε τὸ ἧπαρ καὶ τὸν σπλῆνα· προσλαμβάνουσι γὰρ καὶ ἑαυτοῖς τό, τε ἧπαρ, καὶ ὁ σπλὴν. συμφύουσιν οὖν τὴν ἤτοι τὴν μεγάλην φλέβα, διὰ μέσων τῶν λοιπῶν σπλάγχνων· ὥσπερ γὰρ εἰ ἐοίσει τις δύο ἄνδρας ἱσταμένους· τὸν μὲν, πρὸς τῇ ἀρχῇ τοῦ καμπτῆρος· τὸν δὲ, πρὸς τῷ τέλει, κατέχοντας ἐν ταῖς χερσὶν ἑνὸς σχοινίου τὰ ἄκρα καὶ τείνοντας αὐτό. μεταξὺ δὲ τῶν δύο τούτων ἀνδρῶν, ἄλλους ἐπὶ εὐθείας ἱσταμένους, καὶ ἀνέχοντας τὸ τοιοῦτον σχοινίον διὰ τῶν ὤμων. ἀλλ᾽ ἔστω καὶ τοῦτο ὅτι ὁ πρὸς τῇ ἀρχῇ τοῦ καμπτῆρος ἱστάμενος δέδωκε τῷ μετ᾽ αὐτὸν τὸ ἄκρον τοῦ σχοινίου, κἀκεῖνος τῷ μετ᾽ ἐκεῖνον καὶ οὕτως ἐφεξῆς, ἕως τοῦ ἱσταμένου πρὸς τῷ πέρατι τοῦ καμπτῆρος, καὶ εἰ τοῦτο γένοιτο, δυνάμεθα λέγειν, ὅτι προσλαμβάνουσιν οἱ ἄνδρες τὰ τοῦ σχοινίου ἄκρα, διὰ τῶν μεταξὺ ἀνδρῶν. τοιοῦτον τι καὶ ἐνταῦθα γίνεται καὶ προσλαμβάνουσι [Τῇ συστάσει τῶν ζώων] ἤτοι πρὸς σύστασιν τῶν ζώων. [ταῦτα οὖν.] λέγων ταῦτα τό, τε προσλαμβάνεσθαι τὴν φλέβα διὰ τῶν σπλάγχνων εἰς τὸ ἧπαρ καὶ τοὺς νεφρούς. ταῦτα οὖν γίνεται διὰ μέσων τῶν σπλάγχνων πρὸς σύστασιν τῶν ζώων. λέγει δὲ ὅτι καὶ ἡ καρδία ἀναγκαία ἐστὶ τοῖς ζώοις. δεῖ γὰρ αὐτὴν εἶναι οἷον ἑστίαν καὶ οἴκημα καὶ τὸ ὅλον ἀκρόπολιν, ἐν ᾗ ὥσπερ τις βασιλεὺς, κείσεται τὸ τῆς φύσεως ζωπυροῦν. τοῦτο δ᾽ ἂν εἴη, ἢ τὸ ἔμφυτον θερμὸν, ἢ ἡ αἰσθητικὴ ψυχή· ὁ δὲ σπλὴν φησὶ, κατὰ συμβεβηκὸς ἐξ ἀνάγκης ὑπάρχει τοῖς ἔχουσιν, ὥσπερ καὶ τὰ περιττώματα· ὡς γὰρ οὐκ ἔχει σκοπὸν ἡ φύσις περίττωμα ποιῆσαι, ἀλλ᾽ ἐξ ἀνάγκης γίνεται τοῦτο, διὰ τὸ μὴ δύνασθαι ἅπασαν τὴν ξηρὰν, καὶ ὑγρὰν τροφὴν πεφθῆναι. καὶ γίνεται μὲν ἐξ ἀνάγκης διὰ τὴν ὕλην· κατὰ συμβεβηκὸς δὲ, ὅτι μὴ ἔχει σκοπὸν ἡ φύσις περίττωμα ποιῆσαι. οὕτω καὶ ἐπὶ τοῦ σπληνός· οὗτος γὰρ αὐτὸς ποιῶν, καὶ ἕλκων εἰς ἑαυτὸν τὰς περιττευούσας ἰκμάδας ἐκ τῆς κοιλίας. καὶ συμπέττων, αἱματώδης ὤν, ζωογονίζει τε, καὶ ἐστιν· ὥστε διὰ μὲν τὴν τοιαύτην ἰκμάδα ἐξ ἀνάγκης ἐστίν. διὰ τὸ μὴ σκοπὸν ἔχειν σπλῆνα ποιῆσαι, κατὰ συμβεβηκὸς ἐνυπάρχει τοῖς ἔχουσιν. εἰ μὲν οὖν σύμμετρός ἐστιν ἡ τοιαύτη ἰκμὰς, ὥστε δύνασθαι ὑπὸ τῆς τοῦ σπληνὸς θερμότητος συμπέττεσθαι, ὑγιεινὰ καὶ εὔχροα τὰ σώματα τυγχάνει· ἂν δὲ τὸ περίττωμα πλέον ᾖ, καὶ νικῶν τὴν τοῦ σπληνὸς θερμότητα, νοσώδη τε καὶ ὠχρὰ τὰ σώματα γίνεται, πληρωθέντα τροφῆς. καὶ διὰ τὸ τὴν τοιαύτην ὑγρότητα πρὸς τὸν σπλῆνα ἐκ τῆς κοιλίας ἕλκεσθαι, καὶ παλίρροιαν πρὸς αὐτὸν γίνεσθαι, σκληραὶ καὶ λιθώδεις τοῖς σπληνιῶσιν αἱ κοιλίαι γίνονται. ὥσπερ καὶ τοῖς λίαν οὐρητικοῖς. λέγει λίαν οὐρητικοῖς, ὧν ἐν τῇ κύστει πολὺ τὸ περίττωμα συναθροίζεται· καὶ ἐν τούτοις γὰρ, ὥσπερ καὶ τοῖς σπληνιῶσι, πολὺ τὸ ὑγρὸν ἐκ τῆς κοιλίας διὰ μέσων τῶν νεφρῶν, ὡς ἐρεῖ, ἀντισπᾶται. οἷς δὲ οὐ γίνεται πολλὴ ἡ περίττωσις, ἐξ ἧς ὁ σπλὴν συνίσταται καὶ τὸ εἶναι ἔχει τοῖς μὲν, οὐ μέγας ἐστὶν ὁ σπλὴν· τοῖς δὲ, μικρότατος. ὅπερ ἐδήλωσε διὰ τοῦ εἰπεῖν, [σημείου χάριν.] ἀλλὰ καὶ ἐν τοῖς τετράποσι τοῖς ᾠοτόκοις, μικρὸς καὶ στιφρός ἐστιν. λέγων στιφρὸν, τὸ μανὸν, καὶ ξηρόν. ὥσπερ ἐστὶν ὁ μὴ βεβρεγμένος σπόγγος. ἐπεὶ δὲ ὁ σπλὴν ἐκ τῆς ὑγρότητος τρέφεται, ὡς εἴρηται· τὰ δὲ ἔχοντα τὸν πνεύμονα σομφὸν, καὶ ὀλίγαιμον, ὀλιγοποτεῖ. τὰ δὲ ὀλιγοποτοῦντα, ἔνδειαν ἔχει ὑγρότητος διὰ ταύτην τὴν αἰτίαν, τὰ τὸν πνεύμονα σομφὸν ἔχοντα, ἔχει τὸν σπλῆνα μικρόν. ὀλιγοποτεῖ δὲ τὰ ἔχοντα τὸν πνεύμονα σομφὸν, διὰ τὸ ὀλίγαιμον καὶ οἱονεὶ κενὸν εἶναι· τὸ δὲ ὀλίγαιμον, ψυχρόν ἐστιν. ἡ δὲ δίψα γίνεται διὰ τὴν τοῦ πνεύμονος θερμότητα. εἰ δὲ καὶ συμβαίη γίνεσθαι τοῖς ὀλιγοποτοῦσι περίττωμα ὑγροῦ εἰς τὴν τῶν λεπίδων σύστασιν τὸ τοιοῦτον ἀναλίσκεται. οἷς δὲ ἔνεστι κύστις, καὶ ὁ πνεύμων ἔναιμος, τούτων ὁ σπλὴν ὑγρός ἐστι διὰ τὴν εἰρημένην αἰτίαν, καὶ διὰ τὸ τὴν φύσιν τῶν ἀριστερῶν ὑγροτέραν εἶναι καὶ ψυχροτέραν· ἔδει γὰρ τὸν σπλῆνα, ὑγρὸν ὄντα καὶ ψυ-

χρὸν κεῖσθαι πρὸς τὸ ὑγρὸν καὶ ψυχρὸν μέρος καὶ ὁ μὲν σπλὴν, ὥσπερ εἴρηται, κατὰ συμβεβηκὸς ἐστίν. οἱ δὲ νεφροὶ οὐχ οὕτως, ἀλλὰ τοῦ εὖ καὶ καλῶς ἕνεκεν δι' αὐτῶν εἰς τὴν κύστιν συναθροίζεσθαι τὴν τῆς ὑγρᾶς τροφῆς περίττωσιν. τὸ δὲ [Κατὰ τὴν ἰδίαν φύσιν] ἴσον ἐστὶ τῷ χάριν τῆς περιττώσεως ταύτης γέγονεν ἡ τῶν νεφρῶν φύσις. σαφῆ δὲ ἃ λέγει περὶ κύστεως, πλὴν ἐνίων. αὐτίκα δεῖται ἐπιστάσεως τό. τοῖς ἔχουσι τὸν πνεύμονα ἔναιμον καὶ μέγαν, τούτοις ἀποδέδωκε κύστιν δὴ τὴν τοιαύτην αἰτίαν· ἀνάγκη γὰρ μεγάλου ὄντος καὶ ἐναίμου τοῦ πνεύμονος, θερμὸν αὐτὸν εἶναι. θερμοῦ δὲ τούτου ὄντος ἀνάγκη διψητικώτατα τὰ τοιαῦτα ἔχοντα εἶναι. διψητικὰ δὲ ὄντα, ἀνάγκη δι' ἃς αἰτίας αὐτὸς σαφῶς λέγει, κύστιν ἔχειν. ὅσα δὲ τὸν πνεύμονα ἔχει σομφὸν καὶ πλήρη ἀέρος, ἀλλ' οὐχ αἵματος· τὸ γὰρ πλῆρες αἵματος οὐ σομφόν. ὅσα οὖν σομφὸν ἔχει τὸν πνεύμονα καὶ δὴ τοιοῦτο ψυχρὸν, ὀλιγόποτά ἐστι καὶ ἄδιψα. σαφῆ δὲ τὰ ἑξῆς. ἐν δὲ τῇ λέξει τῇ [Διὰ τὸ διασπεῖσθαι εἰς ταῦτα τὸ περιγινόμενον τοῦ περιττώματος.] εἰς ταῦτα λέγει, τὰς φολίδας καὶ τὰς λεπίδας. λέγει δὲ μὴ ἔχειν κύστιν ὅσα φολίδας ἔχει, πλὴν τῶν χελωνῶν· αἱ γὰρ χελῶναι, καίπερ οὖσαι φολιδωταὶ, ἔχουσι κύστιν. αἴτιον δ' ὅτι αἱ μὲν θαλάττιαι χελῶναι ἔχουσι τὸν πνεύμονα σαρκώδη καὶ ἔναιμον· καὶ δὴ τοιοῦτο θερμὸν καὶ διὰ τοῦτο, διψητικώτατον· αἱ δὲ χερσαῖαι, μείζω τῆς ἀναλογίας, τοῦ ὅλου σώματος αὐτῶν, καὶ δὴ τοιοῦτο καὶ θερμόν· μείζων γὰρ ὢν τῇ ἀναλογίᾳ, νικᾷ καὶ ἡ ἐν αὐτῷ θερμότης. διά τοι τοῦτο καὶ αἱ κύστεις τῶν θαλαττίων χελωνῶν, μείζους εἰσίν· τῶν δὲ χερσαίων, σμικρόταται. ἀλλ' οὐδὲ νεφροὺς οὐδὲν ἔχει τῶν φολιδωτῶν ἢ λεπιδωτῶν, πλὴν τῶν εἰρημένων χελωνῶν. ἐν τισὶ δέ φησι τῶν ὀρνίθων νεφροὶ μὲν οὐχ ὑπάρχουσιν, ἀλλὰ σαρκία πλατέα εἰς πολλὰ διεσπαρμένα, νεφροειδῆ ὄντα εὑρίσκεται· ἅπερ πλατέα καὶ νεφροειδῆ ἔχουσιν ἀντὶ νεφρῶν· τούτων γάρ ἐστι δηλωτικὸν τὸ [Ἀλλ' ὡς τῆς εἰς τοὺς νεφροὺς τεταγμένης σαρκὸς οὐκ ἐχούσης χώραν] καὶ τὸ ἑξῆς. εἴη δ' ἂν τὸ τῆς λέξεως κατάλληλον τοιοῦτον, ἀλλ' ἐν ἐνίοις τῶν ὀρνίθων οὐκ ἐχούσης χώραν τῆς σαρκὸς, τῆς εἰς τοὺς νεφροὺς τεταγμένης, τουτέστι μὴ δυνηθείσης συστῆναι καὶ εἰς ἕν τι συναθροισθῆναι τῆς σαρκὸς, τῆς εἰς γένεσιν νεφρῶν ὑπὸ τῆς φύσεως δημιουργουμένης, ἀλλὰ τῇδε κἀκεῖσε διασπαρείσης, καὶ εἰς πλείονα μέρη κατακερματισθείσης, ἀντὶ νεφρῶν ἔν τισιν αὐτῶν εὑρίσκεται πλατέα νεφροειδῆ. σαφῆ δὲ τὰ ἑξῆς, λέγει δὲ καὶ τοὺς νεφροὺς πάντων εἶναι κοίλους, τοὺς μὲν μᾶλλον· τοὺς δ' ἧττον, πλὴν τῆς φώκης. τούτης δέ φησι στερεωτάτους εἶναι καὶ ναστοὺς, καὶ μὴ ἔχοντας κοιλότητα ἢ κενὸν συγγενοῦς σώματος. λέγει δὲ καὶ τὸν πόρον, τὸν ἀπὸ τῆς φλεβὸς πρὸς τοὺς νεφροὺς φέροντα, μὴ τελευτᾶν ἔσωθεν εἰς τὸ κοῖλον τῶν νεφρῶν. ἀλλὰ μέχρι τῆς κυρτῆς περιφερείας αὐτῶν ἐρχόμενον, ἐν ταύτῃ καταναλίσκεσθαι. σημεῖον δὲ τοῦ μὴ ἄχρι τοῦ κοίλου φέρεσθαι τὸν πόρον, τὸ μὴ γίνεσθαι αἷμα ἐν τῷ τῶν νεφρῶν κοίλῳ. ὥσπερ εἰ ὁ τῆς φλεβὸς πόρος ἐκεῖσε ἐτελεύτα, ἦν ἂν αἷμα ἐν αὐτῷ. νῦν δὲ τελευτησάντων, καὶ ἀποθανόντων τῶν ζώων, οὐχ εὑρίσκεται. ἀπὸ δὲ τῆς κοιλότητος ἑκάστου τῶν νεφρῶν, εἷς φέρεται πόρος πρὸς τὴν κύστιν. ὥστε ἐπεὶ δύο οἱ νεφροί· ἀφ' ἑκάστου δὲ τούτων εἷς φέρεται πόρος πρὸς τὴν κύστιν, δῆλον ὅτι καὶ οἱ πόροι δύο εἰσὶν, καὶ οὐ πλείους. ἔχει δὲ ταῦτα οὕτω δὴ ταύτην τὴν αἰτίαν. ὅπως ἀπὸ μὲν τῆς φλεβὸς βαδίζει τὸ περίττωμα εἰς τὴν τῶν νεφρῶν κυρτὴν περιφέρειαν· ἐνταῦθα γὰρ ἡ φλὲψ, ὡς εἴρηται, τελευτᾷ. ἐνταῦθα δὲ γινόμενον τὸ περίττωμα, καὶ δὴ τὴν τῆς τῶν νεφρῶν σαρκὸς μανότητα διηθηθὲν καὶ εἰς τὸ κοῖλον συρρέει, ἀπὸ τοῦ τοιούτου κοίλου εἰς τὴν κύστιν φέρεται, διὰ τῶν εἰρημένων πόρων. ἡ δὲ κύστις [Καθώρμισται] τουτέστιν ἀπηώρηται ἐκ τῶν νεφρῶν. κεῖται δὲ ὁ δεξιὸς νεφρὸς ἀνωτέρω τοῦ ἀριστεροῦ, διὰ τὸ τὴν κίνησιν ἐκ τῶν δεξιῶν εἶναι. ὥστε εἴπερ ἕλκοιτο τὰ ἐν τοῖς δεξιοῖς σπλάγχνα κάτω, βάρος ἂν παρεῖχε καὶ ἐνεπόδιζε τὰ ἄρχοντα τῆς κινήσεως. σαφῆ δὲ τὰ περὶ τῶν νεφρῶν. εἰπὼν δὲ πῶς διὰ τὴν ὕλην πιμελώδεις ἢ στεατώδεις γίνονται, ἐπάγει ὅτι πιμελώδεις, καὶ στεατώδεις γίνονται ἐκ τῶν συμβαινόντων ἐξ ἀνάγκης. λέγων ἀνάγκην, τὴν ὕλην. διὰ μὲν τὴν ὕλην.

εἰσὶ τοιοῦτοι, ἀλλὰ καὶ διὰ τὸ εὖ: κείμενοι γὰρ κάτωθεν τοῦ νώτου, καὶ πρὸς τῇ ὀσφύϊ, καὶ δεόμενοι ἀλέας διὰ τὴν τῆς ὀσφύος ἀσαρκίαν, καὶ τὴν ἐκ τῆς ἀσαρκίας ἐπιγινομένην ψυχρότητα, χρεία πιμελῆς τοῖς νεφροῖς: ἵνα θερμαίνωνται ὑπ' αὐτῆς: οἱ δὲ νεφροὶ φησὶ τῶν προβάτων κἂν πάνυ πίονες ὦσιν, ἐλλείπει τι ἐν αὐτοῖς: εὑρίσκεται γάρ τινα διαλείμματα ἐν αὐτοῖς, ἔνθα οὐ κεῖται πιμελή, ἀλλ' εἰσὶν ἀπίμελα. λέγει δὲ καὶ διατί μέγα τὰ πρόβατα θνήσκει, ἐπειδ' ἂν οἱ νεφροὶ αὐτῶν πιμελώδεις γένωνται, καὶ φησὶν ὅτι τὰ πιμελώδη οὐκ ἀποθνήσκουσι διὰ τὸ ὑγρὸν καὶ ἀραιὸν εἶναι τὸ πῖον, καὶ διὰ τοῦτο μὴ κωλύον ἐξέρχεσθαι τὸ ἐν τοῖς νεφροῖς ζωννύμενον πνεῦμα: αἱ δ' αἶγες στεατώδεις μὲν ἔχουσι τὸ πῖον, ὥσπερ καὶ τὰ πρόβατα, ἀλλ' οὐχ ὁμοίως πυκνόν: λίαν γάρ ἐστι πυκνότατον τὸ τῶν προβάτων. τὸ δὲ διάζωμα λέγει κεῖσθαι μεταξὺ τῆς καρδίας καὶ τῆς κοιλίας, ἵνα κωλύῃ τὰ ἀνιόντα ἐκ τῆς κοιλίας πνεύματα, καὶ μὴ ἐᾷ προσβάλλειν τῇ καρδίᾳ, καὶ ταράττειν τὴν ἐν αὐτῇ ψυχήν. λέγει δὲ καὶ ὅτι ἄνω ἐκεῖνο λέγομεν, οὗ χάριν ἐστὶ τὰ κάτω: διὰ γὰρ τὸ ἄνω, τὰ κάτω. κάτω δ' ἐστὶν τὸ ἕνεκεν τοῦ ἄνω ὑπάρχον. ἔστι δὲ τοῦτο τὸ δεχόμενον τὴν τροφήν: τὸ γὰρ δεκτικὸν τῆς τροφῆς ἐκεῖνο ἐστὶ τὸ κάτω καὶ ἀναγκαῖον διὰ τὴν τροφήν: ὅτι δὲ αἱ φρένες διὰ τὸ κωλύειν τὴν ἀπὸ τῆς κοιλίας ἀνιοῦσαν θερμότητα γεγόνασιν, σημεῖον τὸ συμβαῖνον: ὅταν γὰρ αὗται διὰ τὴν γειτνίασιν, ἣν ἔχουσι πρὸς τὴν κοιλίαν, ἑλκύσωσιν ἀπ' αὐτῆς θερμότητα, εὐθὺς τῇ καρδίᾳ μεταδιδοῦσαι, ταράττουσι τὴν διάνοιαν: ὅπερ ἐπὶ τῶν μεθυόντων ἔστιν ἰδεῖν. σαρκώδη δὲ λέγει εἶναι τὰ τῶν φρενῶν μέρη, τὰ πρὸς ταῖς πλευραῖς ὄντα, ὅτι καὶ αἱ πλευραὶ σαρκώδεις, ἐξ ὧν αἱ φρένες τὴν ἀρχὴν ἔχουσιν. τὸ δὲ μᾶλλον πλησιάζον τῷ θερμοῦ γίγνεσθαι, ἀνάγκη μᾶλλον κοινωνεῖν ἐκείνῳ. ὅτι δὲ αἱ φρένες θερμαινόμεναι μεταδιδόασι τῇ αἰσθητικῇ ψυχῇ τοῦ τοιούτου πάθους, σημεῖον καὶ τὸ περὶ τὸν γέλωτα συμβαῖνον: ὅταν γάρ τις γαργαλίσῃ καὶ κινήσῃ τὴν μασχάλην, εὐθὺς θερμαίνονται ὑπὸ τῆς τοιαύτης κινήσεως αἱ φρένες, διὰ τὸ ἔχεσθαι τῶν μασχαλῶν: ἡ δὲ ἀπὸ τοῦ γαργαλισμοῦ γινομένη θερμότης, ἐπεὶ οἶδε, διαχεῖ τὴν ἐν τῇ καρδίᾳ θερμότητα, καὶ ποιεῖ τὴν διάνοιαν κινεῖσθαι. ἡ δὲ τοιαύτη κίνησις, γέλως. ἔστι δὲ γέλως κίνησις παρὰ τὴν προαίρεσιν. ἰστέον δὲ, ὅτι τὸ ἐκ τῆς κοιλίας ἀνιὸν, θερμὸν ὂν καὶ ὑγρὸν, ἐπιθολοῖ μᾶλλον τὸ ἐν τῇ καρδίᾳ θερμόν. τὸ δὲ θερμὸν, καὶ ξηρὸν διὰ τὴν ξηρότητα, λεπτύνει καὶ διαχεῖ. μόνος δὲ ὁ ἄνθρωπος γαργαλίζεται, διὰ τὴν τοῦ δέρματος λεπτότητα, καὶ διὰ τὸ γελᾶν: οὐ γὰρ γελᾷ καὶ τὰ ἄλλα, ἵνα νοήσωμεν εἰ γαργαλίζεται: σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ τὸ τοῦ Ὁμήρου ἔπος τινὰς φθεγγομένη γράφειν διὰ τοῦ ἦτα, ἀλλ' οὐ φθεγγομένου διὰ τῆς ου διφθόγγου, ἵν' ᾖ κατ' ἐκείνους τὸ λεγόμενον ὅτι καὶ ἀποκοπεῖσα ἡ κεφαλὴ, φθεγγομένη ἦν, ἀλλ' οὐχὶ φθεγγομένου τοῦ ἀνθρώπου ἀπεκόπη ἡ κεφαλή. ἔτι δὲ φησὶ διατί, καὶ τὰ ἄλλα ζῷα ἀποτεμνόμενα τὴν κεφαλὴν, οὐ φθέγγεται αὐτῶν ἡ κεφαλὴ, ὡς πέφυκε φθέγγεσθαι. λέγει δὲ καὶ τὰ σπλάγχνα ὅμοια εἶναι ἀλλήλοις, διὰ τὸ εἶναι πάντα αἱματικά: ὅμοιος γὰρ ὁ σπλὴν τῷ ἥπατι: γεγόνασι δὲ τὰ σπλάγχνα ἐντός. ὅτι καὶ αἱ φλέβες, ἐξ ὧν τὰ σπλάγχνα, ἐντός εἰσι. λέγει δὲ καὶ ἔνια τῶν ζωοτικῶν μὴ ἔχειν χολὴν διὰ τὴν τοῦ ἥπατος θερμότητα: αὐτὸ γὰρ ἐκπέπτει καὶ διὰ τοῦτο εὔκρατα τούτων ἀποτελοῦνται τὰ σώματα, οὐ διδῶσι χώραν τοῦ συστῆναι φαύλην περίττωσιν, ἀφ' ἧς ἂν γένοιτο χολή. λέγει δὲ διαφέρειν τὰ σπλάγχνα πρὸς τὴν σάρκα, οὐ μόνον τῷ ὄγκῳ ἤτοι τῷ πάχει, ἀλλὰ καὶ τῇ θέσει. τὰ μὲν γὰρ σπλάγχνα ἐντὸς κεῖται, ὅτι καὶ αἱ φλέβες, ἀφ' ὧν τὰ σπλάγχνα. ἡ δὲ σὰρξ ἐκτός: μεταξὺ γὰρ τοῦ θώρακος ἐν ᾧ κεῖται τὰ σπλάγχνα, σὰρξ οὐκ ἔστιν. καὶ τινὰ μὲν τῶν σπλάγχνων, ὡς εἴρηται, χάριν τῶν φλεβῶν εἰσίν: αὐτὰ δὲ φλέβας οὐκ ἔχει, ὥσπερ τὸ ἐπίπλοον: τινὰ δὲ οὐκ ἄνευ φλεβῶν. καὶ ταλέγει δὲ καὶ τινά ἐστιν τὰ μονοκοίλια, μεθ' ὧν ἐστὶ καὶ τὰ δίχηλα καὶ ἀμφώδοντα. οἷον ἐστὶν ὁ χοῖρος, ὗς πλὴξ. πολλάκις δὲ φησὶ τινὰ τῶν ζῴων διὰ τὸ μέγιστα εἶναι καὶ ἐσθίειν τροφὴν ἀκανθώδη.

καὶ ξυλώδη· ῥίζας γὰρ δένδρων, καὶ φλοιοὺς, καὶ κλάδους ἐσθίουσι. τοιαύτην οὖν ἐσθίοντα τροφὴν δύσπεπτον, ἔχουσιν ἐξ ἀνάγκης πλείους κοιλίας, ἵνα κατεργάζηται διὰ τούτων ἡ τροφή. πάντα δὲ τὰ κερατοφόρα, μὴ ἀμφώδοντα· καὶ τὰ μὴ ἀμφώδοντα, κερατοφόρα καὶ ἔχει ταῦτα πλείους κοιλίας, δι' ἃς μετ' ὀλίγον ἐρεῖ αἰτίας. ἡ δὲ κάμηλος καίπερ οὖσα μὴ ἀμφώδους, κέρατα μὲν οὐκ ἔχει· ἔχει δὲ κοιλίας πλείους ὁμοίως τοῖς μὴ ἀμφώδουσι διὰ τὸ δύσπεπτον τῆς τροφῆς ἐξ ἧς τρέφεται. ἄλλως τε καὶ ἐπειδὴ ἡ τῆς καμήλου τροφὴ ἀκανθώδης ἐστὶν, ἀνάγκη δὲ διὰ τὰς ἀκάνθας σκληρὰν καὶ σαρκώδη τὴν γλῶτταν ἔχειν. ὁμοίως δὲ καὶ τὸν οὐρανὸν τῇ σκληρότητι τῆς τοιαύτης γλώττης καὶ τοῦ οὐρανοῦ κέχρηται, ἀντὶ ὀδόντων. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ [Πρὸς σκληρότητα τοῦ οὐρανοῦ καταχρῆται τῷ ἐκ τῶν ὀδόντων γεώδει ἡ φύσις] ὥστε τὸ μὲν [Πρὸς σκληρότητα] εἴη ἂν ἴσον τῷ, τῇ σκληρότητι τοῦ οὐρανοῦ καὶ προσυπακουστέον οἶμαι καὶ τὸ, καὶ τῆς γλώττης. τὸ δὲ [Τῷ ἐκ τῶν ὀδόντων γεώδει] ἀντὶ τοῦ τῶν ὀδόντων. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ λεγόμενον κατὰ τὴν λέξιν τήν. [Οἱ δὲ τὸν οἰσοφάγον ἔχουσι πλατὺν] τοιοῦτον ἐστιν. πλατὺς ὢν ὁ οἰσοφάγος καὶ εὐρὺς διὰ τὴν εὐρύτητα κοιλαίνεσθαι δυνάμενος, δύναται κατέχειν διὰ τῶν κοιλοτήτων τὰ βρώματα, καὶ πέττεσθαι ἐκεῖσε χρονοτριβοῦντα. οἱ τὸν μὲν οἰσοφάγον πλατὺν οὐκ ἔχουσιν· ἔχουσι δὲ τὴν κοιλίαν ἰσχυρὰν καὶ σαρκώδη, ὥσπερ αἱ χῆνες, καὶ ἄλλα πολλά· ἥτις δι' ἄμφω θερμή ἐστιν διὰ μὲν τὸ σαρκῶδες, ὅτι ἡ σὰρξ θερμή· διὰ δὲ τὸ ἰσχυρὸν καὶ πυκνὸν, ὅτι οὐ δίδωσι χώραν διεξόδου τῷ ἐν αὐτῷ θερμῷ. τοῦ δὲ πρὸς τὸ δύνασθαι πολὺν χρόνον θησαυρίζειν, ἑρμηνευτικὸν ἐπῆκται τὸ [πέττειν] τὸ γὰρ πολὺν χρόνον κατεχόμενον, μᾶλλον πέττεται· τὸ δ' ἐν ὀλίγῳ, ἧττον. ἡ οὖν θερμότης τῆς σαρκώδους καὶ σκληρᾶς κοιλίας, ἀναλαμβάνει, καὶ ἀναπληροῖ τὴν τοῦ σώματος ἔνδειαν. ἄλλα δέ τινα οὔτε κοιλίαν ἔχει, οὔτέ τινα ἐν τῇ κοιλίᾳ ἐπανεστηκότα μόρια καὶ ἐοικότα τοῖς προλόβοις, ἀλλ' ἔχει τὸν πρόλοβον μακρὸν οἷά ἐστι τὰ μακροσκελῆ ὥσπερ γέρανος. εἰσὶ δὲ τῶν μακροσκελῶν τὰ σκέλη λεῖα καὶ παντελῶς ἐστερημένα πτερῶν διὰ τὴν τῆς τροφῆς ὑγρότητα καὶ ψυχρότητα. τοῦτο γὰρ λείπει· ὥσπερ γὰρ τὰ θερμὰ καὶ ὑγρὰ, δασέα· οὕτω τὰ ψυχρὰ καὶ ὑγρὰ, λεῖα. ἔχουσι μὲν οὖν τὰ μακροσκελῆ αὐτὴ κοιλίας καί τινες ἐπανεστηκότος, τὸν πρόλοβον μακρόν· ἡ γὰρ τροφὴ τούτων εὐλέαντος οὖσα. ἐν τέλμασι γὰρ καὶ λίμναις τὰ πλεῖστα διαιτᾶται, οὐ δεῖται χρόνου πρὸς τὸ κατεργασθῆναι· οὐ γάρ ἐστι ξυλώδης ἢ χορτώδης, ἥτις τὴν δυσκατεργάστων. καὶ διὰ τὸ τὴν τροφὴν αὐτῶν εἶναι ὑγρὰν καὶ τελματώδη, συμβαίνει τὰς κοιλίας αὐτῶν εἶναι ὑγρὰς καὶ διὰ τὴν ἀπεψίαν, καὶ ᾗ μὲν εὐλέαντος ἐστιν ἡ τροφὴ, ταύτῃ εὐκατέργαστος καὶ εὔπεπτος ἐστίν· ᾗ δὲ πολλῇ ταύτῃ χρῶνται, ταύτῃ ἀπεπτοῦσι, καὶ ἔχουσιν ὑγρὰς τὰς κοιλίας. τὸ δὲ τῶν ἰχθύων γένος, ἅπαν καὶ ἀμφῶδουν καὶ καρχαρόδουν ἐστὶ, πλὴν τοῦ σκάρου· οὗτος γὰρ διὰ τὸ μὴ ἀμφώδους εἶναι, οὐδὲ καρχαρόδους ἐστί· μὴ ὄντων γὰρ τῶν ἄνω ὀδόντων, πῶς ἂν ἐπάλλαξις γένηται. ἵν' ᾖ καὶ καρχαρόδους. ὥστε διὰ τὸ μὴ ἀμφόδοντα εἶναι, καὶ διὰ τοῦτο μὴ δὲ καρχαρόδοντα τὸν σκάρον, ἀνάγκη αὐτὸν μηρυκάζειν· πᾶν γὰρ μὴ ἀμφῶδουν, μηρυκάζει. [Αποφυάδας] δὲ λέγει τὰ ἐπανεστηκότα ἐν ταῖς κοιλίαις, καὶ προλόβοις ἐοικότα. ἐν δὲ τῇ λέξει τῇ, [Αλλ' ἄπεπτα διαχωρεῖν] τὸ ἀλλὰ, ἀντὶ τοῦ καὶ συνδέσμου εἴρηται. ἐν δὲ τῇ. [Καὶ τινὰς ἔχουσι μετρίας πλάνας τὸ, πλάνας ἀντὶ τοῦ ἕλικας κεῖται. δύναται γὰρ αἱ ἕλικες διὰ τὴν ποικίλην καὶ κεκλασμένην αὐτῶν θέσιν, κατέχειν τὴν τροφὴν, ὥσπερ πάλιν τὰ ἐοικότα εὐθείαις γραμμαῖς μὴ κατέχειν. τοῦτο δὲ μόριον λέγει τὸ ἔντερον. κατὰ δὲ τὴν λέξιν τήν [Πάντα γὰρ ὡς εἰπεῖν, μεγάλα τὰ κερατοφόρα διὰ τὴν κατεργασίαν τῆς τροφῆς] λείπει τὸ, ἔχει τὰ ἔντερα, εἰ μὴ τὸ πλῆρες τοιοῦτον. πάντα γὰρ τὰ κερατοφόρα, μεγάλα ἔχει τὰ ἔντερα, διὰ τὴν κατεργασίαν τῆς τροφῆς. τὸ γὰρ μέγα καὶ εὐρύτατον, δύναται κοιλαίνεσθαι. τὸ δὲ κοιλαινόμενον, δύναται ἐν ταῖς κοιλότησι συνέχειν τὴν τροφήν. ἀλλὰ καὶ πᾶσι

τοῖς μὴ εὐθυντέροις, εὐρύτατον γίνεται τὸ ἔντερον· ἐξ ἀρχῆς μὲν γὰρ στενόν ἐστιν· ὅσον δὲ κάτεισι, τοσοῦτον εὐρύνεται. λέγει δὲ καλεῖσθαι ἀρχὸν, τὸ εὐθὺ πρὸς τὴν ἔξοδον διατεῖνον τοῦ περιττώματος· εὐρύνεται δὲ [Τοῖς εὐχιλωτέροις,] τουτέστιν εὐπεπτοτέροις· χιλὸς γὰρ ἡ τροφή. εὐρύνεται οὖν τοῖς εὐχιλωτέροις καὶ εὐπεπτωτέροις καὶ δι' αὐτὸ εὐτραφεστέροις, τὸ ἔντερον· ἵνα κατεχόμενον τὸ περίττωμα ἵσταται ἐν ταῖς διὰ τὴν εὐρυχωρίαν αὐτοῦ γινομέναις κοιλότησι, καὶ μὴ τάχιον ὑπεξερχόμενον πεινῇ. [Εἰς πλῆθος δὲ γαστρίμαργα] λέγει τὰ ἐσθίοντα πάνυ πολλά· ἅπαξ δὲ ἢ δὶς τῆς ἡμέρας. [Εἰς τάχος δὲ γαστρίμαργα,] τὰ πολλάκις τῆς ἡμέρας ἐσθίοντα. ἐν δὲ τῇ λέξει τῇ· [Τοῦτο γὰρ μεταξὺ τῆς ἄνω, ἐν ᾗ ἄπεπτον· καὶ τῆς κάτω, ἐν ᾗ τὸ ἄχρηστον περίττωμα.] τὸ, τοῦτο ἀντὶ τοῦ αὕτη εἴρηται· περὶ γὰρ τῆς νήστιδος ἐστὶν ὁ λόγος αὐτῷ. τοῦτο δὲ δῆλον ἐκ τοῦ ἐπαχθέντος τοῦ, [Γίνεται δ' ἐν πᾶσι μὲν. δήλη δ' ἐν τοῖς μείζοσι καὶ νηστεύουσιν, ἀλλ' οὐκ ἐδηδοκόσιν,] ἀλλὰ πῶς δήλη ἐν τοῖς νηστεύουσι γίνεται, ἢ ἐπειδὴ ἡ ἐν τῇ ἄνω κοιλίᾳ τροφὴ, νεαρά ἐστιν· ἡ ἐν τῇ κάτω δὲ, κοπρώδης· ἡ δὲ ἐν τῇ νήστιδι, ἑτέρα. τούτων ὁρατὴ φαίνεται ὅτι ἑτέρα ἐστὶν ἡ νῆστις, τῆς τε ἄνω καὶ τῆς κάτω κοιλίας. εἰ γὰρ ἦν ἡ αὐτὴ τινὶ τούτων, ἦν ἂν καὶ ἡ ἐν αὐτῇ περίττωσις, ὁμοία τινὶ τῶν ἐν ταύταις περιττώσεων. φαίνεται δὲ ἡ ἐν τῇ νήστιδι περίττωσις ἑτέρα τῶν ἄλλων· ἐπειδὰν νηστεύσωσιν, ὅτι ἡνίκα φάγωσι καὶ πληρωθῶσιν, ἀναμίγνυται ἡ ἐν τῇ ἄνω κοιλίᾳ τροφὴ, μετὰ τῆς ἐν τῇ νήστιδι περιττώσεως, καὶ οὐ γίνεται διάδηλος ἡ ἑτέρα ἐστί· βραχὺς γὰρ ὁ καιρὸς, ἀφ' οὗ ἔφαγε τὸ ζῶον καὶ οὔπω ἐπέφθη, ἵνα φανῇ ἡ ἑτερότης αὐτῆς. σαφῆ δὲ τὰ ἑξῆς ἕως τοῦ τέλους τοῦ βιβλίου.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Δ΄. ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ.

Ἀρχόμενος τοῦ τετάρτου, τῶν περὶ ζώων μορίων, λέγει ὅτι τὰ τετράποδα καὶ ᾠοτόκα τῶν ζώων καὶ τὰ ἄποδα, οἷον οἱ ὄφεις, ὁμοίως ἔχουσι τήν τε κοιλίαν, καὶ τὰ σπλάγχνα, καὶ ἕκαστον τῶν εἰρημένων μορίων· ἡ γὰρ τῶν ὄφεων φύσις, συγγενής ἐστι τοῖς τετράποσι καὶ ᾠοτόκοις· ὅμοιοι γάρ εἰσιν οἱ ὄφεις σαύρῳ μακρῷ, εἴ τις αὐτὸν ἄποδα νοήσειε. πάλιν δὲ τοῖς τετράποσι, καὶ ᾠοτόκοις καὶ τοῖς ὄφεσιν ἔχουσιν οἱ ἰχθύες πάντα τὰ σπλάγχνα παραπλήσια. λέγει δὲ καὶ δὴ τοὺς ἰχθύας, ὅτι ἐμφαίνεται λευκότης ἐν τῷ περιττώματι αὐτῶν, τῷ ἐκ τῆς ὑγρᾶς τροφῆς· καθάπερ καὶ ἐν τῷ τῶν ὀρνίθων· τούτου γάρ ἐστι δηλωτικὸν τὸ, [ἐπιλευκαίνει δὲ τὸ περίττωμα πᾶσι καὶ τούτοις] δηλονότι καὶ ἐν τοῖς ἔχουσι κύστιν ὑφίσταται ἡ ἁλμυρὶς, γεώδης οὖσα καὶ λευκή. τὸν αὐτὸν ἔχουσα λόγον, ὅνπερ ἐν ἐκείνοις τὸ ἐμφαινόμενον λευκόν. λέγει δὲ τοὺς ἔχεις διαφέρειν πρὸς τοὺς ὄφεις ὃν τρόπον καὶ οἱ ἰχθύες πρὸς τὰ σελάχη, καὶ τί διαφέρουσιν ἐπάγει. ζῳοτοκοῦσι γὰρ καὶ τὰ σελάχη καὶ οἱ ἔχεις. οἱ δὲ ὄφεις καὶ οἱ ἰχθύες ᾠοτοκοῦσι. σαφῆ δὲ τὰ ἑξῆς. ἃ δὲ ἀντιλέγει πρὸς τὸν Πλάτωνα περὶ χολῆς ἔσται δῆλα, εἰ πρότερον τεθείη τὰ τῷ Πλάτωνι δοκοῦντα. ὁ μὲν δὴ Πλάτων ἐν τῷ ἥπατι εἶναι τὸ ἐπιθυμητικὸν ἔλεγεν, ὅτι τὸ ἐπιθυμητικὸν πρὸς ἡδονὴν καὶ ἄνεσιν ἕλκον τὸ ζῷον, ἐκλύει καὶ παντάπασι φθείρει αὐτό. προνοουμένη οὖν ἡ φύσις τοῦ ζῴου, πεποίηκεν ἐν τῷ ἥπατι τὴν χολὴν, ὅπου τυγχάνει ὂν καὶ τὸ ἐπιθυμητικὸν, ἵνα δριμεῖα οὖσα δάκνῃ τὸ ἧπαρ ἐν ᾧ τὸ ἐπιθυμητικόν. τούτου δὲ δακνομένου πονεῖ τὸ ζῷον. πονοῦν δὲ συσφίγγεται, καὶ σώζεται καὶ ἀπὸ τῆς ἀνέσεως, καὶ τῆς ἐκ ταύτης, καὶ δὴ ταύτην γινομένης φθορᾶς· ἀλλ' ὅταν μὲν φησὶν ὁ Πλάτων δάκνῃ ἡ χολὴ, σώζεται καὶ διεγείρεται τὸ ζῷον· λυομένης δὲ τῆς δήξεως, ἵλεων γίνεται καὶ πρὸς ἄνεσιν περιπετές. ταῦτα τοῦ Πλάτωνος λέγοντος φησὶν ὁ Ἀριστοτέλης, ὅτι πολλὰ τῶν ζῴων ἐπιθυμεῖ μὲν, χολὴν δὲ οὐκ ἔχει τὴν δάκνουσαν, ὥστε οὐ διὰ τοῦτο γέγονεν ἡ χολή. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ καὶ πρὸς Ἀναξαγόραν, ὡς εἴπερ τῆς χολῆς κατὰ τὸ ἀποῤῥαινομένης πρὸς τὸν πνεύμονα καὶ τὰς φλέβας, ἐγίνετο τὰ ὀξέα νοσήματα· μόνα τῶν ζῴων περιπνευμονίαις καὶ τοῖς ὀξέσι νοσήμασι περιέπιπτον, ὅσα ἔχει χολήν. νῦν δὲ πολλὰ τῶν ἀχόλων τούτοις ἁλίσκεται τοῖς νοσήμασιν, ἀλλὰ καὶ πάμπολλα ζῷα ἅμα τῷ θανεῖν, ἀνετμήθη καὶ οὐχ εὑρέθη ἀπόῤῥοιαι χολῆς οὔτε ἐν τῷ πνεύμονι, οὔτε ἐν ταῖς φλεψὶν, οὔτε ἐν ταῖς πλευραῖς. καὶ ἡ ἀπεμουμένη δὲ χολὴ ὑπὸ τῶν νοσούντων πολλαπλάσιος οὖσα τῆς ἐν τῇ χοληδόχῳ κύστει, ἣν οὗτος φησὶν ἀποῤῥαίνεσθαι. πολλαπλάσιος οὖν οὖσα ἡ ἀπεμουμένη τῆς ἐν τῇ χοληδόχῳ κύστει, μαρτυρεῖ ὅτι οὐ γέγονεν ἡ χολὴ πρότερον καὶ ἐναπετέθη ἐν τῇ κύστει, ὅπως ἀποῤῥαίνηται πρὸς τὸν πνεύμονα καὶ τὰς φλέβας, καὶ ἔτι τὰς πλευράς. εἰ γὰρ δὴ οὕτως ἐγίνετο, ἔδει μὴ ἐν ἄλλῳ μορίῳ γίνεσθαι, πλὴν ἐν τῇ εἰρημένῃ κύστει, ἀφ' ἧς οὗτος φησὶν ἀποῤῥαίνεσθαι. ἐπεὶ δὲ πολλαπλάσιος, ὥσπερ εἴρηται, ἡ

του, ἡ ἀπεμουμένη ἐστὶ τῆς ἐν κύστει, δῆλον ἐστὶν ὡς ἡ σὰρξ τοῦ τοιούτου ζώου, ἐπιτηδείως γέγονεν ὑπὸ τῆς νόσου εἰς τὸ μεταβάλλειν εἰς χολὴν, καὶ μεταβαλλούσης καὶ συντηκομένης, καὶ εἰς γένεσιν χολῆς ἀναλυομένης, συμβαίνει ἀπεμεῖσθαι τὸ τοιοῦτον πλῆθος τῆς χολῆς. ταῦτα εἰπών. ἐπάγει πρὸς τὸν Πλάτωνα ἀποτεινόμενος τό. οὐ δὴ ταῦτα γέγονεν ἡ χολή. ὥσπερ φησὶν ὁ Πλάτων δὴ τὸ ζῶον ἀπὸ τῆς ἡδονῆς ἀνεγείρεσθαι καὶ τῆς ἐκ ταύτης αἰσθήσεως, ἀλλ' ὥσπερ ἡ χολὴ, ἡ γινομένη κατὰ τὸ ἄλλο σῶμα, περίττωμά ἐστιν, ἢ σύντηξις, ἢ ἀνάλυσις σαρκὸς εἰς χολὴν διά τινα καχεξίαν, οὕτως καὶ ἡ ἐν τῷ ἥπατι: καὶ ἐπεὶ οὐ πάντα ἕνεκά τινος γίνεται, ἀλλὰ γίνεται καὶ ὡς περιττώματα, οὐ δεῖ περὶ πάντων ζητεῖν τίνος ἕνεκα γίνεται, ἀλλὰ τινῶν ὄντων καὶ τινῶν προηγησαμένων ταῦτα γίνεται. λέγει δὲ τὸ μέρος τοῦ ἥπατος, ὃ περίκειται ἡ χολὴ, γλυκύτατον εἶναι: καὶ τοῦτο εὐλόγως τοῦ γὰρ ἁλμυροῦ ἢ πικροῦ ἢ ὅλως περὶ τὸ γλυκὺ ἑλκομένου ὑπὸ τῆς χολῆς πρὸς ἑαυτὴν, διά τε τὴν συγγένειαν, καὶ τὴν γειτνίασιν, λείπεσθαι τὸ γλυκύτατον, καὶ ἀνόμοιον τῇ χολῇ, ἀνεπίμικτον καὶ καθαρόν. ὅτι δὲ ὅλως ἡ χολὴ, περίττωμά ἐστι, καὶ ἐκ τῶνδε δῆλον. ἐπεὶ γὰρ τῇ τροφῇ ἐναντίον τὸ περίττωμα: τὸ γὰρ μὴ πεφθὲν, μὴ δὲ γενέσθαι δυνηθὲν τροφὴ, περίττωμα. ἐπεὶ οὖν τὸ περίττωμα ἐναντίον τῇ τροφῇ καὶ τῷ γλυκεῖ τὸ πικρόν: ἔστι δὲ ἡ τροφὴ γλυκεῖα, δῆλον ὡς ἡ χολὴ, πικρὰ οὖσα, οὐκ ἔστι τροφή. εἰ δὲ μὴ τροφὴ, περίττωμα. εἰ γὰρ ἦν τροφὴ ἦν ἂν γλυκεῖα. λέγει δὲ καὶ ὅτι εὔλογον τὴν τοῦ ἥπατος φύσιν [Ἐπίκαιρον οὖσαν] τουτέστιν εἰς ἐπιτήδειον τόπον κειμένην: ἐν γὰρ τῷ δεξιῷ μέρει κεῖται. εὔλογον οὖν ἐπίκαιρον οὖσαν, αἰτίαν εἶναι τοῦ ζῆν, ἢ πολὺν, ἢ ὀλίγον χρόνον τὰ ζῶα κατὰ τὴν αὐτοῦ ποιότητά τε καὶ κρᾶσιν. λέγει δὲ καὶ διατί ἐν τῷ ἥπατι μόνῳ καὶ οὐκ ἐν ἄλλῳ τινὶ τῶν σπλάγχνων γίνεται ἡ χολή. καὶ φησὶν, ὅτι ἐν τῇ καρδίᾳ ἀδύνατον αὐτὴν γενέσθαι: ἡνίκα γὰρ πικρὸν ἢ ἄλλο τι πάθος πλησιάσῃ ἐν αὐτῇ, θνήσκει τὸ ζῶον: ἐν ἄλλῳ δὲ σπλάγχνῳ εἰ μέλλει γενέσθαι εὔλογον ἐν ἐκείνῳ γίνεσθαι, ὅπερ ἐν ἅπασιν εὑρίσκεται: εὑρίσκεται δὲ ἐν ἅπασιν ἢ ἧπαρ, ἢ τὸ ἀνάλογον τῷ ἥπατι: νεφροὶ δὲ ἢ σπλὴν ἢ πνεύμων, οὐκ ἐν ἅπασιν εὑρίσκεται τοῖς ἐναίμοις. ἐπεὶ δέ τινες ἦσαν οἱ λέγοντες, ὡς εἴπερ ἦν ἡ χολὴ περίττωσις, εὑρίσκετο ἂν ὅπου, καὶ ἡ τῆς ξηρᾶς, καὶ ὑγρᾶς τροφῆς περίττωσις, ἀλλ' οὐκ ἐν τῷ ἥπατι, λέγει, ὅτι ὥσπερ γὰρ ὅπου ἄν τις ἴδῃ φλέγμα ἢ τὸ ὑπόστημα τῆς κοιλίας, εἴτε ἐν τῇ κοιλίᾳ, εἴτε ἀλλαχοῦ, καὶ μὴ νομίζῃ τοῦτο περίττωμα, ἀλλ' ἐν μὲν τῇ κοιλίᾳ βλέπων αὐτὸ, λέγει εἶναι περίττωμα: ἐκτὸς δὲ ταύτης ὁρῶν αὐτὸ, οὐ λέγει περίττωμα: ὥσπερ οὖν οὗτος ἄτοπος λογισθήσεται, οὕτως ἂν εἴη ἄτοπος, καὶ ὁ μὴ λέγων τὴν χολὴν περίττωμα, ὅπου ἂν αὐτὴν ἴδῃ: τὸ δὲ ἐπίπλον λέγει ἄρχεσθαι ἀπὸ μέσης τῆς κοιλίας, καὶ περιέχειν τὸ ἥμισυ μέρος αὐτῆς: καὶ λέγει τὴν αἰτίαν. τίνος χάριν τὸ ἥμισυ περιέχει αὐτῆς, καὶ οὐχ ἅπασαν. λέγει δὲ ταύτην παρακατιὼν, ὅταν φησὶν, [Καὶ δὴ τοῦτο ἀπὸ μέσης ἄρχεται τῆς κοιλίας, ὅτι τὸ ἐπέκεινα μέρος συμπέττει τὸ παρακείμενον ἧπαρ:] ἐπειδὴ γὰρ χάριν τοῦ θερμαίνειν τὴν κοιλίαν γέγονε τὸ ἔπιπλον: τοῦ δὲ ἡμίσεως μέρους αὐτῆς, ἐπίκειται τὸ ἧπαρ, ἀρκεῖ τοῦτο θερμότατον ὂν, πρὸς τὸ θερμαίνειν τὸ μέρος αὐτῆς, ἐν ᾧ μή ἐστιν ἔπιπλον: τοῦ δὲ λοιποῦ μέρους μὴ ἁπτόμενον τὸ ἧπαρ, ἀναγκαίως ἡ φύσις περιεκάλυψεν αὐτὸ δὴ τοῦ ἐπίπλου, ἵν' ὥσπερ τὸ ἧπαρ [Συμπέττῃ] τουτέστι θερμαίνῃ τὸ ἥμισυ τῆς κοιλίας, οὕτως καὶ τὸ ἔπιπλον, τὸ ἐπίλοιπον. ἀλλὰ ταῦτα μὲν, ὥσπερ εἴπομεν, παρακατιὼν λέγει δὴ τῆς λέξεως, ἣν παρεθέμεθα: περὶ δὲ τῆς τοῦ ἐπίπλου γενέσεως λέγων φησί: ἔτι δὲ δὴ τὴν τοῦ ὑμένος πυκνότητα τὸ διηθούμενον, καὶ διὰ τοῦ ὑπορχομένου τῆς αἱματώδους τροφῆς ἀναγκαῖον λεπτότατον εἶναι, καὶ δύσπεπτον, καὶ δὴ τοῦτο, λιπαρόν: σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ περὶ τῶν ἐντόμων, καὶ πάντων τῶν ἀναίμων, μὴ ἔχειν σπλάγχνα, διὰ τὸ μηδὲ αἷμα, ἐξ οὗ τὰ σπλάγχνα συνέστηκε: τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ. [Ἐξ ὧν γὰρ συνέστηκεν ἡ τῶν σπλάγχνων φύσις, οὐδὲν ἔχει τούτων αἷμα.] ἔστι δὲ σαφῆς ἡ λέξις, εἰ τὸ [ἐξ ὧν] ἀντὶ τοῦ ἐξ οὗ,

ἀκούσομεν, καὶ εἴη ἂν οὕτω τὸ λεγόμενον, τοιοῦτον. οὐδὲν τῶν ἀναίμων ἔχει αἷμα, ὅτι ἐξ αἵματος συνέστηκεν ἡ τῶν σπλάγχνων φύσις, καὶ διότι οὐδὲν τούτων ἔχει αἷμα ἐπάναγκες εἰπών. [Διὰ τὸ τῆς οὐσίας αὐτῶν εἶναι τοιοῦτον πάθος αὐτοῖς.] εἰπὼν πάθος νῦν, τὴν οὐσιώδη διαφορὰν τὸ δὲ λέγει τοιοῦτον ἐστίν, διὰ τὸ οὐσιῶσθαι, καὶ εἰδοποιεῖσθαι τὰ ἄναιμα ἐν τῷ μὴ ἔχειν αἷμα, διὸ καὶ ἔστιν ἄναιμα: ὡς γὰρ ὁ ἄνθρωπος ἐν τῷ, λογικὸς: καὶ νοῦ, καὶ ἐπιστήμης δεκτικὸς εἶναι, ἔχει τὸ εἶναι: οὕτω καὶ τούτων τὸ εἶναι ἐστίν, ἐν τῷ μὴ ἔχειν αἷμα, καὶ ὑπάρξει δὴ τὸ ἄναιμον ἐν τῷ λόγῳ, τῷ ὁρίζοντι τὴν οὐσίαν αὐτῶν, ὥσπερ καὶ τὸ λογικὸν ἐν τῷ τοῦ ἀνθρώπου. οὐκ ἔχει οὖν τὰ ἔντομα, σπλάγχνα, ὅτι οὐδὲ αἷμα. ἀναγκαῖον δὲ αὐτοῖς μόνον ἔχειν τὸ ἀνάλογον τῇ καρδίᾳ, ἵν' ᾖ ἐν αὐτῷ ἡ αἰσθητικὴ ψυχή, ὥσπερ καὶ ἐπὶ τῶν ἐναίμων, ἐν τῇ καρδίᾳ: [Τὸ γὰρ αἰσθητικὸν τῆς ψυχῆς,] τουτέστιν: τὴν γὰρ αἰσθητικὴν ψυχὴν ἀνάγκη ἐν [Ἀρχῇ τινι τῶν μορίων.] τουτέστιν ἀνάγκη ἐν μορίῳ τινὶ τοῦ σώματος, λόγον ἀρχῆς ἔχοντι, ὑπάρχειν ἐν πᾶσι τοῖς ζώοις: ἀρχῆς δὲ λόγον ἐν πᾶσιν ἔχει τοῖς ζώοις, ἡ καρδία ἢ τὸ ἀνάλογον τῇ καρδίᾳ: λέγει δὲ τὴν σηπίαν πλείονα τὸν θολὸν ἔχειν, ὥσπερ αἱ τευθίδες: διὰ τὸ προσγειον εἶναι τὸν βίον αὐτῆς. λέγω [Πρόσγειον,] τὸν αἰγιαλώδη: ἐν γὰρ τοῖς αἰγιαλοῖς οὖσα μᾶλλον ἐπιβουλεύεται, τῶν τευθίδων, πελαγίων τούτων οἰσῶν. λέγει δὲ τὸν θολὸν ἔχειν τὴν σηπίαν κάτωθεν, διά τε τὸ πολὺν εἶναι, καὶ διὰ τὸ ῥαδίως αὐτόθεν πέμπειν αὐτόν: καὶ γὰρ καὶ αἱ τευθίδες, αἱ ὑπὸ τῆς μύτιδος αὐτὸν ἔχουσι, καὶ αὐτοῦ κάτωθεν αὐτὸν προΐενται: λέγει δὲ καὶ ὅτι ὥσπερ ἔνια τῶν ἐναίμων, ὅταν φοβηθῶσιν, οὐροῦσιν, οὕτως καὶ αἱ σηπίαι ἀντὶ οὔρου προΐενται τὸν θολόν, ἐπειδὰν φοβηθῶσι: σαφῆ δὲ τὰ ἑξῆς. μετὰ ταῦτα λέγει, εἶναι καὶ εἴδη πολλὰ τῶν ὀστρακοδέρμων καὶ τὰ μὲν αὐτῶν, εἶναι στρομβώδη: τὰ δέ, δίθυρα. λέγων δίθυρα τὰ ἔχοντα δύο ὄστρακα, ὥσπερ οἱ κτένες, τὰ λειμόστρια, καὶ ἄλλα πολλά: τὰ δὲ μονόθυρα, λέγων μονόθυρα, τὰ ἔχοντα τὸ σαρκῶδες αὐτῶν τῇ πέτρᾳ προσπεφυκός, καὶ ἄνωθεν ὄστρακον ἕν, οἷαί εἰσιν αἱ καλούμεναι λεπάδες: ὡς γὰρ οἱ κτένες ἔχουσι μὲν κάτωθεν τῆς σαρκός, ἓν ὄστρακον: ἕτερον δέ, ἄνωθεν. οὕτως αἱ λεπάδες κάτω μὲν ἀντὶ τοῦ ἑνὸς ὀστράκου ἔχουσι τὴν πέτραν, ἐν ᾗ προσπέφυκε τὸ σαρκῶδες: ἄνωθεν δέ, ὄστρακον. σκέπεται οὖν καὶ σώζεται ἡ λεπὰς ἄνω μέν, ὑπὸ τοῦ ὀστράκου: κάτω δέ, ὑπὸ τῆς πέτρας: ἣν πέτραν ἀλλότριον εἴρηκε φράγμα: ὁ δὲ ἐχῖνος φησὶν ὁ θαλάττιος, ἔχει τὸ ὄστρακον ἴδιον τῶν ἄλλων ὀστρακοδέρμων: οὐδὲν γὰρ τῶν ἄλλων ὀστρακοδέρμων [Κύκλῳ] τουτέστι σφαιροειδὲς τὸ ὄστρακον ἔχει, καὶ πρὸς τούτῳ [Κεχαρακωμένον ταῖς ἀκάνθαις:] τὰ δὲ μαλάκια ἀντικειμένως ἔχει τοῖς μαλακοστράκοις, καὶ ὀστρακοδέρμοις: τοῖς μὲν γὰρ μαλακίοις, ὥσπερ ἐπὶ τῶν σηπιῶν, ἔξω τὸ σαρκῶδες: τοῖς δέ, ἐντός: σαφῆ δὲ τὰ ἑξῆς. κατὰ δὲ τὴν λέξιν τήν. [Τὰ μὲν τῷ λόγῳ: τὰ δέ, πρὸς τὴν ὄψιν αὐτῶν σαφηνίζειν δεῖ μᾶλλον.] τῷ μὲν οὖν λόγῳ σαφηνίζειν δεῖ τό, διότι τούτων ἕκαστον, οὕτως ἔχει. οἷον διότι τὰ μέν, ἔχει πρόλοβον: τὰ δέ, οὐκ ἔχει: καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως: ὑπὸ δὲ τῆς ὄψεως σαφῆ γέγονεν, ὅτι τὰ μὲν ἔχει χολήν: τὰ δ', οὐκ ἔχει: καὶ ὅτι πρῶτον μὲν κεῖται τόδε τὸ μόριον, εἶτα τόδε καὶ ἐπὶ τῶν ἄλλων οὕτως: ὑπὸ δὲ τῆς λέξεως, τῆς [Ἰδίως ἔχουσι τῶν ὀστρακοδέρμων οἵτε ἐχῖνοι, καὶ τὸ τῶν καλουμένων τηθύων γένος,] οὐ τοῦτο λέγεται, ὡς ἄν τις ὑπολάβοι, ὅτι διαφέρει τὰ τήθυα πρὸς τοὺς ἐχίνους: ἀλλὰ τοῦτο ἐστι τὸ λεγόμενον. ὅτι οἱ ἐχῖνοι, καὶ τὰ τήθυα διαφέρουσι πρὸς τὰ ἄλλα ὀστρακόδερμα: λέγει δὲ τοὺς ἐχίνους ἔχειν καὶ τὰ ᾠὰ μικρὰ πάμπαν, ἔξω τῶν ἐπιπολαζόντων. λέγων ἐπιπολάζοντας ἐχίνους τοὺς παρ' ἡμῖν εὑρισκομένους: μεγάλα γὰρ οὗτοι ἔχουσι τὰ ᾠά: τὰ δὲ ὀστρακόδερμα φησὶν ἐν τῷ χειμῶνι οὐκ εἰσὶ πίονα: διὰ τὸ πονεῖν ὑπὸ τοῦ ψύχους: τὸ δὲ πονοῦν λυπεῖται: τὸ δὲ λυπούμενον, οὐ πιαίνεται: οἱ δὲ ἐχῖνοι ἐν τῷ θέρει μᾶλλον [Εὐθηνοῦσιν] ἤγουν πίονες γίνονται, πλὴν τῶν ἐν τῷ πυῤῥαίῳ εὑρίπῳ: ἐκεῖνοι γὰρ οὐχ ἧττον τοῦ χειμῶνος πίονές εἰσιν, ἀλλ' ἐπίσης τῷ θέ-

ρει, καὶ κατὰ τὸν χειμῶνα πίονές εἰσιν· ἀναχωρούντων γὰρ ἐκεῖθεν τῶν ἰχθύων ἐν τῷ χειμῶνι, προσαπίπτει αὐτοῖς πλείων νομή, ὥστε κἂν ῥιγῶσι καὶ δὴ μᾶλλον λυπῶνται, ἀλλὰ διὰ τὴν ἀφθονίαν τῆς τροφῆς, εὐθηνεῖ τὸ τούτων γένος· οἱ δὲ κατὰ τοὺς ἄλλους τόπους, πρὸς τῷ ῥιγοῦν καὶ λυπεῖσθαι, καὶ σπάνιν ἔχουσι τροφῆς, καὶ διὰ τοῦτο οὐκ εὐθηνοῦσι. μετὰ ταῦτα λέγει καὶ διατί ἔχουσι πέντε οἱ ἐχῖνοι τὰ καλούμενα ᾠά· καὶ οὔτε πλείονα, οὔτε ἐλάττονα· καί φησιν, ὅτι μία μὲν αἰτία τοῦ ἔχειν πλείω ταῦτα, τὸ μὴ εἶναι ᾠά. ζητήσειε δ' ἄν τις τίνος ἕνεκα διὰ τὸ μὴ εἶναι ᾠά, πλείω ἑνὸς ἔχει ταῦτα, ἣ τὸ αἴτιον δὲ οἶμαι εἰρῆσθαι· αὕτη· τὸ αἴτιον δὲ τοῦ μὴ ἐπαμφότερα τὰ μέρη ἔχειν, τὰ καλούμενα ᾠά, ἀλλ' ἐπὶ τὸ ἕτερον μόνον· μήτε τοὺς ἐχίνους, μήτε τὰ ὀστρακόδερμα, τὸ μὴ εἶναι ᾠά· τὰ γὰρ ὡς ἀληθῶς ᾠά, ἐπαμφότερα τὰ μέρη εὑρίσκεται· οἷον οἱ κέφαλοι, καὶ λάβρακες, καὶ ὄρνιθες, καὶ ἁπλῶς πάντα, ὅσα ἔχει ᾠά ἐπαμφότερα τὰ μέρη, τό τε δεξιόν, καὶ ἀριστερόν, ἔχει ταῦτα. εἰπὼν οὖν κοινὴν αἰτίαν ἐπὶ πάντων τῶν ὀστρακοδέρμων, τίνος ἕνεκα ἐπὶ τὸ ἕτερον μόνον μόριον ἔχουσι τὸ καλούμενον μὲν ᾠόν· μὴ ὂν δὲ ᾠόν, πρῶτον μὲν λέγει, διατί τὰ μὲν ἄλλα ὀστρακόδερμα ἐν βραχεῖ τόπῳ ἔχει τὸ καλούμενον ᾠόν· ὁ δ' ἐχῖνος ἐν ὅλῳ τῷ ἡμικυκλίῳ· καὶ φησὶν ὅτι, ἐπεὶ ὁ ἐχῖνος σφαιροειδής ἐστι καὶ δυνατὸν ἐν αὐτῷ πολλοὺς κύκλους γραφῆναι· τόν τε ἀναλογοῦντα φέρε εἰπεῖν τῷ ὁρίζοντι, καὶ τὸν τῷ μεσημβρινῷ, καὶ τὸν τῷ ἰσημερινῷ, καὶ τὸν τῷ λοξῷ, καὶ ἄλλους πλείους, ἀνάγκη καὶ τὸ ᾠὸν ὁμοίως ἔχειν. τουτέστι χώραν ἔχειν μὴ ἐν ἑνὸς κύκλου μέρει εὑρίσκεσθαι· ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ὀστρακοδέρμων, ἀλλ' ἐν πλειόνων κύκλων μέρει· ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὀστρακοδέρμων, οἷον τῶν κτενῶν, καὶ τῶν τοιούτων, εἷς μόνος κύκλος ἐστίν, ὁ τῷ ὁρίζοντι ἀναλογῶν· ἄλλος δὲ ἢ νοηθῆναι, ἢ γραφῆναι οὐ δύναται. ἐπεὶ οὖν ταῦτα διὰ τὸ ἕνα κύκλον ἐν αὐτοῖς, ὡς εἴρηται, εὑρίσκεσθαι τὸν ἀναλογοῦντα τῷ ὁρίζοντι, ἐν ἑνὶ ἡμικυκλίῳ, οἷον ὡς εἰπεῖν τῷ δεξιῷ, ὁρᾶται ἔχοντα τὸ ᾠόν, ἕξει καὶ ὁ ἐχῖνος διὰ ταύτην τὴν αἰτίαν ἓν ᾠόν, ἐν τῷ δεξιῷ μέρει τοῦ ἀναλογοῦντος κύκλου τῷ ὁρίζοντι· τέμνει δὲ τὸν ὁρίζοντα ὁ μεσημβρινός. ἕξει οὖν καὶ ἕτερον ᾠόν, καθὸ οὗτοι τέμνουσιν ἀλλήλους οἱ κύκλοι· ἕξει δὲ μᾶλλον τὸ ᾠὸν οὐκ ἐν ἄλλῳ μέρει, ἀλλ' ἐν ᾧ καὶ ὁ ὁρίζων αὐτὸ ἔχει, διὰ τὸ μὴ ἐνδέχεσθαι αὐτὸν καὶ ἐν θατέρῳ μέρει ἔχειν ᾠόν· ὀστρακόδερμόν τε ὄντα καὶ τὸ λεγόμενον ᾠόν, μὴ εἶναι ᾠόν. ἕξει οὖν, ὡς εἴρηται, καὶ διὰ τὸν μεσημβρινόν, καὶ ἄλλο ᾠόν· πᾶς γὰρ κύκλος ἐπὶ τῶν ὀστρακοδέρμων πέφυκεν ἐν θατέρῳ μέρει ἔχειν ᾠόν, ἀλλὰ μὴν ἕξει καὶ ἕτερον διὰ τὸν λοξόν, καὶ κατὰ τὸ μέρος, ἐν ᾧ καὶ οἱ ἄλλοι διὰ τὰς εἰρημένας αἰτίας. καὶ ἐπεὶ ἄπειροι κύκλοι δύνανται γράφεσθαι ἐν τῇ σφαίρᾳ, ἄπειρα καὶ ᾠὰ συμβαίνει ἐκ τούτου ἐν αὐτῷ εὑρίσκεσθαι. ἀλλ' ἐρεῖ τὴν αἰτίαν αὐτὸς καίτοι τούτου συμβαίνοντος δι' ἣν πλείω τῶν πέντε γίνεσθαι ἀδύνατον. διὰ μὲν οὖν τὰς εἰρημένας αἰτίας χώραν ἔχει τὸ ᾠὸν ἐπὶ τῷ τοῦ ἐχίνου ἐν πλείοσιν εὑρίσκεσθαι· οὐ γάρ ἐστιν ἀνόμοιον τῷ κύκλῳ σῶμα τοῦ ἐχίνου, ἵν' εἷς μόνος κύκλος ἐπ' αὐτοῦ γράφηται, ὥσπερ τὰ τῶν ἄλλων ὀστρακοδέρμων· πᾶσι γὰρ ἐν τούτοις, διὰ τὸ ἐν μέσῳ εἶναι τὴν κεφαλήν, εἷς ἐστι κύκλος, καὶ ἔχουσιν ἄνω τὸ τοιοῦτον μόριον· ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων ζῴων τὸ τούτων ἄνω, ἡ κεφαλὴ αὐτῶν ἐστιν, οὕτω καὶ τὸ τούτων ἄνω ἡ κεφαλὴ αὐτῶν ἐστιν, εἰ καὶ ἐν μέσῳ κεῖται τοῦ ὅλου σώματος. πρὸς τούτοις προσδιορίζεται καὶ ἕτερα δύο, χρήζων καὶ τούτων πρὸς τὴν δεῖξιν τοῦ, διὰ τί πέντε ἔχει τὰ ᾠά. προσδιορίζεται οὖν λέγων, ἀλλὰ μὴν οὔτε συνεχῆ δυνατὸν εἶναι τὰ ᾠά· οὐδὲ γὰρ τὰ τῶν ἄλλων ζῴων; [Ἀλλ' ἐπὶ θάτερα.] αὕτη τοῦ καὶ ἐπὶ θάτερα τοῦ κύκλου μόνον. δεῖ οὖν μήτε συνεχῆ ἔχειν ταῦτα, καὶ ἐπὶ θάτερα τοῦ κύκλου μόνον, καὶ μὴ πόρρω ἀπ' ἀλλήλων διεστηκότα. ταῦτα προειπών, δείκνυσι τέως διατί οὐκ ἐνδέχεται ἔχειν τὸν ἐχῖνον ἄρτια τὰ ᾠά. καί φησι. [Ἀνάγκη τοίνυν ἐπεὶ τοῦτο μὲν ἁπάντων κοινόν. [Τουτέστι τὸ ἐπὶ θάτερα μόνον τοῦ κύκλου ἔχειν τὸ ᾠόν· ἴδιον δ' ἐκείνου ἐστὶ τὸ ἔχειν τὸ σῶμα σφαιροειδές, μὴ εἶναι ἄρτια τὰ ᾠά· εἰ γὰρ

ζῶσαι τῇ γῇ ζῇ· ἀπολυθέντα δὲ καὶ ἀποῤῥιζωθέντα οὐ ζῇ, οὕτω καὶ ὁ σπόγγος προσπεφυκὼς τῇ πέτρᾳ, ζῇ· ἀπολυθεὶς δὲ, θνήσκει. ὁ οὖν σπόγγος φησὶν ὁμοίως ἔχει τοῖς φυτοῖς· οὕτως γὰρ δεῖ τὸ ἐξῆς τῆς λέξεως. ὁμοίως οὖν ἔχει κατὰ δύο τρόπους, καὶ ἐν τῷ ζῆν μόνον, προσπεφυκὼς, καὶ ἐν τῷ μὴ ζῆν, ἀπολυθείς· ἐπειπὼν δὲ καὶ ὅτι οἱ πνεύμονες καὶ τὰ ὁλοθούρια, οὐδεμίαν ἔχει αἴσθησιν· ζῇ δὲ ἀπολελυμένα· οὐ γὰρ προσπεφυκότα εἰσὶν οἱ πνεύμονες. ζῇν οὖν ἀπολελυμένα, ὥσπερ φυτὸν ἀπολυθὲν τῆς γῆς καὶ ζῶον ἐπάγει. [Ἔστι δὲ καὶ ἐν τοῖς ἐπιγείοις φυτοῖς·] προσέθηκε δὲ τὸ [Ἐπιγείοις.] διότι ὃν τρόπον ἔχει τὰ φυτὰ ἐν τῇ γῇ, οὕτως ἔχουσι, καὶ οἱ πνεύμονες, καὶ τὰ τοιαῦτα ἐν τῇ θαλάττῃ. καὶ εἰσὶν οἱ μὲν πνεύμονες, θαλάττια φυτά· τὰ δὲ δένδρα, ἐπίγεια φυτά. ὥσπερ οὖν οἱ πνεύμονες, τὰ θαλάττια φυτὰ, ζῇ ἀπολελυμένα. οὕτως εἰσὶν ἔνια τῶν ἐπιγείων φυτῶν, ἃ ζῇ ἀπολυθέντα [Καὶ γίνεται] τουτέστι βλαστάνει· τὰ γὰρ κρόμμυα ἐν τῷ πασσάλῳ κρεμάμενα βλαστάνει. ἀλλὰ καὶ βοτάνη τις ἀνώνυμος, κοπεῖσα καὶ ἐπάνω τοῦ θύμου ὡς ἔτυχε τεθεῖσα, βλαστάνει καὶ γίνεται, τὸ καλούμενον ἐπίθυμον· σύνθετον δὲ τρόπον τινὰ, ἐκ τοῦ θύμου καὶ τῆς ἐπιτεθείσης ἀνωνύμου βοτάνης. ἀλλὰ τὸ μὲν κρόμμυον, καὶ τὸ ἐπίπεζον, καὶ ἄλλα ἄττα ἀπολυθέντα τῆς γῆς, καὶ ἐν πασσάλῳ κρεμάμενα, ζῇ καὶ βλαστάνει· τὸ δ' ἐπίθυμον, ἐν ἑτέρῳ οὐκ ἐγκεντρισθὲν, ἀλλ' ὡς ἔτυχεν ἐπιτεθέν. τὰ δὲ τήθυα φησὶ δύο ἔχειν πόρους· ἕνα μὲν, ᾧ δέχονται τὴν ὑγρὰν τροφήν. ἄλλον δὲ, ᾧ διαπέμπει τὴν ὑπολειπομένην ἰκμάδα· ἰκμὰς γὰρ ἀλλ' οὐ περίττωμα ἐν αὐτοῖς ὁρᾶται. πόρους μὲν οὖν ἔχει δύο. διαίρεσιν δὲ μίαν, ὥσπερ ἂν εἰ νοήσαις ὑμενώδη σωλῆνα, ὑπογκωμένον καὶ σχίσαις αὐτὸν ἄνωθεν ἕως κάτω ἐν θατέρῳ μέρει. ἔχει δὲ διὰ μέσου καὶ ὑμένα λεπτὸν ὃς ἀναλογεῖ τῇ καρδίᾳ ἐν ᾧ ὑπάρχει τὸ κύριον τῆς ζωῆς. τὸ γὰρ κύριον τῆς ζωῆς ἡ καρδία ἢ τὸ ἀνάλογον αὐτῇ. σαφῆ δὲ ἃ λέγει περὶ τῶν ἀκαληφῶν. λέγει δὲ αὐτὰ καὶ ἐοικέναι τοῖς φυτοῖς, ἔν τε τῷ μὴ ἔχειν περίττωμα, καὶ ἐν τῷ ἔχειν στόμα· τὰ γὰρ φυτὰ, περίττωμα μὲν φανερὸν οὐκ ἔχει. στόμα δ' ἔχει. λέγει δὲ τὸ τῶν ἀστέρων γένος ὅμοιον εἶναι ταῖς ἀκαλήφαις· καὶ τοῖς ἀπολελυμένοις [Τῶν εἰρημένων ζώων.] λέγων εἰρημένα ζῶα. τά τε μαλάκια, καὶ τὰ μαλακόστρακα. καὶ τὰ μὲν ἔτι τὰ μόρια, τὰ περὶ τὴν τροφὴν, τοῖς ὀστρακοδέρμοις καὶ μαλακίοις, καὶ τοῖς τοιούτοις, τοιοῦτον ἔχει τὸν τρόπον. ὥσπερ δὲ τὰ ἔναιμα τῶν ζώων ἔχει τινὰ ἀρχὴν, αὕτη δ' ἐστὶ τὸ κύριον τῶν αἰσθήσεων, αὕτη δ' ἐστὶν ἡ καρδία· οὕτω δεῖ καὶ τὰ ὀστρακόδερμα, καὶ μαλάκια, καὶ ἁπλῶς εἰπεῖν τά τε ἄναιμα καὶ πάντα τὰ ζῶα ἔχειν ἢ τοῦτο τὸ μόριον, ἢ τὸ ἀνάλογον. τούτου γάρ ἐστι δηλωτικὸν τό. [Δεῖ δὲ δηλονότι, καὶ τῶν τοῖς ἐναίμοις ὑπαρχόντων κατὰ τὸ κύριον τῶν αἰσθήσεων, ἔχειν ἀνάλογόν τι μόριον.] σαφὴς δ' ἂν ἦν ἡ λέξις, εἰ αὕτη γενικὴ τῆς, [Τῶν τοῖς ἐναίμοις ὑπαρχόντων.] ἦν δοτική· ἵνα ἦν οὕτως, τὸ ἀνάλογον τοῖς ὑπάρχουσι τοῖς ἐναίμοις. δεῖ γὰρ ὑπάρχειν, καὶ ἐν τοῖς ἀναίμοις τὸ κύριον τῶν αἰσθήσεων, ἀναλογοῦν τοῖς παρέχουσι κυρίως τὴν αἴσθησιν τοῖς ἐναίμοις. τὸ δὲ κύριον τῶν αἰσθήσεων, τὸ ἀναλογοῦν τῇ καρδίᾳ, ἐν μὲν τοῖς μαλακίοις κείμενόν ἐστιν ἐν ὑμένι· ὑγρὸν ὂν τὴν φύσιν. διέρχεται δὲ διὰ μέσου τοῦ τοιούτου ὁ στόμαχος πρὸς τὴν κοιλίαν. ὥσπερ τις ἄτρακτος διὰ σπονδύλου, ἢ βελόνη διὰ κηροῦ. προσπέφυκε δὲ τοῦτο τὸ ὑγρὸν καὶ μᾶλλον πλησιάζει τοῖς πρανέσι τουτέστι τοῖς ἀναλογοῦσιν ὀστράκοις τῷ νώτῳ καὶ τῇ ῥάχει. ὅπερ ὑγρὸν καὶ καλοῦσί τινες μύτιδα. ταῦτα εἰπὼν λέγει τὴν αἰτίαν, δι' ἣν διὰ μέσου τοῦ εἰρημένου ὑγροῦ, ὁ στόμαχος τείνει πρὸς τὴν κοιλίαν καί φησιν· εἰ γὰρ ἐφεξῆς τῷ ὀστράκῳ ἦν ὁ στόμαχος, εἶτ' ἐφεξῆς τούτῳ ἡ εἰρημένη μύτις, εἰσιούσης τῆς τροφῆς διὰ τοῦ στομάχου, οὐκ ἂν ἠδύνατο ὁ στόμαχος λαμβάνειν διάτασιν. τουτέστιν, οὐκ ἂν ἠδύνατο εὐρύνεσθαι καὶ χώραν διδόναι τῇ τροφῇ δι' ὅλου διὰ τὴν σκληρότητα τοῦ περικειμένου ὀστράκου. εἰ γὰρ ἦν μαλακὸν τὸ ἀναλογοῦν νώτῳ ὄστρακον, ὑπεῖχεν ἂν καὶ ἐλάμβανε διάτασιν ὁ στόμαχος. νῦν δὲ διὰ τὴν σκληρότητα ἀδυνατεῖ τοῦτο γίνεσθαι. ἔξωθεν δὲ τῆς τοιαύτης μύτιδος, ἐστὶ τὸ ἔντερον καὶ

ὁ θολὸς πρὸς τῷ ἐντέρῳ. ἵν᾽ ᾖ τὸ δυσχερὲς καὶ δυσῶδες πόρρω τῆς ἀρχῆς. ὅτι δὲ φησὶν ἡ τοιαύτη μύτις τὸ ἀνάλογον ἐστὶ τῇ ἀρχῇ, ἤγουν τῇ καρδίᾳ, δηλοῖ ὁ τόπος· κεῖται γὰρ ἐν τῷ μέσῳ· πᾶσα δὲ καρδία ἢ τὸ ἀνάλογον, ἐν τῷ μέσῳ κεῖται. εἰπὼν δὲ ὅτι περὶ μέσον δεῖ ζητεῖν τὴν τοιαύτην ἀρχήν, καὶ τὴν καρδίαν ἢ τὸ ἀνάλογον, λέγει καὶ πῶς δεῖ τὸ μέσον εὑρίσκειν. καὶ φησὶν ὅτι ὅσα μέν ἐστι μόνιμα, δεῖ ζητεῖν τὴν τοιαύτην ἀρχὴν περὶ τὸ μέσον τοῦ δεχομένου μορίου τὴν τροφήν· τοῦτο δ᾽ ἐστὶ τὸ στόμα καὶ τὸ πέρας τοῦ πόρου, δι᾽ οὗ ποιεῖται τὴν ἀπόκρισιν τὴν σπερματικήν, ἢ τὴν περιττωματικήν. ὥστε ἐν τῷ τόπῳ, ἀφ᾽ οὗ ἔσται εὐθεῖαι προσπίπτουσιν πρός τε τὸ στόμα καὶ τὸ τοῦ εἰρημένου πόρου πέρας, δεῖ ζητεῖν ἐν τοῖς μονίμοις τὴν τῆς καρδίας θέσιν. ὅσα δὲ πορευτικὰ τῶν ζώων ἀεὶ ἐν τῷ μέσῳ τῶν δεξιῶν καὶ ἀριστερῶν. ὥστε ἐν τοῖς μονίμοις, κατὰ τὸ μῆκος δεῖ ζητεῖν τὴν μεσότητα· ἐν δὲ τοῖς πορευτικοῖς κατὰ τὸ πλάτος. τοῖς δ᾽ ἐντόμοις φησὶν ὥσπερ ἐλέχθη [Εν τοῖς πρώτοις λόγοις,] λέγων πρώτους λόγους τὰ περὶ ζώων ἱστορίας. ἡ τοιαύτη ἀρχὴ ἐν ταῖς ἐντομαῖς ἐστιν. διὸ ὅσαι εἰσὶν ἐν ἑκάστῳ τῶν τοιούτων ζώων ἐντομαί, τοσαύτας ἔχει καὶ ἀρχάς, καὶ διὰ τοῦτο ὡς ἐρεῖ ἐν τοῖς περὶ ζώων πορείας, τεμνόμενα δύνανται τὰ ἀποτμηθέντα μόρια ἐπὶ πολὺ ζῆν. καὶ ἐπεὶ ἡ τοιαύτη ἢ αἱ τοιαῦται ἐντομαί εἰσιν αἱ ἀρχαί, αἱ τῇ καρδίᾳ ἀναλογοῦσαι, βούλεται μὲν ἡ φύσις ἐν πᾶσι τοῖς ζώοις μίαν ταύτην ἑκάστῳ τούτων ἀποδιδόναι, καὶ δίδωσιν ἔνθα δυνατόν· ἔνθα δὲ οὐ δύναται, οὐδὲ ἐνδέχεται διὰ μιᾶς ζῆν τε καὶ εἶναι, ἀποδίδωσι πολλάς. διὸ ἐν τοῖς ἰουλώδεσιν ἀδυνατήσασα μίαν ἐντομὴν καὶ ἀρχὴν ποιῆσαι, ἀπέδωκεν ἑκάστῳ τούτων πλείους. διὸ καὶ τεμνόμενα ὡς εἴρηται, ζῇ· τίνα δὲ τὰ ἰουλώδη αὐτὸς σαφηνίζων, ἐπήγαγε τὸ [Καὶ μακροῖς.] εὐλόγως οὖν διατεμνόμενα ζῇ· ἐπειδὴ γὰρ ἡ ἐντομὴ ἀρχὴ καὶ ἑστία, καὶ ἀκρόπολις τίς ἐστι τῆς αἰσθητικῆς ψυχῆς, ὅσας ἂν ἔχει τὸ ζῶον ἐντομάς, τοσαύτας καὶ τὰς αἰσθητικὰς ἔχει ψυχάς. καὶ ἔστιν οἱονεὶ ἕν τι ζῶον ἐκ πολλῶν ζώων συγκείμενον, διὸ τούτων χωριζόμενα ἀπ᾽ ἀλλήλων τὰ μέρη, καὶ ζῇ, καὶ κινεῖται, καὶ αἰσθάνεται ὡς ἔχοντος ἑκάστου ἐν αὐτῷ αἰσθητικὴν ψυχήν. εἰ δὲ εἶχον καὶ ὄργανα, δι᾽ ὧν ἂν ἐτρέφοντο, ὡς προείρηται ἐν τῷ περὶ ψυχῆς, ἔζων ἂν ἐπὶ πολύ· εἰσὶ δὲ αἱ τοιαῦται ἐντομαὶ ἐν ἑτέροις δῆλαι μᾶλλον ἑτέρων· οὐ γὰρ ὁμοίως ἐν πᾶσιν εἰσὶ δῆλαι. οἱ δὲ τέττιγες φησὶ τὸ αὐτὸ καὶ ἓν μόριον ἔχουσι, καὶ ἀντὶ στόματος, καὶ ἀντὶ γλώττης· τὸ δὲ συμπεφυκὸς ὥσπερ ἡ σύμφυσις γλώττης καὶ στόματος ἐγγίνεται, καὶ ἀπετελέσθη ἕν τι μόριον συγκείμενον ἐκ στόματος, καὶ γλώττης εἴρηται. λέγει δὲ καὶ τρέφεσθαι τοὺς τέττιγας ἐκ τῆς καταλειφθείσης ἐκ τοῦ σώματος ὑγρότητος· ὑπὸ ὑγροῦ γὰρ τὴν σύστασιν ἔχοντες, τῷ περιττεύσαντι ὑγρῷ ἐκ τῆς τοῦ σώματος αὐτῶν συστάσεως, χρῶνται εἰς τροφήν. λέγει δὲ καὶ τὰ ἐφήμερα ζῶα ζῆν μίαν ἡμέραν· τοὺς δὲ τέττιγας πλείονας μὲν ἡμέρας ζῆν τῆς μιᾶς, ἣν ζῶσι τὰ ἐφήμερα· ὀλίγας δέ. ταῦτα εἰπὼν ἐφεξῆς πάλιν περὶ τῶν ἐκτὸς μορίων τῶν ἐντόμων λέγει. καὶ φησὶν αὐτὰ μὴ εἶναι πολυμερῆ· οὐ γὰρ ἔχουσιν αὐχένα καὶ χεῖρας, καὶ τὰ τοιαῦτα· εἰσὶ δὲ πολύποδα· καὶ τὴν αἰτίαν τῆς πολυποδίας λέγει σαφῶς. ἔχουσι δὲ φησὶ πλείονας ἐντομάς, διότι καὶ ἀρχὰς πλείονας· αἱ δὲ ἀρχαί, αἱ ἀναλογοῦσαι τῇ καρδίᾳ, αἱ ἐντομαί εἰσιν, ἐν αἷς εἰσὶν αἱ αἰσθητικαὶ ψυχαί· διὰ δὲ ταύτας ἐστὶ τὰ τοιαῦτα ζῶα, καὶ πολύποδα, ὅπως ἀνέχωνταί τε καὶ φέρωνται, ὥσπερ εἰ μέλη παραλελυμένα ὑπὸ τῶν ποδῶν. ὅσα δὲ τῶν ἐντόμων ὀλιγόποδά ἐστιν, ἀντὶ ποδῶν δέδωκεν αὐτοῖς ἡ φύσις πτερά. λέγει δὲ τοὺς βίους ἑδραῖα, τὰ μὴ ἐκτοπιζόμενα καὶ πόρρω ἀποπλανώμενα, καὶ λέγει ἔχειν αὐτὰ καὶ ἔλυτρα ἐν τοῖς πτεροῖς διὰ τὴν ἑδραιότητα, καὶ δυσκινησίαν· δυσκίνητα γὰρ ὄντα, καὶ διὰ τοῦτο μᾶλλον δυνάμενα βλάπτεσθαι ὑπὸ τῶν ἐπιβαλλόντων, δέδοται αὐτοῖς τὰ ἔλυτρα εἰς σκέπην καὶ βοήθειαν. τὰ δὲ πτερά φησι τῶν τοιούτων εἰσὶν ὑμένες δερματικοί. οἵτινες διὰ τὴν σκληρότητα τοῦ σαρκώδους ψυχόμενοι, ἀφίστανται τοῦ σώματος, ὥσπερ καὶ τὰ τῶν δένδρων φύλλα ἐπειδὰν ὁ ὀπὸς παγῇ· ὥστε διὰ τοῦτο ἂν ἔτι αὐτοῖς ὑπὸ

τῆς φύσεως τὰ ἔλυτρα δεδόμεθα, ἵνα θερμαίνηται ὑπὸ τούτων τὰ πτερά, καὶ μὴ ταχέως ψύχηται. εἰπὼν δὲ τὰ ἔντομα ἔχειν τὰς ἐντομὰς πλείονας διὰ τὸ καὶ τὰς ἀρχὰς πλείονας, λέγει καὶ ἄλλην αἰτίαν τούτου, λίαν σαφῶς. καὶ τὰ μὲν ἔλυτρα τῶν ἐντόμων, συνελίττεται· τὰ δὲ μὴ ἔλυτρα, συνιόντα, καὶ εἰς ἑαυτὰ συνιζάνοντα, ὥσπερ σπόγγοι, ἐπειδὰν τις αὐτῶν ἅψηται, σκληρύνεται. εἰ γὰρ τὸ μανούμενον, μαλακόν· τὸ πυκνούμενον, καὶ εἰς ἑαυτὸ συνιζάνον, δῆλον, ὡς σκληρόν. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ τὰς μελίττας ἐν ἑαυταῖς ἔχειν τὸ κέντρον, ἀλλ' οὐκ ἐκτός. καὶ μίαν μὲν ἐπήγαγεν τοῦ ἐντὸς ἔχειν τὸ κέντρον αἰτίαν, τὸ εἶναι πτηνά· πτηνὰ γὰρ ὄντα, δύναται φεύγειν τὰ ἐπιβουλεύοντα, ἕως ἂν ἐκβάλλωσι τὰ κέντρα πρὸς ἄμυναν· ὥστε οὐκ ἀνάγκη ἐκτὸς, καὶ ἕτοιμον ἔχειν τὸ κέντρον· ἄλλην δὲ πάλιν αἰτίαν ἐπήγαγε λίαν σαφῶς αὐτὴν ἑρμηνεύσας· ἀλλὰ ταύταις μὲν οὐκ ἀνάγκη τὸ κέντρον ἐκτὸς ἔχειν. τοῖς δὲ σκορπίοις πεζοῖς οὖσι, καὶ δυναμένοις τάχιον ἀπὸ τῶν ἐπιβουλευόντων ἀμύνεσθαι, ἀναγκαῖον [Επὶ ταῦτα.] τουτέστιν ἐκτὸς, ἔχειν τὸ κέντρον· εἰ δὲ μὴ, οὐκ ἂν εἴη χρήσιμον αὐτοῖς· φονευθήσονται γὰρ θᾶττον τοῦ ἐκβαλεῖν τὸ κέντρον· τὰ δὲ μικρὰ, καὶ δίπτερα, καὶ διὰ τοῦτο ἀσθενῆ, λέγει ἔχειν ἔμπροσθεν τὸ κέντρον· μόλις γὰρ δύναται καὶ τοῖς ἔμπροσθεν τύπτειν διὰ ἀσθένειαν· τὰ γὰρ ἐκ τῶν ὄπισθεν τύπτοντα, ἰσχυρὰ πάντα. λέγει δὲ καὶ ὅτι βέλτιον ἐστὶν ἐν οἷς ἐνδέχεται μὴ τὸ αὐτὸ ὄργανον ἔχειν, ἐπὶ ἀνομοίας χρείας, ἔχειν ἄλλο πρὸς ἄλλην. ἢ γὰρ ἐνδέχεται εἰς δύο πράξεις δύο ὄργανα εἶναι. οἷον ἄλλο μὲν πρὸς τὸ ὁρᾶν· ἄλλο δὲ πρὸς τὸ ἀκούειν, οὐκ εἴωθεν ἡ φύσις ἓν ποιεῖν, καὶ τὸ αὐτό. οἷον οἷς καὶ πρὸς τὸ ἀκούειν, καὶ τὸ ὁρᾶν· ἀλλ' ὥσπερ εἴρηται ἄλλο μὲν πρὸς τὴν ἄκουσιν· ἄλλο δὲ πρὸς τὴν ὅρασιν ἀποδίδωσιν· οὐ γάρ ἐστιν ἡ φύσις εὐτελὴς καὶ φειδωλὸς, ἵνα τὸ αὐτὸ, καὶ ἓν ὄργανον ἀπεργάσηται πρὸς δύο πράξεις, ὥσπερ ἡ χαλκευτική. ἐκείνη γὰρ διὰ μικροπρέπειαν καὶ φειδωλίαν, ἀπεργάζεται πρόμηκες σιδήριον, καὶ χρῆται τῷ αὐτῷ, καὶ ἐν ἰπρομήκει σιδηρίῳ, καὶ ὡς λύχνῳ, καὶ ὡς ὀβελίσκῳ· ὃ δὴ καὶ ὀβελισκολύχνιον ὀνομάζεται. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ, [Ἀεὶ γὰρ χαρακίζουσιν] αἱ μυῖαι [τοῖς προσθίοις σκέλεσιν.] τὸ δὴ [Χαρακίζουσιν] ἴσον ἐστὶ τῷ ἀποκαθαίρουσιν· ἀεὶ γὰρ ἀποκαθαίρουσι τοὺς ὀφθαλμοὺς τοῖς προσθίοις σκέλεσιν. ὡς γὰρ οἱ χάρακες ἀπείργουσι τοὺς πολεμίους, οὕτω καὶ τὰ πρόσθια σκέλη τῶν μυιῶν, ἀποδιώκουσι τὰ προσπίπτοντα τοῖς ὀφθαλμοῖς. ὅτι δέ φησι καὶ τὰ ὀπίσθια σκέλη μείζω ἐστὶ διὰ τὸ αἴρεσθαι ἀπὸ τῆς γῆς, μᾶλλον δῆλον ἐπὶ τῶν πηδητικῶν. οἷον ἐπὶ τῶν ἀκρίδων καὶ ψυλλῶν· ὅταν γὰρ κάμψαντα τὰ ὀπίσθια σκέλη καὶ ταπεινότερα γένηται ἐκ τῆς καμπῆς πάλιν ἐκτείνῃ, ἀνάγκη αἴρεσθαι μᾶλλον· εἰ γὰρ κάμψαντα ταπεινοῦται, καὶ ἔξω ἐκ τῆς καμπῆς γίνηται τοῖς προσθίοις τὰ ὀπίσθια, ἀνάγκη ἐκταθέντα αἴρεσθαι, καὶ ὑψηλότερα γίνεσθαι τὰ ὀπίσθια τῶν προσθίων. οὐκ ἔχουσι δὲ τὰ πηδαλιώδη σκέλη ἔμπροσθεν αἱ μυῖαι, καὶ ἀκρίδες, καὶ αἱ ψύλλαι, καὶ τὰ ὅμοια, ἀλλ' ὄπισθεν. ὅτι ἀνάγκη τὴν καμπὴν [Εἴσω] τουτέστι πρὸς τὴν κοιλίαν καὶ τὰ στέρνα. οὐδὲν δὲ τῶν τοιούτων ζῴων τὰ πρόσθια σκέλη ἀπὸ τὴν κοιλίαν καὶ τὰ στέρνα κάμπτει, ἀλλ' εἰς τὰ πλάγια. τὴν δ' ἀνάγκην τοῦ τὰ ὄπισθεν εἴσω κάμπτειν· τὰ δὲ πρόσθια εἰς τὰ σκέλη, εἴρηκεν ἐν τῇ περὶ ζῴων πορείας. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ ὅτι πάντα τὰ τοῦ σώματος τῶν ὀστρακοδέρμων μόρια, ἀνώνυμα ἐστὶ, πλὴν τοῦ, δι' οὗ δέχονται τὴν τροφήν· τοῦτο γὰρ μόνον καλεῖται στόμα. τὰ δὲ μαλακόστρακα πάντα πρὸς τῷ νευστικὰ εἶναι, καὶ πορευτικά ἐστιν. ὅσα δέ φησιν ἔχει χηλὰς, οὐ πρὸς τὸ πορεύεσθαι ἔχει αὐτὰς, ἀλλὰ πρὸς τὸ λαμβάνειν· διὸ καὶ ἑλίσσουσι, καὶ στρέφουσιν αὐτὰς πρὸς τὸ στόμα. ὥσπερ καὶ ἡμεῖς τὰς χεῖρας· [πλάτας], δὲ λέγει τὰς κώπας. οἱ δὲ μικροὶ πάμπαν φησὶ καρκῖνοι ἁλίσκονται διὰ τῶν μικρῶν ἰχθυδίων· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ. [Οἱ δὲ πάμπαν μικροὶ καρκῖνοι, οἱ ἁλίσκονται ἐν τοῖς μικροῖς ἰχθυδίοις] ἢ τὸ λεγόμενον τοιοῦτόν ἐστιν. οἱ ἁλίσκονται μετὰ τῶν μικρῶν ἰχθυδίων. συναλίσκονται γὰρ τοῖς μικροῖς ἀνθερίναις καὶ ἀμίαις, οὐ τοῖς τοιούτοις. τὰ δὲ λε-

τέρων οὖν τῶν στρομβωδῶν καὶ τῶν μαλακίων ἡ φύσις ἐναντίον ἔχει τὸν τρόπον. ὥσπερ εἴ τις νοήσειεν εὐθεῖαν τινὰ ὥσπερ ἐφ' ἡμῖν τε καὶ τοῖς τετράποσι, καὶ ἄλλοις πάνυ πολλοῖς τὴν α β γ δ. καὶ ἐπὶ μὲν τῷ ἄνω ἄκρῳ τῆς εὐθείας, τῷ α, νοήσει κείμενον τὸ στόμα. ἐπὶ δὲ τῷ β, τὸν στόμαχον. τῷ δὲ γ, τὴν κοιλίαν. ἀπὸ δὲ τοῦ γ ἄχρι τοῦ δ, τὸ λοιπὸν μέρος τοῦ σώματος ἅπαντος. ὡς νοεῖσθαι τὸ δ, ἐφ' ἡμῶν μὲν, τοὺς πόδας: ἐπὶ δὲ ὄφιων, τὸ πέρας τῆς οὐρᾶς καὶ ἁπλῶς ἐπὶ πάντων τὸ ἔσχατον τοῦ σώματος ἑκάστου: ἔπειτα νοήσει τὸ δ, ὅτι συνήχθη καὶ συνήφθη τῷ α. καὶ γέγονεν ὁ α β γ δ κύκλος. ὡς οὖν ἐπὶ τούτων τοιοῦτόν τι χρὴ νοεῖν καὶ ἐπὶ τῶν μαλακίων καὶ τῶν στρομβωδῶν καὶ τὴν μὲν α β γ δ εὐθεῖαν, ὑπονοεῖν ἄνθρωπον, ἢ ὄφιν, ἢ ἄλλο τι τῶν προμηκῶν ζώων. τὸν δὲ α β γ δ κύκλον, τὰ μαλάκια καὶ τὰ στρομβώδη, ἔχοντα συνηγμένα τὸ δ. ἤτοι τὸ κάτω πρὸς τὸ α, τὸ στόμα ἢ τὴν κεφαλήν. ἀλλὰ τὰ μὲν τῶν ἐναίμων ἐναντίον ἔχει τὸν τρόπον ὃν εἴπομεν ἐπὶ τῆς α β γ δ [Καὶ περὶ ἐστι,] τουτέστι περὶ τὸ μέρος τὸ ἀπὸ τῆς κεφαλῆς ἄχρι τοῦ πόρου. ᾗ τὸ περίττωμα ἀφίεται: ἔχουσί τε τὸ εἶν. καὶ ἄνευ τούτου οὐδέν τι τῶν ζώων δύναται εἶναί τε καὶ ζῆν. [Τὰ δὲ λοιπὰ μόρια] οἷον πόδες, χεῖρες, τούτων τε χάριν εἰσίν: λέγω δὲ τῆς κεφαλῆς καὶ παντὸς τοῦ θώρακος, καὶ ἕνεκα τοῦ κινεῖσθαι. βούλεται δὲ καὶ ἐν τοῖς μαλακίοις καὶ ἐν τοῖς μαλακοστράκοις καὶ ἐντόμοις, ἡ εὐθυωρία τῶν σπλάγχνων καὶ πάντων τῶν ἐντὸς, τὸν αὐτὸν ἔχειν τρόπον. καὶ εἶναι πρῶτον μὲν τὸν στόμαχον, εἶτα τὴν κοιλίαν, εἶτα τὸ ἔντερον, τὸ ἀπὸ τῆς κοιλίας ἄχρι τοῦ πόρου, ᾗ τὸ περίττωμα ἀφίεται διατείνοντος. ἀλλὰ δὴ τὸ συνῆχθαι τὰ ὄπισθεν πρὸς τὰ ἔμπροσθεν, καὶ τὰ κάτω πρὸς τὰ ἄνω, οὐ δοκεῖ τοιοῦτον ἔχειν τὸν τρόπον, καὶ τὰ μὲν ἐντὸς βούλεται ὁμοίως ἔχειν: τὰ δὲ ὄργανα οἷς χρῶνται πρὸς τὰς ὑπηρεσίας τὰς ἐκτὸς, τάτε ἔναιμα καὶ τὰ μαλάκια καὶ τὰ στρομβώδη, διαφέρουσι. καὶ πρὸς τούτοις, ὥσπερ εἴρηται, τὰ μαλάκια καὶ στρομβώδη τῶν ὀστρακοδέρμων ἔχει μὲν [Εαυτοῖς] τουτέστιν ἀλλήλοις, παραπλησίως: [Τούτοις δὲ] ἤτοι τοῖς ἐναίμοις δὲ, ἀντεστραμμένως: τῶν μὲν γὰρ μαλακίων καὶ στρομβωδῶν, κέκαμπται τὰ κάτω πρὸς τὰ ἄνω: τῶν δὲ ἐναίμων, οὐδαμῶς. σημειωτέον δὲ, ὅτι τὴν α β γ δ εὐθεῖαν, νῦν ε ἐκάλεσεν. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ τὰς σηπίας καὶ τὰς τευθίδας ἀνομοίως ἔχειν τοῖς πολύποσι, διὰ τὸ τὰς μὲν νευστικὰς μόνον εἶναι: τοὺς δὲ πολύποδας καὶ νευστικοὺς καὶ πορευτικούς. καὶ λέγει πῶς ἀνομοίως ἔχουσιν: ὅτι αἱ μὲν σηπίαι καὶ αἱ τευθίδες ὀκτάποδες οὖσαι ὥσπερ καὶ οἱ πολύποδες: ὀκτάποδες γὰρ καὶ οὗτοι. αἱ μὲν οὖν τοὺς πόδας τοὺς ὑπάρχοντας ἄνωθεν τῶν ὀδόντων αὐτῶν ἔχουσι μείζους. [Καὶ τούτων] ἤτοι τῶν ὑπαρχόντων ἄνωθεν τῶν ὀδόντων μᾶλλον εἰσὶ μείζους οἱ ἔσχατοι. καὶ αὖ πάλιν τούτων τῶν ὀκταπόδων, μεγίστους ἔχουσι τοὺς κάτωθεν δύο. οἵτινες κάτωθεν δύο μείζονες τυγχάνουσι καὶ τῶν ἄνωθεν δύο μεγάλων. τοὺς δὲ λοιποὺς μικρούς. οἱ δὲ πολύποδες ἀνομοίως. τοὺς μὲν μέσους τέσσαρας, μεγάλους: τοὺς δὲ ἄκρους, μικρούς. εἰπὼν δὲ τὰς τευθίδας καὶ σηπίας τοὺς κάτωθεν δύο πόδας μεγίστους ἔχειν, καὶ μείζονας τῶν ἄνωθεν δύο μεγάλων, τὴν αἰτίαν τοῦ διατί οὕτως ἔχουσιν, ἐπήγαγεν εἰπών. [Τὸ γὰρ φορτίον] καὶ τὸ βάρος τοῦ ὅλου σώματος, [Οὗτοι ἔχουσι καὶ κινοῦσι μάλιστα.] καὶ ἀπὸ τῶν μέσων δὲ μάλιστα οἱ ἔσχατοι δύο μείζους εἰσὶ τῶν πρὸ αὐτῶν [Διότι συνυπηρετοῦσι πρός τι τὸ βάρος ἔχειν τοῦ σώματος καὶ πρὸς τὸ κινεῖν] διότι δὴ συνυπηρετοῦσι τοῖς ἐσχάτοις τοῖς οὖσι μείζοσι τῶν ἄνωθεν μεγάλων. ἔχουσιν οὖν οἱ πόδες τῶν τευθίδων καὶ σηπιῶν ὡς συναγαγόντας εἰπεῖν, οὕτως. οἱ δύο ἄνωθεν ὄντες, τῶν ὀδόντων εἰσὶ μείζους: οἱ δὲ ἐφεξῆς τούτων, οἵτινες καὶ κάτωθεν εἰσὶν, τῶν ὀδόντων ἐλάττονες: οἱ δὲ ἐφεξῆς δύο, μείζονες τῶν πρὸ αὐτῶν διὰ τὸ συνυπηρετεῖν τοῖς ἐφεξῆς τούτων οὖσιν. οἱ δὲ ἐφεξῆς πάλιν τούτων δύο, εἰσὶ μείζους πάντων. ἔστωσαν δὴ οἱ μὲν ἄνωθεν τῶν ὀδόντων δύο πόδες, ἐφ' ᾧ τὸ α: οἱ δὲ ἐφε-





ἑξῆς τούτων, ἐφ' ᾧ β. οἱ δὲ ἐφεξῆς τοῖς β. ἐφ' ᾧ γ. καὶ ἔτι οἱ ἐφεξῆς τοῖς γ. ἐφ' ᾧ δ. οἱ μὲν οὖν ἐφ' ᾧ δ, οἱ καὶ ἔσχατοι εἰσὶ μείζους τῶν λοιπῶν τυγχάνουσιν ἕξ. οἱ δὲ ἐφ' ᾧ γ μείζους μὲν τῶν ἐφ' ᾧ β. ὡς συναπεριττοῦντος τοῖς ἐσχάτοις, τοῖς ἐφ' ᾧ δ. ἐλάττους δὲ τῶν ἐφ' ᾧ α. σαφῆ δὲ τὰ ἑξῆς. κοτυληδόνες δὲ καὶ πλεκτάναι ἐκ παραλλήλου κεῖνται, τὸ αὐτὸ σημαίνουσαι. ὥσπερ δέ φησι τὰ πλέγματα, ἃ ἐποίουν οἱ ἀρχαῖοι ἰατροὶ, δύναμιν εἶχον τοῦ κατέχειν, καὶ μὴ ἐᾶν ὑπεξέρχεσθαι, ἢ ὅλως κινεῖσθαι τὸν ἐμβληθέντα δάκτυλον ἐν αὐτοῖς, ὥστε τμηθῆναι, ἢ καυθῆναι, ἢ ἄλλως πως θεραπευθῆναι. οὕτω καὶ αἱ πλεκτάναι πεπλεγμέναι εἰσὶ ὑπὸ τῆς φύσεως ἐκ τῶν ἰνῶν, αἷς πλεκτάναις ἕλκουσι τὰ προσπίπτοντα· περιλαμβάνουσι γὰρ αἱ πλεκτάναι τὸ προσπίπτον. ὅταν οἱ πολύποδες οὐκ ὦσιν ἐκτεταμένοι· οἷόν τι ἐθεασάμην καὶ ἐγὼ ποιοῦντας τοὺς παῖδας ἐν ταῖς παιδιαῖς. οὗτοι γὰρ ἐκάμπτον τὸν μέγαν δάκτυλον τῆς χειρὸς, εἶτα ἐν τῇ καμπῇ ἐτίθουν μικρὸν ξυλάριον ὄρθιον κατὰ κάθετον ἱστῶντες αὐτὸ, εἶτα ἐξέτεινον τὸν δάκτυλον ἐκ περιφεροῦς εἰς εὐθὺ, καὶ οὕτως κατείχετο ὑπὸ τῆς τοῦ δακτύλου τάσεως. ὥστε ἵστατο ὄρθιον. τοιοῦτον δὴ συμβαίνει καὶ ἐπὶ τῶν πολυπόδων· ἅπτονται τῶν ἀλλήλων αἱ πλεκτάναι, τεταμένων ὄντων τῶν ποδῶν. ἐπειδὰν δὲ κάμψωσιν αὐτὰς, ἀνοίγνυνται καὶ ἀπ' ἀλλήλων ἀφίστανται. ὅταν δὲ ἐντὸς τῶν διαλειμμάτων ἐμπέσῃ τι, ἐκτείνουσι, καὶ συνέχεται τὸ ἐμπεσὸν· ὥσπερ καὶ τὸ εἰρημένον ξύλον ὑπὸ τοῦ μεγάλου δακτύλου. λέγει δὲ καὶ τοὺς πολύποδας τοὺς ἔχοντας λεπτοὺς καὶ προμήκεις τοὺς πόδας, μονοκοτύλους εἶναι. οὐ διὰ τὸ βέλτιον εἶναι τὸ μονοδακτύλους τῶν δικοτύλους. βέλτιον γὰρ μᾶλλον τὸ δικοτύλους εἶναι τοῦ μονοκοτύλους, ἀλλ' ὅτι ἀνάγκη οὕτως ἔχειν διὰ τὸν ἴδιον τῆς οὐσίας λόγον· ἐν τούτῳ γὰρ τὸ εἶναι ἔχουσιν. ὥσπερ καὶ τὰ ἄναιμα ἐν τῷ μὴ ἔχειν αἷμα. λέγει δὲ καὶ περὶ τῶν ἐλαττόνων τευθίδων, ὅτι [τοῦτο δὲ ἔχουσι] λέγων τοῦτο, τὸ πλατὺ πτερύγιον· ἔχουσιν οὖν τὸ πτερύγιον πλατὺ. ἵνα χρῶνται αὐτῷ ὥσπερ τινὶ κώπῃ πρὸς τὴν νεῦσιν. σαφῆ δὲ τὰ ἑξῆς. ἀνάγκη δέ φησι τοῦτο τὸ μόριον. λέγων [τοῦτο τὸ μόριον,] τὸν ἐγκέφαλον. ἀνάγκη οὖν τὸν ἐγκέφαλον ὑπάρχειν τοῖς ἐναίμοις· ἵνα καταψύχῃ τὴν καρδίαν. ἀντικείμενον δὲ τόπον εἴρηκε τὴν κεφαλήν· ἡ γὰρ κεφαλὴ ἀντίκειται τῷ τόπῳ, ἐν ᾧ κεῖται ἡ καρδία. ὡς τὰ πρός τι· ἡ μὲν γὰρ, ἄνω· ὁ δὲ, κάτω. εἰπὼν δὲ καὶ περὶ τῆς κεφαλῆς, καὶ τοῦ αὐχένος λέγει. [ἔτι δὲ τρίτον μόριον] ὑπέθετο τὴν τῆς τροφῆς εἴσοδον. τοῦτο δ' ἐστὶ τὸ στόμα καὶ λέγει τὰς αἰτίας δι' ἃς τὸ στόμα ἐνταῦθα κεῖται, ἐν ᾧ ἐστι, καὶ οὔτε ἄνωθεν, οὔτε κάτωθεν, καί φησιν· οὔτε γὰρ ἄνωθεν τῆς καρδίας, καὶ τῆς ἀρχῆς ἐνεδέχετο τὴν κοιλίαν· εἰσὶ δὲ τὰ λεγόμενα διὰ τούτων τοιαῦτα. εἰ μὲν οὖν ἦν τὸ στόμα ἐν τῷ βρέγματι ἢ τῇ κορυφῇ, ἔδει τὴν κοιλίαν ἄνωθεν κεῖσθαι τῆς καρδίας· οὐ γὰρ εἰκὸς ἦν τὸ μὲν στόμα κεῖσθαι ἐν τῇ κορυφῇ ἢ τῷ βρέγματι. τὴν δὲ κοιλίαν εἶναι ὅπου νῦν ἐστίν. οὕτω γὰρ ἂν πόῤῥω λίαν ἀπ' ἀλλήλων ἦσαν ἡ κοιλία, καὶ τὸ στόμα. οὐκ ἐνδέχεται δὲ πόῤῥω λίαν ἀπ' ἀλλήλων διεστηκέναι. ὅπου γε ἔν τισι, ὥσπερ τοῖς ἰχθύσιν, εὐθὺς μετὰ τὸ στόμα κεῖται. ἄνωθεν μὲν οὖν τῆς ἐν ᾧ ἐστιν, οὐκ ἐνδέχεται τὸ στόμα εἶναι· ἀλλὰ μὴν οὐδὲ τὴν κοιλίαν ἄνωθεν τῆς καρδίας δι' ἃς εἴρηκε πρότερον αἰτίας. εἰ δὲ κάτωθεν τῆς καρδίας ἦν ἡ κοιλία, ὃν τρόπον καὶ ἐνδέχεται ἔχειν καὶ ἔχει. εἰ οὖν ὡς εἴρηται κάτωθεν ἦν τῆς καρδίας ἡ κοιλία καὶ τὸ στόμα ἔκειτο κάτωθεν τῆς καρδίας, ἀναγκαῖον ἦν τὴν κοιλίαν κατωτέρω κεῖσθαι, καὶ οὐχ οὗ νῦν κεῖται. εἰ δὲ τοῦτο, ἦν ἂν πολὺ τὸ μῆκος τοῦ σώματος, καὶ ἀσύμμετρον. πρὸς δὲ τούτοις ἦν ἂν ἡ κοιλία, καὶ πόῤῥω τῆς ἀρχῆς τῆς κινούσης, καὶ πεττούσης· εἰ γὰρ τοῦ στόματος ὄντος κάτωθεν τῆς καρδίας, ἀναγκαῖον ἦν τὴν κοιλίαν ἀφεστηκέναι τοῦ στόματος, ὅσον καὶ νῦν ἀφέστηκε, πόῤῥω ἂν τῆς καρδίας

ἢν ἡ κοιλίαν. κοινὴν δὲ αἴσθησιν ἣν τὴν ἁφὴν λέγει. ταύτην γὰρ ἔχουσι πάντα τὰ ζῶα, ἢ ὥσπερ οἶμαι, ὁμοῦ πάσας τὰς πέντε. ὅτι δὲ τοῖς ἀνθρώποις τὸ ἀπὸ τῆς κορυφῆς ἄχρι τῆς ὀσφύος, καὶ τοῦ ἥτρου ἔλαττόν ἐστιν τοῦ ἀπὸ τῆς ὀσφύος, καὶ τοῦ ἥτρου ἄχρι τῆς πτέρνης, δῆλον. ὅτι δὲ καὶ πολυσαρκότερα τὰ κάτω τῶν ἄνω, ἐκδηλότερον. τὰ γὰρ ἰσχία (εἰσὶ δὲ ἰσχία ὡς προϊὼν ἐρεῖ, ἡ εὐθὺς μετὰ τὴν ὀσφὺν παρὰ σαρκώδης πρόσφυσίς τε καὶ προβολή. ὑφ' ὧν, καὶ τὰς καθέδρας ποιούμεθα. αἱ δὴ σάρκες, καὶ ἰσχία, καὶ πυγαὶ καλοῦνται) τὰ οὖν ἰσχία, καὶ οἱ μηροί, καὶ αἱ γαστροκνημίαι πολὺ τὸ σαρκῶδες πεπλουτήκασιν. ἀλλ' ἐπὶ μὲν τῶν ἀνθρώπων οὕτως. ἐπὶ δὲ τῶν ἀλόγων καὶ τετραπόδων, ἀνάπαλιν· τὸ μὲν γὰρ ἄνω, μέγα. ἄνω λέγων τὸ ἀπὸ τῆς κεφαλῆς ἄχρι τῆς ἕδρας, δι' ἧς ἐξέρχεται ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις. τὰ δὲ κάτω ἐστὶ τὰ σκέλη ἄσαρκα καὶ νευρώδη. λέγει δὲ τοὺς ἵππους ἧττον μᾶλλον τοὺς ὄνους· ἐγὼ γὰρ ἑωράκειν ἵππον πρεσβύτην θίξαντα τῆς κεφαλῆς μετὰ τοῦ ὄπισθεν ποδός. λέγει δὲ τοὺς ὄνους, νέους μὲν ὄντας, θιγγάνειν τῆς κεφαλῆς μετὰ τοῦ ὄπισθεν ποδός. πρεσβυτέρους δ' ὄντας ἀδυνατεῖν τοῦτο ποιῆσαι. καὶ τὰ μὲν οὖν μώνυχα, καὶ διχηλὰ οὕτως ἔχουσι τὰ ἄνω, καὶ τὰ κάτω· τὰ δὲ πολυδάκτυλα οἷον κύνες, καὶ τὰ ὅμοια τὴν τῶν ἄνω αὔξησιν πρὸς τὴν τῶν κάτω ἔλλειψιν, σύμμετρον ποιοῦνται. λέγει δὲ καὶ πάντα τὰ ζῶα ἀφρονέστερα τῶν ἀνθρώπων εἶναι, διὰ τὸ εἶναι νανώδη· καὶ ἐπ' αὐτῶν δὲ τῶν ἀνθρώπων τὰ παιδία, διὰ τὸ νάνα εἶναι, ἀφρονέστερα εἰσὶ τῶν ἀνδρῶν. καὶ τῶν ἀνδρῶν οἱ νάνοι, κἂν ἰσχυροὶ τύχωσιν ὄντες, ὅμως ἀφρονέστεροι εἰσὶ τῶν μὴ νάνων. λέγει δὲ καὶ ὅτι ἐλάττονος γινομένης τῆς θερμότητος, καὶ τὰ σώματα τῶν ζώων ἐλάττονα γίνεται, καὶ πολύποδα, καὶ τοῦτο εὐλόγως· οἱονεὶ γὰρ νεκρὰ ὄντα διὰ τὴν τοῦ θερμοῦ ὀλιγότητα δέονται πολυποδίας πρὸς τὸ κινεῖσθαι. δῆλα δὲ τὰ ἑξῆς. τὸν δὲ Ἀναξαγόραν ἱστορεῖ λέγειν τὸν ἄνθρωπον φρονιμώτατον εἶναι, διὰ τὸ χεῖρας ἔχειν. ὁ δὲ Ἀριστοτέλης λέγει ὅτι μᾶλλον διότι φρόνιμός ἐστιν ἔχει χεῖρας· οὐ μὴν διότι χεῖρας ἔχει, ἐστὶ φρόνιμος. ὥσπερ γὰρ ὁ φρόνιμος ἄνθρωπος τὰ ὄργανα δίδωσιν οἷον κορύνην, σπάθην, τόξον, τῷ δυναμένῳ τούτοις χρῆσθαι· ὁμοίως πρίονα τῷ δυναμένῳ πρίειν, οὕτω καὶ ἡ φύσις δέδωκε χεῖρας τῷ δυναμένῳ χρῆσθαι αὐταῖς· εὔλογον γὰρ καὶ ἀναγκαῖον τῷ μείζονι, καὶ κυριωτέρῳ, λέγω δὴ τῇ λογικῇ ψυχῇ, δοῦναι τὸ ἔλαττον, ἤτοι τὰς χεῖρας, ἀλλ' οὐ τῷ ἐλάττονι ταῖς χερσίν, δοῦναι τὸ μεῖζον, τὴν λογικὴν ψυχήν· εἰ οὖν οὕτω βέλτιον διδόναι τὰ ἐλάττονα τοῖς μείζοσι, καὶ οὐ τὰ μείζονα τοῖς ἐλάττοσι οὐχ ὡς Ἀναξαγόρας λέγει, ἔχει τὰς χεῖρας ὁ ἄνθρωπος, ἀλλ' ὡς ὁ Ἀριστοτέλης. ἡ δὲ χεὶρ φησὶν οὐκ ἔστιν ἓν ὄργανον, ἀλλὰ πολλά· ἐπειδὴ γὰρ τὰ ὄργανα οὐ δύνανται τὰς οἰκείας ἐνεργεῖν ἐνεργείας χωρὶς τῆς χειρός. ὅσοις ἄρα ὀργάνοις χρῆται ἡ χείρ, τοσαῦτα ἐστὶν ἡ χεὶρ ὄργανα· ἔστι γὰρ αὕτη πρότερον ὄργανον, καὶ μετ' αὐτὴν τὰ οἷς χρῆται. ταῦτα μὲν πρὸς τὸν Ἀναξαγόραν. λέγει δὲ μὴ καλῶς λέγειν τοὺς λέγοντας, οὐ καλῶς ἔχειν τὴν τοῦ ἀνθρώπου σύστασιν· διά τε τὸ ἀνυπόδητον εἶναι, καὶ γυμνόν, καὶ μὴ ἔχειν μηδὲν ὅπλον πρὸς ἀλκήν· ὥσπερ οἱ κάπροι μέν, τοὺς χαυλιόδοντας· ἵπποι, τὰς ὁπλάς· μέλισσαι, τὰ κέντρα· καὶ ἄλλα τῶν ζώων, ἕτερα. εἰπὼν δὲ μὴ καλῶς αὐτοὺς λέγειν ταῦτα περὶ ἀνθρώπου, ἐπαινεῖ αὐτὸς τὴν τοῦ ἀνθρώπου κατασκευήν, ἅμα τε καὶ δείκνυσιν ὅτι καλῶς ἔχει καὶ φησί· τὰ μὲν γὰρ ἄλλα μίαν ἔχει βοήθειαν οἷον κάπρος τοὺς χαυλιόδοντας μόνους. καὶ μέλιττα τὸ κέντρον, καὶ ἁπλῶς ἅπαντα οὕτως, καὶ οὐ μόνον ἓν ἕκαστον τούτων ἔχει τὸ ὅπλον, ἀλλ' οὐδὲ μεταλαβεῖν. ὁ μὲν κάπρος ἀντὶ τῶν χαυλιοδόντων, ἄλλο δύναται καὶ ἡ μέλιττα ἀντὶ τοῦ κέντρου, ἕτερον. ἀλλ' ἀναγκαῖον ἀεὶ καθεύδειν, ὥσπερ εἰ νοήσομεν ἄνθρωπον ἀεὶ καθεύδοντα ὑποδεδημένον ἢ ὡπλισμένον, καὶ μηδέποτε δυνάμενον τὰ ὅπλα καταθέσθαι· ὁ δὲ ἄνθρωπος πολλὰς ἔχει τὰς βοηθείας, καὶ δύναται τοῦτο μὲν καταλιπεῖν τὸ ὅπλον, λαβεῖν δ' ἕτερον, καὶ διότι δύναται πλείονα ὄργανα λαμβάνειν, ἐμηχανήσατο ἡ φύσις, καὶ τὸ τῆς χειρὸς εἶδος

τοιοῦτον. διαιρετὴν γὰρ αὐτὴν κατὰ τοὺς δακτύλους πεποίηκε, καὶ πολυσχιδῆ. καὶ διαιρετὴν ποιήσας αὐτὴν, τρόπον τινὰ διὰ τῆς διαιρέσεως, ἐποίησεν αὐτὴν, καὶ σύνθετον, καὶ ἡνωμένην: ἔνεστι γὰρ ἐν τῷ διαιρετῷ τὸ σύνθετον, καὶ ἡνωμένον: ἐπειδὰν γὰρ οἱ δάκτυλοι ἅπτωνται ἀλλήλων, ὥσπερ ἕν τι καὶ συνεχὲς γίνεται ἡ χείρ, ὥστε ἔστιν ἐν τῷ διαιρετῷ τὸ σύνθετον, καὶ ἁπτόμενον. ἐν δὲ τῷ συνθέτῳ, καὶ συνεχεῖ, τὸ διαιρετὸν οὐκ ἔνεστι, καὶ ἔστι χρῆσθαι τῇ χειρὶ, καὶ ἑνὶ, καὶ δυοῖν καὶ [πολλαχῶς] τουτέστι καὶ ἔστι χρῆσθαι τῇ χειρὶ, καὶ πρὸς μίαν πρᾶξιν, καὶ δύο, καὶ πολλάς. σαφῆ δὲ τὰ περὶ τῶν δακτύλων λεγόμενα. ἐκ πλαγίου δὲ βραχὺν καὶ παχὺν δάκτυλον λέγει, τὸν καλούμενον μέγαν. ὅστις μέγας δάκτυλος ἄνωθεν κάτω πιέζει, καὶ συνωθεῖ, ὅπερ οἱ ἕτεροι κάτωθεν ἄνω: ἐκείνων γὰρ κάτωθεν ἄνω πιεζόντων, καὶ τούτου ἄνωθεν κάτω, ἰσχυρῶς συνέχεται τὸ πιεζόμενον. τὸ δὲ, [Δεῖ δὲ τοῦτο συμβαίνειν, εἰ μέλλει ἰσχυρῶς ὥσπερ σύναμμα ἰσχυρὸν, συνδεῖν.] ἴσον ἐστὶ τῷ, δεῖ τοῦτο τὸ βραχὺ καὶ παχὺ συμβαίνειν τῷ μεγάλῳ δακτύλῳ, ἵνα εἷς ὢν, ἰσάζῃ τοῖς πολλοῖς: τὸ γὰρ βραχὺ, καὶ παχὺ ὑπὸ τῶν ὁμοειδῶν ἴσην ἔχει δύναμιν, πλειόνων μακρῶν, καὶ λεπτῶν. λέγει δὲ καὶ τὸν ἔσχατον δάκτυλον μικρὸν: τὸν δὲ μέσον, μακρόν. καὶ γὰρ καὶ αἱ μέσαι κῶπαι τῶν νεῶν, μακρότεραι τυγχάνουσι τῶν ἄκρων. τὸ δὲ, [Καὶ διὰ τοῦτο καλεῖται μέγας, μικρὸς ὤν,] περὶ τοῦ βραχέος, καὶ παχέος εἴρηκεν. αἱ δὲ καμπαὶ φησὶ τῶν βραχιόνων, ἐναντίως ἔχουσι τοῖς τετράποσιν: ἐκείνων μὲν γὰρ εἴσω κάμπτεται τὰ ἐμπρόσθια κῶλα. ἡ γὰρ ὁπλὴ τοῦ προσθίου σκέλους, ὅταν τοῦτο κάμπτῃ, πρὸς τὰ ὄπισθεν σκέλη ἄπεισιν. τῶν δὲ ὄπισθεν πρὸς τὰ πρόσθια, ὥστε εἴσω καὶ πρὸς τὰ στέρνα κάμπτουσι: διατί δὲ οὕτω κάμπτουσιν εἴρηκεν ἐν τῷ περὶ ζώων πορείας. κάμπτουσιν οὖν οὕτω ἵνα ᾖ χρήσιμα πρὸς τὴν πορείαν: ἐπεὶ βούλεται καὶ ἐν τοῖς πολυδακτύλοις τῶν τετραπόδων μὴ μόνον εἴσω κάμπτειν, ἀλλὰ καὶ ἑλίσσεσθαι, καὶ ὄπισθεν πρὸς τὴν ῥάχιν, καὶ ἄνω πρὸς τὴν κεφαλὴν, ὥσπερ καὶ αἱ χεῖρες: χρῶνται γὰρ ἀντὶ χειρῶν τοῖς προσθίοις ποσίν. ἀλλὰ δεῖ τὸ μὴ εἶναι χρησίμους πρὸς τὴν πορείαν, ἀλλὰ καὶ μᾶλλον ἀχρήστους, εἴπερ ἑλίσσοντο, οὐ δέδοται τοῦτο αὐτοῖς ὑπὸ τῆς φύσεως, ἀλλὰ τῶν τετραπόδων τὰ μὲν πολυδάκτυλα, τοῖς προσθίοις σκέλεσιν ἀμύνεται: τὰ δὲ μώνυχα, τοῖς ὄπισθεν: οὐ γὰρ ἔχει τοῖς μώνυξιν ἀνάλογον τὰ πρόσθια σκέλη τοῖς ἀγκῶσι: τῶν δὲ πολυδακτύλων τὰ πρόσθια σκέλη τοῖς ἀγκῶσι: τῶν δὲ πολυδακτύλων ἔνια ἔχει ἀνάλογον τὰ πρόσθια τοῖς ἀγκῶσι, καὶ διὰ τοῦτο ἀμύνεται τοῖς προσθίοις: ἔχει γὰρ αὐτὰ ὥσπερ ἀγκῶνας. ἰστέον δὲ ὅτι νῦν δὴ τοῦ ἀγκῶνος, τὴν ἅπασαν χεῖρα δηλοῖ. ἐν δὲ τῇ λέξει τῇ, [ῥᾶον γὰρ ἀνέγειν πρὸς τὸ μετεωρότερον.] τὸ ἀνέγειν ἀντὶ τοῦ ἀνυψοῖ, μετεωρίζει, εἴληπται. [Μεταξὺ δὲ] φησὶ [τῶν ἀγκώνων.] λέγων ἀγκῶνας καὶ νῦν, καὶ πρότερον, τούτε βραχίονα καὶ τὸ ἐφεξῆς, ἄχρι τῶν δακτύλων. μεταξὺ δὲ τῶν ἀγκώνων ἐστὶ φησὶ τὸ στῆθος ἐπὶ τῶν ἀνθρώπων: ὑπὸ δὲ τῶν τετραπόδων μεταξὺ τῶν προσθίων σκελῶν. λέγει δὲ καὶ ὅτι διήρθρωνται οἱ μαστοὶ ὑπὸ τῶν ἀνθρώπων, διὰ τὸ εἶναι σαρκώδεις. εἶναι δὲ καὶ τὸ στῆθος ὅθεν ἔχουσι τὸ εἶναι, σαρκῶδες, καὶ τοῖς μὲν ἄρρεσιν ὑπάρχουσιν οἱ μαστοὶ διηρθρωμένοι, καὶ δηλοῖ δὴ τὴν εἰρημένην αἰτίαν. εἶπε γὰρ ὅτι δεῖ σαρκώδη εἶναι τὰ περὶ τὸ στῆθος, ἵνα σκέπωσι τὴν καρδίαν. τοῦ δὲ στήθους διὰ τοῦτο σαρκώδους ὄντος ἕπεται καὶ ἡ τῶν μαστῶν διάρθρωσις, σαρκώδης οὖσα. τοῖς δὲ θήλεσιν ὑπάρχουσιν οἱ μαστοὶ, δι' ἃς σαφῶς λέγει αἰτίας. εἰσὶ δέ φησιν οἱ μαστοὶ σκληρότεροι μὲν τῆς ἄλλης σαρκὸς: διωρισμένοι δὲ καὶ κεχωρισμένοι ἀλλήλων. εἰ γὰρ μὴ ἦσαν κεχωρισμένοι, ἀλλ' ἡνωμένοι, οὔτ' ἂν ἐν τῷ δεξιῷ μέρει ἔκειντο, οὔτ' ἂν ἐν τῷ ἀριστερῷ. ἐν οἷς γὰρ ἄρτια εὑρίσκεται τὰ μέρη τὰ μὲν, τοῖς δεξιοῖς: τὰ δὲ, τοῖς ἀριστεροῖς προσνενέμηται μέρεσιν ὑπὸ τῆς φύσεως. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν ἐν οὐδετέρῳ τῶν εἰρημένων εἴησαν ἂν μερῶν. λοιπὸν ἦν ἄρα ἐν τῷ μέσῳ τοῦ στήθους κεῖσθαι αὐτὸν, ἢ

συμπίπτουσιν αἱ πλευραὶ, ἀλλ' ἦν αὖ ἐπίπονος ἡ φύσις, τῶν μαστῶν ἐνταῦθα κειμένων. δεῖ δὲ μὴ ἐπίπονον εἶναι. ἦν δ' ἂν ἐπίπονος, πρῶτον μὲν δὴ τὸ ἄσαρκον εἶναι τὸ μέρος τοῦτο, καθὸ συμπίπτουσιν αἱ πλευραί· τούτους δὲ δεῖ σαρκώδεις εἶναι, διὰ τὴν φύσιν αὐτῶν εἶναι σάρκας. ὥστ' ἐπιπόνως ἂν ἐκ τοῦ ἀσάρκου τὴν τροφὴν, καὶ μετὰ πολλῆς τῆς ἀνάγκης, ἐλάμβανον. ἔπειτα καὶ ῥᾳδίως ἂν πολλοῖς προσετρίβοντο διὰ τὸ πρόχειρον τῆς τοῦ τοιούτου τόπου θέσεως. τὰ δὲ ἑξῆς, δῆλα· λέγει δὲ τὸν ἐλέφαντα ἄνω περὶ τὰς μασχάλας ἔχειν τοὺς μαστοὺς, ὅτι ἐν τοῖς πολυτόκοις καὶ πλείονας ἔχουσι τοὺς μαστοὺς, πρῶτοι οἱ περὶ τὰς μασχάλας εἰσί. καὶ τάχα διότι καὶ ἐν ἐκείνοις πρῶτοι οὗτοι εἰσίν. ἔχει καὶ ὁ ἐλέφας τοὺς πρώτους. οἱ δὲ πρῶτοι τῶν μαστῶν ἐν τοῖς ἔχουσι πλείονας μαστοὺς, πλειστότερον ἐκ τοῦ σώματος ἱμῶνται, καὶ λαμβάνουσι γάλα τῶν ἄλλων μαστῶν· οἱ γὰρ ἄλλοι ὀλιγώτερον, καὶ λαμβάνουσιν, καὶ ἔχουσι τὸ γάλα. ἐπεὶ οὖν ὡς εἴρηται οἱ πρῶτοι μαστοὶ πλέον ἔχουσι τὸ γάλα ἤπερ οἱ ἄλλοι. δεῖται δὲ τὸ τοῦ ἐλέφαντος τέκνον, πλείονος τροφῆς, διὰ τὸ μέγεθος, καὶ τὴν θερμότητα, δέδωκεν ἡ φύσις τοῖς ἐλέφασιν ἀπὸ τῶν μαστῶν τοὺς πλείονας δυναμένους χορηγεῖν τὴν τροφήν. οὗτοι δ' εἰσὶν, ὡς εἴρηται, οἱ πρῶτοι, καὶ περὶ τὰς μασχάλας ὄντες. ὅτι δὲ οἱ πρῶτοι τῶν μαστῶν πλέον τῶν ἄλλων ἱμῶνται γάλα, σημεῖον φησὶ τὸ συμβαῖνον ἐπὶ τῶν ὑῶν· τοῖς γὰρ πρώτοις γινομένοις τῶν χοίρων ὡς μείζοσι, καὶ διὰ τοῦτο πλείονος δεομένοις τροφῆς, τοὺς πρώτους παρέχουσι μαστούς. φυσικῶς εἰδέναι τούτους πλέον ἔχειν τὸ γάλα. ἐπεὶ οὖν ἐπὶ τῶν πολυτόκων οὕτως ἔχει. καὶ οἱ πρῶτοι μαστοὶ τοῖς πρώτοις δίδονται παισὶν, ἀφ' ὧν ἄρα τὸ πρῶτον γινόμενον ἓν μόνον ἐστὶν, ἀνάγκη τὸ τοιοῦτον τοὺς πρώτους ἔχειν. λέγει δὲ καὶ διατί ἐν τοῖς μηροῖς ἔχει τοὺς μαστοὺς ἵππος, αἴξ, βοῦς καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα, καὶ φησίν. αἴτιον δὲ ὅτι τούτοις ἡ αὔξησις ἐπὶ τὸ ἄνω τοῦ σώματος ἐστί. καὶ ὅτι μὲν ἐπὶ τὸ ἄνω αὔξει ταῦτα πάντα, δῆλον· νανώδη γὰρ εἰσίν. ὅτι δὲ καὶ τὸ γάλα περίττωμα αἵματός ἐστιν, δέδεικται ἐν τῷ περὶ ζώων γενέσεως. ὅτι δὲ καὶ πάντα τὰ περιττώματα, τά τε ὑγρὰ, καὶ ξηρὰ πρὸς τὸ κάτω βρίθει, καὶ τοῦτο ἴσμεν. τούτων δὲ προδιωρισμένων τὸ λεγόμενον τοιοῦτον ἂν εἴη, ἐν ᾧ δύναται συλλογὴ γενέσθαι τοῦ γινομένου περιττώματος ἀπὸ τοῦ αἵματος, καὶ πλῆθος, ἐκεῖσε πεποίηκεν ἡ φύσις τοὺς μαστούς. δύναται δὲ συλλογὴ περιττώματος γίνεσθαι ἐν τῷ κάτω τόπῳ, καὶ περὶ τὰς ἐκροάς. δεῖ γὰρ τοῦ κάτω τόπου ἐκρεῖ τὰ περιττώματα. εἰκότως ἄρα ἐν τῷ κάτω τόπῳ γεγόνασιν οἱ μαστοί. τὸ δέ. [Ὅπου γὰρ κίνησις γίνεται τῆς τροφῆς, ἐντεῦθεν, καὶ λαβεῖν ἐστὶν αὐτοῖς δυνατὸν,] ταυτὸν ἐστὶ τῷ· ὅπου γὰρ κίνησις, καὶ χορηγία γίνεται τῆς τροφῆς ἐντεῦθεν αὐτοῖς ἤγουν τοῖς μαστοῖς, δυνατόν ἐστι λαβεῖν. ἐπειδὴ οὖν ὅπου ἡ χορηγία, ἐκεῖθεν καὶ λαμβάνειν ἐστὶ δυνατόν. γίνεται δὲ ἡ τοιαύτη χορηγία ἐν τῷ κάτω τόπῳ, καὶ περὶ τὰς ἐκροάς. εὐλόγως ἄρα ἐκεῖσε ἀπετέθησαν οἱ μαστοὶ, ἵνα εὐχερῶς τὴν τροφὴν λαμβάνωσι. σαφῆ δὲ τὰ ἑξῆς. ὑστέρας δὲ λέγει τὰς μήτρας, ἐν αἷς εἰσὶ τὰ ἔμβρυα. λέγει δὲ καὶ τὴν αἰτίαν διατί, ὅθεν ἐξέρχεται ἡ περίττωσις τῆς ὑγρᾶς τροφῆς, ἐκεῖθεν καὶ ἡ γονὴ, καὶ τὰ καταμήνια. φησὶν οὖν, ὅτι ἐπειδὴ ἡ γονὴ καὶ τὰ καταμήνια ὑγρὰ εἰσὶ, καὶ περιττώματα· εἰσὶ δὲ καὶ οὖρα ὑγρὰ, καὶ περιττώματα, εὔλογον, ὅθεν ἐκρεῖ τὸ ἕτερον, ἐκεῖθεν ἐκρεῖν καὶ θάτερον. ἰστέον δ' ὅτι, καὶ τὸ τῶν γυναικῶν αἰδοῖον, δύο ὀπὰς ἔχει. ὧν ἀπὸ τῆς μιᾶς ἔξεισι τὸ καταμήνιον· ἀπὸ δὲ τῆς λοιπῆς τὸ οὖρον. λέγει δὲ ὅτι, καὶ τὸ τῶν ἀρρένων ὄργανον, δι' οὗ ἀφιᾶσι τὴν τῆς ὑγρᾶς τροφῆς περίττωσιν, διαφορὰς ἔχει κατὰ τὰς τοῦ σώματος διαφοράς· οὐ γὰρ ὁμοίως ἅπαντα νευρώδη τὴν φύσιν ἐστίν· ἀλλὰ τὰ μὲν ἀκανθώδη, τὰ δὲ ὀστώδη, ὥσπερ εἴρηκε καὶ ἐν ταῖς περὶ τῶν ζώων ἱστορίαις· φησὶ δὲ ὅτι μόνον τὸ μόριον τὸ περὶ τὴν τῆς ὑγρᾶς περιττώσεως ἔξοδον, ἄνευ νοσερᾶς μεταβολῆς αὔξησιν ἔχει, καὶ ταπείνωσιν· ἐν μὲν γὰρ ταῖς ὀχείαις, αὔξει καὶ τάσιν λαμβάνει· ἐπειδὰν δὲ ἀπο-

ἀσθμαίνῃ τὸ ὀχεῦον ζῷον, ταπεινοῦται· ἀμφοτέρου γὰρ τούτων τῆς τε αὐξήσεως τοῦ τοιούτου μορίου, καὶ τῆς ταπεινώσεως, ἡ μὲν αὔξησις, χρήσιμος πρὸς τὸν συνδυασμόν· ἡ δὲ ταπείνωσις πρός τε τὸ πορεύεσθαι ἀνεμποδίστως, καὶ ἐξέρχεσθαι τὸ οὖρον· καὶ τὰς ἄλλας τὰς τοῦ σώματος χρείας· εἰ μὲν γὰρ ἀεὶ ἐντεταμένον ἦν, ἐνεπόδιζεν ἂν πρὸς τὴν πορείαν, καὶ τὰ λοιπά· εἰ δ' ἀεὶ τεταπεινωμένον, οὐκ ἂν συνήργει πρὸς τὰς ὀχείας. συνέστηκε δὲ τὸ τοιοῦτον τῶν ἀρρένων μόριον ἐκ χόνδρου, καὶ νεύρου. ταῦτα γὰρ ἐδήλωσε διὰ τῶν, [Εκ τοιούτων ὥστε δύνασθαι ταῦτα ἀμφότερα,] τήν τε αὔξησιν, καὶ τὴν ταπείνωσιν λαμβάνειν· τὰ γὰρ νεῦρα, καὶ τείνεται καὶ ἀνίεται τοῦ ἐν τῇ καρδίᾳ πνεύματος ἐκτεινομένου, καὶ συστελλομένου ὡς ἐν τῷ περὶ ζώων κινήσεως δέδεικται. συνεργεῖ δὲ, καὶ πρὸς τὸ ἰσχυροτέραν γίνεσθαι τὴν τοιαύτην τάσιν, καὶ ὁ χόνδρος. ὅταν δὲ ἐξέλθῃ τὸ σπέρμα συνεξέλθῃ καὶ τὸ πνεῦμα, ταπεινοῦται. λέγει δὲ διαφέρειν καὶ τὰ ὄπισθεν τῶν ἀνθρώπων, καὶ τὰ σκέλη πρὸς τὰ τετράποδα· τὰ μὲν γὰρ τῶν ἀνθρώπων σκέλη, σαρκώδη· τὰ δὲ τῶν τετραπόδων, ἄσαρκα καὶ νευρώδη. ὅτι δὲ καὶ οἱ ὠμοπλάται, καὶ τὰ ἐφεξῆς τῶν ἀνθρώπων, διαφέρει πρὸς τὰ τετράποδα, φανερόν. ἔχει δὲ πάντα σχεδὸν οὐ μόνον τὰ ζωοτόκα, ἀλλὰ καὶ τὰ ᾠοτόκα, κέρκον. καὶ γὰρ ἐπί τινων οὐκ ἔχει μέγεθος ἡ κέρκος, ὥσπερ καὶ ἐπὶ ἐλάφου, καὶ δασύποδος, καὶ ἄλλων πολλῶν. [Αλλὰ σημείου γε ἕνεκα,] τουτέστι τύπου γε ἕνεκα, καὶ χάριν ἀποπληρώσεως κέρκου ἔχουσί τινα βραχύτατον στόλον. λέγων στόλον, τὸ ὀστῶδες ἀφ' οὗ αἱ τῆς οὐρᾶς τρίχες ἐκφύονται. μόνος δὲ ὁ ἄνθρωπος ἐστὶν ἄκερκος. ἔχει δ' ἀντὶ κέρκου τὰ ἰσχία. τὴν μετὰ τὴν ὀσφὺν σαρκώδη οὐσίαν, δι' ἧς τὰς καθέδρας ποιούμεθα, καὶ διὰ τοῦτο τῶν τετραπόδων οὐδὲν ἔχει ἰσχίον. εἰ γὰρ εἶχεν, ἐδύνατο ἂν καθίζεσθαι, ὥσπερ οἱ ἄνθρωποι. λέγει δὲ καὶ τὴν αἰτίαν δι' ἣν ὁ μὲν ἄνθρωπος σαρκώδεις ἔχει τοὺς μηρούς, καὶ τὰς κνήμας· τὰ δὲ τετράποδα, ἄσαρκα καὶ νευρώδη. φησὶν οὖν ὅτι τούτων μὲν ἁπάντων αἰτία μία, ὡς εἰπεῖν, ὅτι μόνος ἐστὶν ὀρθὸς τῶν ζώων ὁ ἄνθρωπος. καὶ διὰ τοῦτο ἔδει τὰ ἄνω ἄσαρκα ἔχειν, καὶ κοῦφα· τὰ δὲ κάτω σαρκώδη, καὶ ἰσχυρά, ἵνα ῥᾳδίως φέρηται. ἅμα δὲ ἐπεὶ οὐ ῥᾴδιον τοῖς ἀνθρώποις δι' ὅλου ἵστασθαι, ἀφελοῦσα ἀπὸ τῶν ἄνωθεν τὸ σαρκῶδες πεποίηκε τὴν τῶν ἰσχίων φύσιν, ἵνα διὰ τούτων καθήμενοι ἀναπαυώμεθα. τοῖς δὲ τετράποσιν. [Εφ' ἕνα τόπον ἑστάναι.] καὶ προσυπακουστέον τὸ, ἀπέδωκεν. ἵνα τὸ πλῆρες, τοῖς δὲ τετράποσιν ἐφ' ἕνα τόπον ἑστάναι ἀπέδωκεν· ὑποκειμένων γὰρ τῶν τεττάρων ποδῶν. τούτους γὰρ εἶπεν [Ερείσματα.] συγκειμένης δὲ ἄνωθεν τοῦ λοιποῦ παντὸς σώματος, ὥσπερ τινὰ ὡσπερεὶ κατακείμενα διατελεῖ τὰ τοιαῦτα ζῷα. διὰ ταύτας οὖν τὰς αἰτίας ὁ ἄνθρωπος ἄκερκός ἐστι, καὶ ἔχει ἰσχία, καὶ τὰ σκέλη, σαρκώδη. οὐκ ἔχει δὲ κέρκον ὁ ἄνθρωπος, καὶ διὰ τὸ τὴν μέλλουσαν καταναλίσκεσθαι εἰς τὴν κέρκον τροφὴν εἰς τὰ σκέλη ἀναλίσκεσθαι. ἔχει οὖν, ὥσπερ εἴρηται, ὁ ἄνθρωπος ἐναντίως τοῖς τετράποσιν· ὁ μὲν γὰρ τὰ κάτω, σαρκώδη, καὶ βαρέα· τὰ δὲ ἄνω, κοῦφα καὶ ἄσαρκα· τὰ δὲ τετράποδα, νανώδη ὄντα· τὰ μὲν ἄνω, ἔχει βαρέα, καὶ σωματώδη· τὰ δὲ σκέλη, ἀνίσχια ἤτοι ἄσαρκα, καὶ σκληρά. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ τὰ μώνυχα ὡς ἐπιτοπολὺ μὴ ἔχειν ἀστράγαλον διὰ τὸ τὴν ὕλην τὴν μέλλουσαν ἀναλίσκεσθαι εἰς γένεσιν ἀστραγάλων, καταναλίσκεσθαι εἰς γένεσιν ὁπλῶν, καὶ ὀνύχων. διά τι οὖν τοῦτο λέγει αὐτὰ μὴ ἔχειν ἀστράγαλον, καὶ διὰ τὸ δυσκινητοτέραν εἶναι τὴν καμπὴν τοῦ ὄπισθεν σκέλους, ἀστραγάλου ἐνόντος· τὰ γὰρ μὴ ἔχοντα γωνίαν ὥσπερ τά τε ἡμέτερα γόνατα, καὶ αἱ χεῖρες, θᾶττον [illegible] τε, καὶ κάμπτει. βραδύτερον δὲ τὰ ἔχοντα πλείους γωνίας. ποιεῖ δὲ πολλὰς γωνίας ὁ ἀστράγαλος· οὗτος γὰρ ὥσπερ γόμφος ἐμβεβλημένος μεταξὺ τῶν δύο

ὀστῶν τοῦ τε ὑποκειμένου, καὶ ὑπερκειμένου γωνίαν ποιεῖ, καὶ ἄνω, καὶ κάτω, ὥσπερ καὶ οἱ ἀνέχοντες κίονες τὰς στοάς: κἀκεῖνοι γὰρ καὶ πρὸς τῇ ὑποκειμένῃ γῇ γωνίαν ποιοῦσι, καὶ πρὸς ταῖς ὑπερκειμέναις, καὶ ὑπ' αὐτῶν ἀνεχομέναις στοαῖς. ἀλλ' εἰ, καὶ δυσκινητοτέρους ποιοῦσι τοὺς πόδας οἱ ἀστράγαλοι: βάρος τε παρέχουσιν, ἀλλ' οὖν ἀσφαλεστέραν τὴν βάσιν ἀπεργάζονται. δῆλα δὲ τὰ ἑξῆς. λέγει δὲ τὰ διχηλὰ, καὶ μὴ μώνυχα, ἔχειν ἀστράγαλον, ὅτι ἡ ὕλη, καὶ τὸ ὀστῶδες, τὸ μέλλον ἀναλωθῆναι εἰς τὸ μώνυχα ἀποτελέσαι αὐτὰ, καταδαπανᾶται εἰς γένεσιν ἀστραγάλων. οὐκ ἔχει δὲ τὰ πολυδάκτυλα ἀστράγαλον, εὐλόγως. εἰ γὰρ εἶχεν ἀστράγαλον, τοσοῦτον ἂν ἐσχίζετο καὶ ὁ πούς αὐτῶν, ὅσον ἐπεῖχεν ὁ ἀστράγαλος. ἐπέχει δὲ ὁ ἀστράγαλος ὀλίγον πάμπαν τόπον, ὀλίγη ἂν ἦν καὶ ἡ σχίσις. εἰ δὲ τοῦτο οὐκ ἂν ἦν πολυδάκτυλα. λέγει δὲ καὶ ὅτι τὸ ἄσχιστον μόριον τοῦ ποδὸς τῶν δακτύλων μεῖζον μόριον: τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ. [Δεῖ δὲ τοῦτο μόριον νομίζειν εἶναι τὸ ἄσχιστον τοῦ ποδὸς τῶν δακτύλων.] ἀναγνωστέον δὲ τὴν λέξιν οὑτωσί. τοῦτο τὸ ἄσχιστον μόριον τοῦ ποδὸς, δεῖ νομίζειν μεῖζον εἶναι τῶν δακτύλων. λέγει δὲ καὶ βραχεῖς εἶναι τοὺς τῶν ποδῶν δακτύλους, καὶ οὐ μακροὺς, εὐλόγως. εἰ γὰρ ἦσαν μακροὶ, προσέπταιον ἂν τοῖς λίθοις, καὶ ἐβλάπτοντο. τὰ δὲ ἑξῆς δῆλα, ἰστέον δὲ, ὅτι πολλάκις θέντες τό. τὰ δὲ ἑξῆς δῆλα. καὶ, φησὶ δὲ τὰ ἑξῆς. οὐκ ἔτι ἄλλο προσθήσομεν. ἀλλὰ τὰ μὲν σαφῆ σιγῇ παραδραμοῦμεν. τοῖς δὲ δεομένοις σαφηνείας ἐπιστήσομεν. λέγει δὲ τοὺς ὄφεις, παραπλησίως ἔχειν τὴν μορφὴν τοῖς τετράποσι καὶ ᾠοτόκοις. τετράποδα δὲ, καὶ ᾠοτόκα εἰσὶν, αἵ τε σαῦραι, καὶ ἄλλα πολλά: λέγει δὲ καὶ τοῖς ἰχθύσι, διὰ τὸ μὴ ἐνδέχεσθαι αὐτοὺς μασᾶσθαι, μὴ δὲ προσγίνεσθαι, μὴ ἐγγίνεσθαι τὴν ἀπὸ τῆς γεύσεως καὶ μασήσεως ἡδονήν. ἀλλὰ μόνην τὴν ἀπὸ τῆς καταπόσεως: ἡ μὲν γὰρ γλῶττα αἴσθησιν ποιεῖ τῶν χυμῶν. οἷον γλυκέων, πικρῶν τε τῶν τοιούτων: οἱ δ' ἰχθύες, γλῶτταν μὴ ἔχοντες, εὔδηλον ὡς οὐδὲ αἴσθησιν ἔχουσι τῶν χυμῶν τῶν ἐδεστῶν. οἷον λιπαρῶν, καὶ θερμῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπειδὴ ἡ αἴσθησις ὅταν καταπίνωμεν ἐγγίνεται: ἐν τῇ καταπόσει ἡ τῶν ἐδεστῶν ἡμῖν ἐγγίνεται αἴσθησις. καταπίνουσι δὲ καὶ οἱ ἰχθύες αἰσθάνονται τῆς ἀπὸ τούτων ἡδονῆς ἐν τῇ καταπόσει. ἔχει μὲν οὖν καὶ τὰ ζωοτόκα, πρὸς τῇ ἀπὸ τῆς γεύσεως αἰσθήσει, καὶ τὴν ἀπὸ τῆς καταπόσεως αἴσθησιν. καὶ σχεδὸν τῶν πλείστων ὄψων, καὶ ἐδεστῶν ἡ χάρις, καὶ ἡ ἡδονὴ γίνεται ἐν τῇ καταπόσει τεινομένου τοῦ οἰσοφάγου, καὶ εὐρυνομένου. ὅτι δὲ ἡ ἀπὸ τῆς καταπόσεως ἡδονὴ, καὶ αἴσθησις ἑτέρα ἐστὶ τῆς ἀπὸ τῆς γεύσεως, σημεῖον τὸ μὴ τοὺς αὐτοὺς εἶναι ἀκρατεῖς περί τε τοὺς χυμοὺς καὶ τὰ πόματα: ὧν χυμῶν καὶ πομάτων ἡ αἴσθησις ἐν τῇ γεύσει γίνεται. καὶ τὰ ὄψα, καὶ τὴν ἐδωδὴν: ὧν ὄψων, καὶ ἐδωδῆς πάλιν ἡ αἴσθησις γίνεται ἐν τῇ καταπόσει. εἰ γὰρ ἦν ἡ ἀπὸ τῆς καταπόσεως αἴσθησις ἡ αὐτὴ ἀπὸ τῆς γεύσεως, πᾶς ὁ ἀκρατευόμενος περὶ μίαν τούτων, ἠκρατεύετο ἂν καὶ περὶ θατέραν, καὶ τοῖς μὲν ἄλλοις ζῴοις πρὸς τῇ ἀπὸ τῆς καταπόσεως. καὶ ἡ κατὰ τὴν γεῦσιν ὑπάρχει αἴσθησις. ἐκείνοις δὲ τοῖς τε ἰχθύσι, καὶ τοῖς τετράποσι, καὶ ᾠοτόκοις ἡ ἀπὸ τῆς καταπόσεως μόνη. πάντα δὲ τὰ ἔχοντα τὴν γλῶτταν, διχρόαν, ἐπεὶ καὶ λίχνα ἐστὶν, ὥσπερ εἴρηται πρότερον, ἀλλὰ διὰ τὸ μὴ εὐπορεῖν πολλῆς τῆς τροφῆς ἰσχνὰ ἐστί. λέγει δὲ καὶ περὶ τοῦ ποταμίου κροκοδείλου κινεῖν τὴν ἄνω σιαγόνα δι' αἰτίαν τοιαύτην. ἐπειδὴ γὰρ φησὶν ἀχρήστους ἔχει τοὺς πόδας πρὸς τὸ λαβεῖν, καὶ κατασχεῖν, ἀντὶ ποδῶν ἡ φύσις τὸ στόμα χρήσιμον αὐτῷ πεποίηκεν. ὅθεν οὖν χρήσιμον ἦν ἰσχυροτάτην γίνεσθαι τὴν πληγὴν, ἐκεῖθεν καὶ τὴν σιαγόνα κινεῖσθαι πεποίηκεν: ἰσχυροτέρα γὰρ γίνεται ἡ πληγὴ ἀεὶ, ἡ ἄνωθεν. εἰκότως ἄρα τὴν ἄνω σιαγόνα κινεῖσθαι πεποίηκεν. καὶ τοῖς μὲν καρκίνοις ἄλλοις, ὅσοις ἐνδέχεται σχολαίως τὴν λῆψιν ποιεῖσθαι, διὰ τὸ μὴ ἐν ὑγρῷ εἶναι τὴν χρῆσιν τοῦ σώματος: τὰ γὰρ

σύγγρα, καὶ τὴν λῆψιν, καὶ τὴν κατάποσιν ταχεῖαν ποιεῖται. τοῖς μὲν δὴ καρκίνοις, καὶ τοῖς τοιούτοις διήρηται τὰ μόρια, καὶ ἅμα μὲν ἔχει πρὸς τὸ λαβεῖν, καὶ κατασχεῖν· ἅμα δὲ πρὸς τὸ μασσᾶσθαι· τοῖς δὲ κροκοδείλοις, καὶ πρὸς τὸ λαμβάνειν, καὶ πρὸς τὸ μασσᾶσθαι, τὸ στόμα πεποίηκεν ἡ φύσις χρήσιμον. λέγει δὲ τοὺς ὄφεις μὴ ἔχειν αὐχένα διὰ τάδε· ἐπειδὴ γὰρ ὁ αὐχὴν μεταξύ ἐστι κεφαλῆς καὶ ὤμων· οἱ δὲ ὄφεις ὤμους οὐκ ἔχουσιν, οὐδ᾽ αὖ αὐχένα ἔχουσι· ὁ γὰρ αὐχὴν ὡς εἴρηται [Τοῖς εἰρημένοις ἐσχάτοις] τουτέστι τῇ κεφαλῇ, καὶ τοῖς ὤμοις διορίζεταί τε, καὶ περιορίζεται. λέγει δὲ τοὺς ὄφεις. [Στρέφειν τὴν κεφαλὴν εἰς τοὔπισθεν, ἠρεμοῦντος τοῦ λοιποῦ σώματος.] οὐ τοῦτο δέ φησιν ὅτι ἀκινητίζοντος πάμπαν τοῦ λοιποῦ σώματος στρέφει τὴν κεφαλήν· κινούμενος γὰρ τὴν κεφαλὴν αἴρει τε, καὶ εἰς τοὔπισθεν στρέφει, ἀλλὰ τὸ [Ἠρεμοῦντος] ἀντὶ τοῦ ἐν τῷ αὐτῷ σχήματι μένοντος, ἐν ᾧ τυγχάνει ὢν κινούμενος, εἴληπται· τυγχάνει δὲ κεκαμμένος· διὰ γὰρ καμπτῶν τὴν κίνησιν ποιεῖται. ὡς ἐν τοῖς περὶ ζώων πορείας εἴρηται. ἐν δὴ τῷ τοιούτῳ σχήματι ὢν καὶ κινούμενος, αἴρει τε, καὶ στρέφει τὴν κεφαλὴν, καὶ φυλάττει τὸ ὄπισθεν. λέγει δὲ τὴν τῆς κεφαλῆς εἰς τοὔπισθεν στροφὴν ποιεῖσθαι διὰ δύο αἰτίας. διὰ μὲν τὴν ὑλικήν· ταύτην γὰρ ἀνάγκην εἶπεν, ὅτι ἑλικτόν ἐστι, καθάπερ καὶ τὰ ἔντομα· διὰ δὲ τὸ βέλτιστον, καὶ τὸ οὗ ἕνεκα, χάριν φυλακῆς τῶν ὄπισθε βλαπτόντων. λέγει δὲ τὸν χαμαιλέοντα εἶναι ἰσχνότατον διὰ τὸ δειλὸν εἶναι· τὸ γὰρ δειλὸν, ψυχρόν· τὸ δὲ ψυχρὸν, οὐ θερμόν· τὸ μὴ θερμὸν, ὀλίγαιμον. τὸ δὲ ὀλίγαιμον, ἰσχνόν. ἡ γὰρ εὐσαρκία διὰ πέψιν αἵματος γίνεται· οἱ δὲ ὄρνιθες φησίν, ἔχουσι τὴν τοῦ ῥύγχους φύσιν [περιττὴν] ἤτοι μεγάλην, ἢ μᾶλλον εὖ ἔχουσαν πρὸς φυλακὴν τῶν ἐπιβουλευόντων. λέγει δὲ αὐτοὺς ἔχειν, καὶ τὸν αὐχένα τεταμένον, καὶ εὐθύτατον, καὶ οὐχὶ κεκαμμένον. λέγει δὲ ὅτι εἰ εἶχον βραχὺν αὐχένα οἱ ὄρνιθες ἐπὶ σκέλεσι μακροῖς, οὐκ ἂν ὑπηρέτει αὐτοῖς πρὸς τὴν ἀπὸ τῆς γῆς νομήν. ὁμοίως δὲ ἄχρηστος ἂν ἦν, εἰ μακρὸς ἦν ἐπὶ σκέλεσι βραχέσιν· εἵλκετο γὰρ ἂν ὑπὸ τῆς γῆς, καὶ παρεῖχεν αὐτοῖς βάρος, καὶ πόνον. μάλιστα δὲ ἀχρεῖος ἂν ἦν ἐπὶ τῶν σαρκοφάγων, εἰ μακρὸς ὑπῆρχεν αὐτοῖς, καὶ ἐναντίος πρὸς τὸν βίον· ὁ γὰρ μακρὸς αὐχὴν, ἀσθενής· ὁ δὲ βραχὺς, ἰσχυρός. δέονται δὲ ἰσχυροῦ, διὰ τὸ τὸν βίον αὐτῶν, καὶ τὸ ζῆν εἶναι ἐκ τοῦ κρατεῖν, καὶ θηρεύειν· τὰ αὐτὰ δὲ εἴρηκεν ἅμα τε στεγανόποδα, καὶ διῃρημένους ἔχοντα τοὺς πόδας, καὶ σεσημασμένους. διῃρημένους μὲν, διότι οὐκ εἰσὶν, ὥσπερ οἱ τῶν χηνῶν καὶ νηττῶν, ἀλλ᾽ ἐσχισμένοι, ὥσπερ καὶ τῶν ἀλεκτορίδων. διὰ τοῦτο οὖν αὐτοὺς εἶπε [Διῃρημένους.] στεγανόποδα δὲ εἶπεν αὐτὰ διότι πλατυδάκτυλα ὄντα καὶ [Σεσημασμένους] ἔχοντα τοὺς δακτύλους. τουτέστιν ὥσπερ σιμὴν εἶναι. ὁ γὰρ σιμὸς εἰς, πλατεῖα ἐστίν. πλατεῖς οὖν ἔχοντα τοὺς δακτύλους, καὶ διὰ τὸ πλάτος ἁπτομένους ἀλλήλων, οὐδὲν ἀποδέουσι τῶν στεγανοπόδων. ἁπλῶς δὲ στεγανόποδα λέγει τὰ κυρίως στεγανόποδα, οἷον χῆνας, καὶ τὰ ὅμοια. κατὰ δὲ τὸ μόριον ταυτὸ στεγανόποποδα φησὶ τὰ σεσημασμένους ἔχοντα τοὺς δακτύλους. λέγει δὲ τὰ πρανῆ τοῦ σώματος, καὶ τὰ ὕπτια καὶ τὰ ἐπὶ τῶν τετραπόδων καλούμενα θώρακος μέρη, ἐπὶ τῶν ὀρνίθων εἶναι [Ὁλοφυῆ] τουτέστι περιφερῆ, καὶ στρογγύλα. λέγει δὲ τὰς πτέρυγας ἔχειν ἀπηρτημένας ἀπὸ τῶν βραχιόνων. λέγων βραχίονας ἐπὶ τῶν ὀρνίθων τὸ μόριον τὸ ἀναλογοῦν τῷ ἡμετέρῳ βραχίονι. τὸ δὲ λοιπὸν, τὸ ἀπὸ τοῦ ἀναλογοῦντος τῷ ἡμετέρῳ ὀλενοκράνῳ· ὀλενόκρανον δ᾽ ἐστι, δι᾽ οὗ κάμπτεται ὁ βραχίων. τὸ δὴ ἀπὸ τοῦ ἀναλογοῦντος τῷ ἡμετέρῳ ὀλενοκράνῳ ἄχρι τοῦ τέλους μέρος, πτέρυγας ὀνομάζει. ἔχουσι δὲ οἱ ὄρνιθες τὰ τελευταῖα τῶν οἰκείων βραχιόνων τὰ προσπεφυκότα τοῖς νώτοις. ταῦτα δὴ ἔχουσιν ἀντὶ τῆς ὠμοπλάτης. ἔχουσι δὲ καὶ τὰ σκέλη κεκαμμένα ἔσω πρὸς τὴν κοιλίαν, καὶ οὐκ ἔξωθεν, ὥσπερ ὁ ἄνθρωπος. τὰς δὲ πτέρυγας, ἀνθ᾽ ὧν ἔχουσι τὰ τετράποδα τὰ πρόσθια σκέλη, ἔχουσι κεκαμμένας ἐπὶ τὸ περιφερές. τί δὲ τὸ ἔσω, καὶ ἔξω, καὶ περιφερὲς εἴρηταί μοι ἐν ταῖς εἰς τὸ περὶ ζώων πορείας, σχολαῖς· ἐκείνης γὰρ οἰκεῖα ταῦτα· ἐκεῖ γὰρ ὄντος περὶ τούτων προηγουμένως λέγει: ἐπεὶ

γαι· ἐπεὶ οὖν τὸ μὲν στῆθος ἔχουσιν οἱ ὄρνιθες ὀξύ. τὰς δὲ πτέρυγας, καὶ τοὺς βραχίονας οὕτω κεκαμμένους, εἰκότως συμβαίνει τὸ σῶμα αὐτῶν εἶναι [Ὁλοφυὲς] ἤτοι περιφερὲς, καὶ στρογγύλον. ἐπεὶ δὲ πάντα τὰ ἔναιμα τέτρασι σημείοις κινεῖται, ὡς ἐν τοῖς περὶ ζώων πορείας δέδεικται, ἐξ ἀνάγκης ἐστὶ δίπουν τὸ τῶν ὀρνίθων γένος. εἰ γὰρ ἦν τετράπουν, ἐκινεῖτο ἄν. πλείοσι τῶν τεττάρων σημείων τοῖς τέτρασι ποσί. καὶ ταῖς δυσὶ πτέρυξιν. οὐδὲν δὲ ἔναιμον πλείοσι τῶν τεσσάρων σημείων κινεῖται, ὡς ἐν ἐκείνοις δέδεικται. ὅτι δὲ καὶ ὁ ἄνθρωπος τέτρασι σημείοις κινεῖται. δύο μὲν τοῖς ποσὶ καὶ δύο δὲ τοῖς ὤμοις, δέδεικται καὶ τοῦτο ἐν ἐκείνοις. λέγει δὲ τοὺς ὄρνιθας εἶναι τενικοὺς, καὶ ἰσχυροὺς κατὰ τὰ πτερύγια. λέγει δὲ καὶ πάντα, ὅσα ζωοτοκεῖται, ἢ ᾠοτοκεῖται, ἐν τῇ γενέσει ἔχειν ὀμφαλόν· τῶν δ᾽ ὀρνίθων αὐξηθέντων, ἄδηλος ἐστίν. λέγει δὲ τὴν ἀκριβῆ τούτων αἰτίαν εἰπεῖν ἐν τοῖς περὶ ζώων γενέσεως, ἀλλὰ καὶ ἐνταῦθα λέγει ὅτι ἐπὶ τῶν ὀρνίθων ἡ σύμφυσις τοῦ ὀμφαλοῦ, εἰς τὸ ἔντερόν ἐστιν· οὐδὲν δὲ ἔντερον δύναται ἐκτὸς εἶναι τοῦ θώρακος. διὰ τοῦτο εἰσερχομένου, ἄδηλον γίνεται ἐπὶ τῶν ὀρνίθων ὁ ὀμφαλός· ἐπὶ δὲ τῶν ζωοτόκων, ἐπειδὴ μόριον τι τῶν φλεβῶν τυγχάνει ὂν ὁ ὀμφαλός· αἱ δὲ φλέβες δύνανται ἐκτὸς εἶναι. καὶ περὶ τὸ δέρμα, εὐλόγως ἐστὶ φανερός. λέγει δὲ τοὺς πτητικοὺς ὄρνιθας, ὡς πρὸς τὴν ἀναλογίαν τοῦ οἰκείου σώματος, μεγάλας ἔχειν τὰς πτέρυγας καὶ τὰ ἐν τούτοις πτερά. τοῖς δὲ γαμψώνυξιν, ἄχρηστα εἶναι τὰ πλῆκτρα. ὑπάρχειν δὲ μᾶλλον ταῦτα ἐν τοῖς τῶν βαρέων ὀρνίθων σκέλεσι, διὰ τὸ χρήσιμα εἶναι ἐν ταῖς πεζαῖς μάχαις· τούτοις δὲ τοῖς βαρέσιν ὄρνισι, καὶ πεζεύουσιν, οὐ μόνον ἄχρηστοι εἰσὶν οἱ γαμψοὶ ὄνυχες, ἀλλὰ καὶ βλαβεροί· ἐμπηγνύμενοι γὰρ ἐν τῇ γῇ οὐκ ἐῶσιν αὐτοὺς ἀνεμποδίστως πορεύεσθαι. διὸ καὶ τὰ γαμψώνυχα πάντα χαλεπῶς πορεύεται, ἢ οὐδὲ πορεύεται. ἀλλὰ καὶ ἅλλεται· οὐδεὶς δὲ τῶν ὀρνίθων ἅμα πλῆκτρά τε ἔχει, καὶ ῥύγχους μέγεθος. ὁμοίως δὲ καὶ ὀνύχων μέγεθος ἐπὶ τῶν ποδῶν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ, [Ἅμα δ᾽ ἄλλοθι, καὶ ἀλλαχόθι ἕκαστα τούτων οὐ ποιεῖ.] ἀσθενὴς γὰρ γίνεται ἡ ὕλη εἰς πολλὰ διασπωμένη, καὶ οὐκ ἀρκεῖ ἅμα εἰς γένεσιν πολλῶν. εἰσὶ δὲ οἱ δάκτυλοι τῶν μὴ ἁπλῶς στεγανοπόδων, οἷον πλάται καὶ κῶπαι συνεχεῖς. λέγει δὲ καὶ ὅτι καθάπερ, ἡ τῶν ἰχθύων τὰ πτερύγια κοπῇ, ἢ τῶν στεγανοπόδων οἱ πόδες χιθῶσιν, οὐκ ἔτι νέουσιν. ἔνιοι δὲ τῶν ὀρνίθων μακροσκελεῖς εἰσι, διὰ τὸ τὸν βίον τῶν τοιούτων ἐν ἕλεσι, καὶ τέλμασιν εἶναι· ἡ δὲ φύσις ποιεῖ τὰ ὄργανα, ὁμοίως καὶ ἡ τέχνη, ἐπιτήδεια πρὸς τὰ ἔργα, ἀλλ᾽ οὐ τὰ ἔργα πρὸς τὰ ὄργανα. διὰ μὲν οὖν τὸ μὴ πλωτὰ εἶναι τὰ ἐν ἕλεσι ζῶντα, οὐκ εἰσὶ στεγανόποδα· διὰ δὲ τὸ [Ἐν ὑπείκοντι] τουτέστιν ἐν πηλοῖς, καὶ τέλμασιν εἶναι τὸν βίον αὐτῶν, μακροσκελῆ, καὶ μακροδάκτυλα· εἰ μὲν γὰρ ἦν ἐν τῇ ξηρᾷ ὁ βίος αὐτῶν, ἦσαν ἂν βραχυδάκτυλα, ἵνα μὴ προσπταίοντες βλάπτοιντο. ἐπειδὴ δὲ [Ἐν ὑπείκοντι] ἤγουν τέλματι πεποίηκεν αὐτὰ ἡ φύσις μακροδάκτυλα. ἐπεὶ δὲ πτητικὰ μὲν οὐκ εἰσὶ τὰ ἐν τέλμασι καὶ ἕλεσι ζῶντα, ἐκ τῆς δ᾽ αὐτῆς ὕλης εἰσὶ πάντα ἤτοι τὸ ὀρροπύγιον, τὸ ῥύγχος, τὰ σκέλη, ὄνυχες, τὰ πλῆκτρα· ἐκ τῆς γεώδους γὰρ, ἡ μέλλουσα καταναλίσκεσθαι ὕλη εἰς αὔξησιν ὀρροπυγίου εἰς τὰ σκέλη καταναλισκομένη, τὰ μὲν σκέλη ηὔξησεν, ἐκεῖνο δὲ βραχύτατον ἐγεγόνει. καὶ τὰ μὲν μακροσκελῆ, τὴν πτῆσιν ποιεῖται, εἰς τὸ ὄπισθεν ἀποτείνοντα τὰ σκέλη· χρῶνται γὰρ αὐτοῖς ἀντὶ πηδαλίου, ὥσπερ ἄλλα τῷ ὀρροπυγίῳ. τὰ δὲ βραχυσκελῆ, τῷ μὲν ὀρροπυγίῳ ὡς εἴρηται χρώμενα ἀντὶ πηδαλίου, τὰ σκέλη ἔχουσι πρὸς τῇ γαστρὶ, ἀλλὰ τοῖς μὲν βραχυσκελέσιν ὄντα πρὸς τῇ γαστρὶ οὐκ ἐμποδίζει πρὸς τὴν πτῆσιν. τοῖς δὲ γαμψώνυξιν ὄντα ἐν αὐτῇ καὶ συμβάλλεται μεγάλα πρὸς ἁρπαγήν· ἐν τῇ γαστρὶ γὰρ κείμενα εὐκόλως ἁρπάζουσι τὰ διωκόμενα· λέγει δὲ τοὺς ἔχοντας λεπτὸν καὶ μακρὸν τὸν αὐχένα, ἵπτασθαι συγκάμπτοντας αὐτόν· οὐδαμῶς γὰρ θραύεται διὰ τὸ ὥσπερ ἐσκεπάσθαι καὶ φυλάττεσθαι ὑπὸ τῶν καμπτῶν· πάντες δὲ οἱ ὄρνιθες ἔχουσιν ἰσχίον. ἐκεῖσε δὲ ἔχουσι τοῦτο κείμενον, ὅπου οὐκ ἂν ὑπονοήσειε τις ὅλως εἶναι ἰσχίον. ἐντὸς γὰρ ἔχουσι τοῦτο τοῦ θώρακος κείμενον. ἐφεξῆς δὲ τῷ ἰσχίῳ τὸν μηρόν· συνεχῆ μὲν τῷ ἰσχίῳ· ἐκτὸς δὲ τ

θώρακος. ἴσχει δὲ καὶ ἰσοδυναμεῖ τὸ τοιοῦτον ἰσχίον δύο μηροῖς· τείνει γὰρ μέχρι μέσης τῆς γαστρός· αἴτιον δὲ τοῦ τετάσθαι μέχρις αὐτῆς τὸ δίπουν εἶναι τὸ τῶν ὀρνίθων γένος, καὶ μὴ ὀρθόν· ὥστε εἴ γε βραχὺ τὸ τῶν ὀρνίθων γένος εἶχε τὸ ἰσχίον, καὶ ἀπὸ τῆς ἕδρας ἀρχόμενον, καὶ μὴ ἐρηρεισμένον μέχρι μέσης τῆς γαστρός, εἶτα τὸ σκέλος εὐθὺ ἐχόμενον, ὥσπερ ἐν τοῖς ἀνθρώποις καὶ τετράποσιν ἔχει. εἰ δὴ οὕτως εἶχεν ἠδυνάτει ἂν ὅλως ἑστάναι· ὁ μὲν γὰρ ἄνθρωπος, καίτοι οὕτως ἔχων, δύναται ὀρθὸς ἑστάναι, ὅτι φύσει ἐστὶν ὄρθιος, καὶ οὐ νανώδης. οἱ δὲ ὄρνιθες, οὔτε ὄρθιοι καὶ νανώδεις. οὔτε πρόσθια σκέλη ἔχουσιν. ἀντὶ οὖν τῶν προσθίων σκελῶν μακρὸν ἡ φύσις τὸ ἰσχίον ποιήσασα εἰς μέσον προσήρεισεν. ὑπέθηκε δὲ ἡ φύσις τοῖς ὄρνισι τὰ σκέλη, ὅπου καὶ κεῖνται, ὅπως μήτε ἔμπροσθεν τοῦ σώματος ῥέποντος, μήτε ὄπισθεν, ἀλλ' ἰσορρόπου τοῦ βάρους ὄντος μικρὸν πάμπαν εἰς τοὔπισθεν παρεκκλίνοντος ἀνεμποδίστως δύνωνται τὴν πορείαν ποιεῖσθαι. λέγει δὲ καὶ πάντας ὄρνιθας τέσσαρας ἔχειν τοὺς δακτύλους. τρεῖς μὲν, ἔμπροσθεν· ἕνα δ', ὄπισθεν. ἐπὶ δὲ τῶν μακρῶν δοκεῖ ἐλλείπειν ὁ ὄπισθεν δάκτυλος· διὰ τὸ βραχύτατος εἶναι, ὥσπερ ἐπὶ τῆς κρεκός. τὸ δὲ γένος φησὶ τῶν ἰχθύων μᾶλλον τῶν ἄλλων κεκολόβωται, καὶ ἐστέρηται τῶν ἐκτὸς μορίων· οἱ μὲν γὰρ ὄρνιθες, κἂν ἐστέρηνται χειρῶν, ἀλλ' ἔχουσιν ἀντ' αὐτῶν πτέρυγας· οἱ δ' ἰχθύες, οὔτε σκέλη, οὔτε πτέρυγας, οὔτε χεῖρας ἔχουσιν. τὸ δὲ, [Ολον περὶ τὴν κεφαλὴν τὸ κύτος συνεχές ἐστι μέχρι τῆς οὐρᾶς,] ἴσον ἐστὶ τῷ, ἀλλ' ὅλον τὸ κύτος, καὶ τὸ σῶμα τῶν ἰχθύων τὸ ἀπὸ τῆς κεφαλῆς μέχρι τῆς οὐρᾶς συνεχὲς καὶ ἕν ἐστιν, ὥσπερ κύλινδρος· μὴ ἔχων διαρθρώσεις ποδῶν, ἢ χειρῶν. εἰπὼν δὲ ὅτι συνεχές ἐστι μέχρι τῆς οὐρᾶς, ἐπήγαγε· ταύτην δὲ τὴν οὐρὰν οὐχ ὁμοίαν ἔχουσι πάντες οἱ ἰχθύες, ἀλλ' οἱ μὲν παραπλησίαν· τῶν δὲ πλατέων ἔνια ἀκανθώδη, καὶ μακράν, ὥσπερ βάτος· τὸ δὲ, [Ἐκεῖθεν γὰρ αὔξησις γίνεται εἰς τὸ πλάτος,] δηλωτικόν ἐστι τοῦ, ἡ ὕλη ἡ μέλλουσα καταναλωθῆναι εἰς τὸ αὐξῆσαι, καὶ μακρὰν ποιῆσαι τὴν οὐρὰν, καταναλίσκεται εἰς τὸ πλάτος· καὶ δὴ ὥσπερ αἱ τρυγόνες, καὶ εἴ τι ἕτερον, τοιοῦτον σέλαχός ἐστιν, ἀντὶ μακροῦ καὶ ἀκανθώδους, βραχὺ καὶ σαρκῶδες ἔχουσι τὸ οὐραῖον διὰ τὴν αὐτὴν αἰτίαν, ὥσπερ καὶ αἱ νάρκαι. τὸ δὲ, [Τῶν μὲν οὖν τοιούτων ἀκανθῶδες καὶ μακρόν,] οὐ περὶ τῶν τρυγόνων εἴρηται, καὶ ναρκῶν, ἀλλὰ καὶ περὶ ὧν πρὸ ὀλίγου εἴρηκεν. εἰπὼν δὲ τῶν πλατέων ἔνια ἀκανθώδη, καὶ μακράν. λέγει δὲ καὶ ὅτι οἱ βάτραχοι διὰ τὸ μὴ σαρκῶδες ἔχειν τὸ πλάτος τὸ ἐμπρόσθιον, τὸ ἀφῃρημένον ἐκεῖθεν σαρκῶδες πρὸς τὰ ὄπισθεν ἔθηκεν ἡ φύσις, καὶ τὴν οὐράν. οὐκ ἔχουσι δὲ κῶλα ἀπηρτημένα οἱ ἰχθύες, ὅτι νευστική ἐστιν ἡ φύσις αὐτῶν, καὶ οὐ πεζευτική· τοῖς δὲ πεζευτικοῖς ἁρμόζει τὰ κῶλα πρὸς τὴν πορείαν· ὅμως τε ἐπειδὴ τέσσαρα ἔχουσι πτερύγια, ὥσπερ εἶχον καὶ πόδας ἐκινοῦντο ἂν καὶ πλείοσιν ἢ τέτρασι σημείοις, ἔναιμα ὄντα· οὐδὲν δὲ ἔναιμον πλείοσι τῶν τεσσάρων κινεῖται σημείων. ἔχουσι δὲ τῶν ἰχθύων, ὅσοι μὴ πλατεῖς, τέσσαρα πτερύγια· ὁ γὰρ βάτος καὶ ἡ τρυγὼν πλατεῖς εἰσί. λέγει δὲ τὰ ὀφιώδη τῶν ἰχθύων, οἷόν ἐστιν ἡ μύραινα, μὴ ἔχειν πτερύγιον, ἀλλὰ ταῖς καμπαῖς κινεῖσθαι, ὥσπερ καὶ οἱ ὄφεις· οἱ γὰρ ὄφεις καὶ ἐν τῇ γῇ τὴν πορείαν, καὶ ἐν τῷ ὕδατι τὴν νῆξιν διὰ καμπτῶν ποιοῦνται, ὡς ἐν τοῖς περὶ ζώων πορείας δέδεικται· οἱ δὲ ὀφιώδεις τῶν ἰχθύων, εἴπερ εἶχον πτερύγια, τέτταρα ἂν εἶχον αὐτά· πᾶν γὰρ ἔναιμον τέτταρσι σημείοις κινεῖται. ἢ οὖν πρὸς τῇ κεφαλῇ καὶ σύνεγγυς εἶχον ἂν αὐτά, καὶ μόγις ἂν ἐκινοῦντο διὰ τὸ πολὺ τὸ ὄπισθεν εἶναι σῶμα, ἢ ὄπισθεν καὶ τὸ αὐτὸ ἂν καὶ οὕτω συνέβαινεν, ἢ τὰ μὲν δύο πρὸς τῇ κεφαλῇ· τὰ δὲ δύο πρὸς τῇ οὐρᾷ, καὶ πάλιν κακῶς ἂν ἐκινοῦντο διὰ τὸ πολὺ εἶναι τὸ μεταξὺ τῶν κινητικῶν σημείων. τὰ δὲ προμήκη τῶν ὀφιωδῶν, καὶ ἔχοντα δύο πτερύγια, κέχρηνται τῇ καμπῇ, ἀντὶ δύο πτερυγίων. ὅτι δὲ καὶ διὰ τῶν καμπῶν κινήσεις γίνονται, ὥσπερ καὶ διὰ ποδῶν, καὶ πτερύγων, δέδεικται ἐν τῷ περὶ ζώων πορείας. διὰ μὲν οὖν τὰς καμπὰς ἔνυδρα ὄντα, [illegible] ἐν τῇ ξηρᾷ· διὰ δὲ τὸ ὀφιῶδες εἶναι, καὶ ζῶσιν ἐν αὐτῇ πολλὸν χρόνον, καὶ τὰ μὲν οὐκ εὐθὺ ἀσπαρίζει, καὶ θνήσκει, ἀλλὰ μετὰ βραχύν τινα χρόνον. τὰ δὲ ὄντα οἰκεῖα

τῆς πεζῆς φύσεως ἧττον, αὐτὸ τοῦ βραδέως ἀπαγορεύει, καὶ θνήσκει. τῶν δὲ ἐχόντων δύο πτερύγια, ἐν τοῖς πρανέσιν ἔχει ταῦτα, ὅσα μὴ κωλύει διὰ τὸ πλάτος: ἐπειδὴ γὰρ τὰ πτερύγια διὰ τὸ νεῖν ἔχει: ὥσπερ ἔχει ταῦτα ἐν τῷ πρανεῖ, καὶ οὐκ ἐπὶ τὴν κοιλίαν πλατεῖα ὄντα κωλυόμενα τὰ πτερύγια ὑπὸ τοῦ πλάτους τοῦ ἰχθύος ἅπτεσθαι καλῶς, καὶ ἐπιτηδείως πρὸς νεῦσιν τοῦ ὕδατος, οὐκ ἂν συνεργήσῃ πρὸς τὴν νεῦσιν: ὥσπερ γὰρ εἰ ἦν ἤδη ἡ θύρα, ἰχθύς: εἶχε δὲ ἐν τῷ πρανεῖ τὰ πτερύγια, οὐκ ἂν ἥπτοντο τοῦ ὕδατος: κἂν ἥπτετο, ἀλλά γε πρὸς νεῦσιν οὐκ ἂν ἦν ἐπιτήδειος ἡ ἁφὴ, οὕτω καὶ ἐν ἐκείνοις συμβαίνειν ἔδει. ἰστέον δὲ ὅτι τὰ ἔχοντα δύο πτερύγια, πρὸς τῇ κεφαλῇ ταῦτα ἔχει, διὰ τὸ μὴ ἔχειν μῆκος τὸν τόπον τῆς κεφαλῆς. ὅπερ μῆκος καμπτόμενον αὐτὸ τῶν πτερυγίων τὴν κίνησιν ποιήσεται. εἰ γὰρ ἦν προμήκης ἡ κεφαλὴ, ἐκάμπτετο ἂν καὶ τὴν τῶν πτερῶν χρῆσιν ἀνεπλήρουν αἱ καμπαί. καὶ ἐν μὲν τῇ κεφαλῇ ἔχουσι τὰ πτερύγια διὰ ταύτην τὴν αἰτίαν: ἐν δὲ τῇ οὐρᾷ οὐκ ἔχουσι διὰ τὸ πρόμηκες εἶναι τὸ τῶν ἰχθύων σῶμα. οἱ δὲ βάτοι, καὶ τὰ λοιπὰ σελάχη αὐτὶ τῶν πτερυγίων τῷ ἐσχάτῳ, καὶ πρὸς τῇ οὐρᾷ πλάτει νέουσιν. ἡ δὲ νάρκη. καὶ ὁ βάτραχος τὰ ἐν τῷ πρανεῖ κάτω. τουτέστι τὰ πτερὰ, ἅπερ ἔχουσιν ἐν τῷ πρανεῖ κάτω. καὶ πρὸς τῇ οὐρᾷ ταῦτα ἔχουσι: πλατεῖς γὰρ ὄντες πρὸς τῇ κεφαλῇ, ἅπερ εἶχον τὰ πτερύγια ἐν τῷ ἐν αὐτῇ πρανεῖ, οὐδὲν ἂν ὠφέλει αὐτοὺς πρὸς τὴν νεῦσιν: ἃ δὲ ἔχουσιν ἐν τοῖς ὑπτίοις πτερύγια, πρὸς τῇ κεφαλῇ ταῦτα ἔχουσιν: οὐ γὰρ κωλύει ταῦτα ὑπὸ τὴν γαστέρα ὄντα τὸ πλάτος ἅπτεσθαι τοῦ ὕδατος, καὶ κινεῖσθαι. τῶν γὰρ ἐν τοῖς πρανέσιν ὄντων πτερυγίων ἐστὶ κωλυτικὸν τὸ πλάτος. τὸ δὲ, [ἀλλ᾽ ἀντὶ τοῦ ἄνω, ἐλάττω ταῦτα τῶν ἐν τῷ πρανεῖ ἔχει.] τοιοῦτον ἂν εἴη. ἐπειδὴ τὰ ἄνω μέρη τῶν ζώων τιμιώτερα ἐστὶ τῶν κάτω. τὰ τὸν ἄνω τόπον κατέχοντα πτερύγια πεποίηκεν ἡ φύσις ἐλάττω: τὰ δὲ κατὰ τὸν κάτω, μείζω. κἀνταῦθα δὴ ἀντανίσωσιν ἡ φύσις ποιεῖται. εἰπὼν δὲ ὅτι τὰ ἔχοντα βράγχια, τὰ μὲν ἐπικαλύμματα ἔχει ἐν τοῖς βραγχίοις, οὐκ ἀνταπέδωκε τὸν μὲν σύνδεσμον πρὸς τὸν δέ. ἔχει δὲ πάντα τὰ σελάχη ἐπικαλύμματα τοῖς βραγχίοις, διὰ τὸ εἶναι χονδράκανθα, καὶ διὰ τὸ μαλακόδερμα, ἀλλ᾽ οὐ σκληρόδερμα, οὐ κεκώλυται τὸ περὶ τὴν κεφαλὴν δέρμα κατέρχεσθαι καὶ ἐπικαλύπτειν τὰ βράγχια: ὁ γὰρ χόνδρος, καὶ μάλιστα ὁ ἐν τοῖς ἰχθύσι, μαλακός. εἰ δὲ οὗτος, καὶ ἡ λοιπὴ σάρξ: εἰ γὰρ ὁ χόνδρος, ὁ ἀναλογῶν ὀστῷ, μαλακός, δηλονότι καὶ ἡ λοιπὴ σάρξ. ἔτι αἱ κινήσεις τῶν μὴ ἀκανθωδῶν, ἤτοι τῶν μὴ ἐχόντων τὰς ἀκάνθας, χονδρώδεις, καὶ μαλακάς, ἀλλὰ σκληράς, τούτων αἱ κινήσεις βραδεῖαι τῷ μὴ ταχέως κάμπτεσθαι διὰ τὴν σκληρότητα: πᾶσα δὲ κίνησις, ὡς ἐν τοῖς περὶ ζώων πορείας δέδεικται, κατὰ ἔκτασιν, καὶ κάμψιν τῶν κώλων γίνεται, ταῦτα εἰπὼν λέγει, ὅτι δεῖ τὰς κινήσεις τῶν ἐπικαλυμμάτων ταχείας εἶναι. ἐπειδὴ γὰρ ὥσπερ ἡμῖν αἱ ῥῖνες πρὸς ἀναπνοὴν, καὶ ἐκπνοήν εἰσιν, οὕτως καὶ τοῖς ἰχθύσιν ἡ τῶν βραγχίων φύσις. ἀλλὰ μὴν ἡ ἐκπνοὴ ταχέως γίνεται: δεῖ ἄρα, καὶ τὰ ἐπικαλύμματα τῶν βραγχίων τάχιστα κινεῖσθαι, ὅπως μὴ ἐμποδίζοιεν τὴν οἷον ἀναπνοὴν, καὶ ἐκπνοὴν αὐτῶν. καὶ διὰ τὸ δεῖν ταχεῖαν τὴν τῶν ἐπικαλυμμάτων συστολὴν, καὶ διαστολὴν γίνεσθαι διὰ τὴν ἐκπνοήν φασιν, ὅτι ἐν τοῖς σελαχώδεσιν οὐ μόνον τὰ ἐπικαλύμματα ἀνοίγεται, καὶ κλείεται, ἀλλὰ καὶ αὐτῶν τῶν πόρων, οὓς ἐν ἑαυτοῖς ἔχει τὰ βράγχια, συναγωγὴ, καὶ διαστολὴ γίνεται, ὅπως πλείων ᾖ ἡ ἐκπνοή: ἀνοιγόμενοι γὰρ καὶ οἱ πόροι δέχονται τὸ ὕδωρ. ὥσπερ καὶ τὰ ἐπικαλύμματα: κλειόμενοι δὲ, ἀφιᾶσι. δηλοῖ δὲ διὰ τῆς ἐκπνοῆς ἅμα, καὶ τὴν ἀναπνευσιν. τοῦ δὲ, τοὺς μὲν ἔχειν τῶν ἰχθύων τὰ βράγχια διπλᾶ, ὥσπερ τις πόλις δυσὶ τείχεσι περιπεφραγμένη, καὶ τοῦ μὲν, ἐντὸς ὄντος, καὶ περιεχομένου: τοῦ δὲ, ἐκτὸς, καὶ περιέχοντος. τοῦ μὲν δὴ τὸ

μὲν ἔχειν, ταῦτα διπλᾶ· τὰ δὲ ἁπλᾶ, αἴτιον ἡ ὀλιγότης, καὶ τὸ πλῆθος τοῦ περὶ τὴν καρδίαν θερμοῦ· τὰ μὲν γὰρ ἔχοντα πολὺ τὸ θερμὸν, δεῖται καὶ πλείονος ἐμψύξεως· γίνεται δὲ ἡ ἔμψυξις, καὶ πλείων καὶ ταχεῖα ἀπὸ τῶν πλειόνων βραγχίων. διὰ τοῦτο οὖν ἔχουσι τὰ βράγχια διπλᾶ· τὰ δὲ ὀλίγον ἔχοντα τὸ θερμὸν, ἁπλᾶ. διότι καὶ ἐλάττονος δεῖται τῆς καταψύξεως. τὰ μὲν οὖν λεγόμενα τοιαῦτα· κατὰ δὲ τὴν λέξιν τήν· [Θάττω γὰρ καὶ ἰσχυροτέραν τὴν κίνησιν δεῖ εἶναι τοῖς πλείω ἔχουσι θερμότητα.] τὴν κίνησιν ἀντὶ τοῦ κατάψυξιν εἴληφε· δεῖ γὰρ θάττω, καὶ ἰσχυροτέραν γίνεσθαι τὴν κατάψυξιν τοῖς ἔχουσι πολλὴν θερμότητα· ἔχει δὲ τὰ πλείω βράγχια φύσιν θάττω, καὶ ἰσχυροτέραν ποιεῖν τὴν κατάψυξιν τῶν ἐλαττόνων· τὰ γὰρ ἐλάττω βράγχια, καὶ βραδεῖαν, καὶ ἀσθενεστέραν ταύτην ποιεῖται. καὶ διὰ τοῦτο ἔνια τῶν ἐχόντων τὰ βράγχια ἐλάττω, καὶ ἁπλᾶ, καὶ [Ἧττον ἐγκρατῆ,] τουτέστιν οὐδαμῶς ἰσχυρὰ, ἀλλὰ ἀσθενῆ. τὸ γὰρ, [Ἧττον ἐγκρατῆ] ἀντὶ τοῦ οὐδαμῶς ἰσχυρὰ, εἴληπται. ἰσχυρὰ μὲν γὰρ καὶ ἰσχυρὰν, καὶ ταχεῖαν ποιεῖται τὴν κατάψυξιν, τὰ διπλᾶ, καὶ πολλὰ βράγχια. ἀσθενῆ δὲ ταύτην ποιεῖται τὰ ἁπλᾶ, καὶ ὑπὸ τούτου. καὶ ἡ ἀπ' αὐτῶν κατάψυξις, ἀσθενής. διὰ τὸ ὀλίγον οὖν ἔχειν τὸ θερμὸν, καὶ διὰ τοῦτο καὶ βράγχια ὀλίγα, ἔνια αὐτῶν ἔξω τοῦ ὕδατος δύνανται ζῆν πολὺν χρόνον· τὰ μὲν ἔχοντα πολλὰ βράγχια, διὰ τὸ περὶ τὴν καρδίαν πολὺ θερμὸν, καὶ δεόμενα πολλῆς τῆς καταψύξεως, ἅμα τῷ ἐξελθεῖν τοῦ ὕδατος θνήσκει· οὐ γὰρ δύναται ὁ ἀὴρ, τοσαύτην αὐτοῖς τὴν κατάψυξιν ἐμποιεῖν, ὁπόσην τὸ ὕδωρ· τὰ δὲ ἔχοντα βράγχια ὀλίγα, διὰ τὸ καὶ τὸ θερμὸν ὀλίγον, δύναται ἔξω πολὺν χρόνον ζῆν. διὰ τί, ὅτι οὐ δεῖται πολλῆς τῆς καταψύξεως. καὶ ταῦτα μὲν οὕτως. τὰ δὲ στόματα, τὰ μὲν ἔχει κατ' ἀντικρὺ, καὶ εἰς τὸ πρόσθεν, ὥσπερ λάβραξ, σκόμβρος, κέφαλος. τὰ δὲ ἐν τοῖς ὑπτίοις, ὥσπερ δελφὶς, καὶ τὰ σελαχώδη. ταῦτα δὲ τὰ σελαχώδη, τὸν μὲν ἄλλον ἅπαντα χρόνον, καθ' ὅν τε νεῖ καὶ ἠρεμεῖ. τὰ μὲν ὕπτια ἔχοντα, ὥσπερ τὰ καὶ τετράποδα τῶν ζώων, πρὸς τῇ γῇ· τὰ δὲ πρανῆ ἄνω, καὶ πρὸς τὸν οὐρανὸν, ὅταν μέλλῃ λαβεῖν τὴν τροφὴν, στρέφεται. καὶ τὰ μὲν πρανῆ, ἔχει πρὸς τῇ γῇ· τὰ δὲ ὕπτια, ἄνω, καὶ οὕτω θηρεύει. πεποίηκε δὲ ἡ φύσις τὰ σελαχώδη λαμβάνειν τὴν τροφὴν στρεφόμενα διὰ τρεῖς αἰτίας. μίαν μὲν διὰ τὴν σωτηρίαν τῶν ὑπ' αὐτῶν ἀγρευομένων ἰχθύων· φεύγουσι γὰρ καὶ σώζονται βραδυνόντων τῶν σελαχωδῶν ἐν τῇ στροφῇ. οὐ γὰρ ταχὺ δύνανται στρέφεσθαι πλατέα ὄντα. ὄντων οὖν ζωοφάγων, ἀλλ' οὐ ποφάγων πάντων τῶν σελαχωδῶν, πρόνοιαν ποιουμένη ἡ φύσις τῶν ὑπ' αὐτῶν θηρευομένων, πεποίηκεν αὐτὰ στρεφόμενα λαμβάνειν τὴν τροφήν. διὰ μίαν μὲν οὖν αἰτίαν ταύτην στρέφεται τὰ σελαχώδη. ἄλλην δὲ ἐπειδὴ ἀδηφάγα ἐστὶν, καὶ λαίμαργα στρέφονται, ἵν' οὕτως βραδέως λαμβάνοντα τὴν τροφὴν, καὶ μὴ ἑτοίμως, ὀλιγοτροφῇ καὶ μὴ φθείρηται ἀπὸ τοῦ κόρου· εἰ γὰρ πρὸς τὴν ἐπιθυμίαν, καὶ τὸ λαίμαργον αὐτῶν ἀναλόγως ἐδίδοτο αὐτοῖς ἡ τροφὴ, ἐφθείρετο ἄν. οὕτως γάρ ἐστιν ἡ τοῦ λόγου συνέχεια ἀλλὰ καὶ γραπτέον αὐτὴν τοῦ σαφοῦς ἕνεκεν· ἀλλὰ καὶ πρὸς τὸ μὴ ἀκολουθεῖν τῇ λαιμαργίᾳ τῇ περὶ τὴν τροφήν· ῥᾷον γὰρ λαμβάνοντα, διεφθείρετο ἂν ταχέως διὰ τὴν πλήρωσιν, καὶ προσυπακουστέον τὸ, πεποίηκεν αὐτὰ στρέφεσθαι. τὸ δὲ, [Πρὸς τούτοις, περιφερῆ καὶ λεπτὴν ἔχοντα τὴν τοῦ ῥύγχους φύσιν, οὐχ οἷόν τε εὐδιαίρετον ἔχειν·] μεταξὺ γὰρ παρεμβέβληται. ἔστι δὲ ἡ τρίτη αἰτία, δι' ἣν στρεφόμενα λαμβάνει τὴν τροφήν. ὃ δὲ καὶ δι' αὐτῆς λέγει, τοιοῦτον ἐστί. πρὸς δὲ τοῖς εἰρημένοις, ἔχοντα τὰ σελαχώδη τὴν τοῦ ῥύγχους, τουτέστι τὴν τοῦ στόματος φύσιν, περιφερῆ καὶ στρογγύλην, ἀλλ' οὐκ ὀξεῖαν, ὥσπερ οἱ σκόμβροι, καὶ τὰ ἄλλα· ἔχοντα οὖν τοιαύτην τὴν τοῦ στόματος φύσιν καὶ ὑπὸ τὰ ὕπτια, ἀλλ' οὐκ ἔμπροσθεν, [Οὐκ οἷόν τε εὐδιαίρετον ἔχειν] τουτέστιν, οὐχ οἷόν τε κάλλιον, οὕτως τὴν θήραν ποιεῖν, ἢ μᾶλλον οὐχ οἷόν τε καλῶς τὴν τροφὴν διαιρεῖν· ἐξέπιπτε γὰρ ἂν τοῦ στόματος, ἀλλὰ ποιήσουσιν αὐτὴν κάλλιστα στρεφόμενοι. ἔτι δὲ ἔχουσι διάφορα τὰ στόματα πρὸς τοῖς εἰρημένοις, καὶ ἐν τῷ

τὰ μὲν, ἀνεῤῥωγὸς ἔχειν τὸ στόμα· τὰ δὲ, μύουρον. ἤτοι ἀνεῤῥωγὸς, ἢ μύουρον ἀντὶ τοῦ ἐκ πλατέος εἰς ὀξὺ λῆγον· τοιαύτη γὰρ καὶ ἡ τῶν μυῶν οὐρά. εἰπὼν δὲ καὶ ὅτι τὸ δέρμα οἱ μὲν, ἔχουσι λεπιδωτόν. λέγει καὶ διὰ τί ἐπίκειται αὐτῇ ἡ λεπίς. διὰ γὰρ λαμπρότητα φησὶ καὶ λεπτότητα· λαμπρὰ γὰρ οὖσα, καὶ λεία, καὶ καθαρὰ, καὶ μηδὲν ὅλως ἔχουσα γλίσχρον, ἵν᾽ ὑπ᾽ αὐτοῦ ὥσπερ ὑπὸ κόλλης συνέχηται, ἐκπίπτει. σαφὴς δ᾽ ἂν ἦν ἡ λέξις, εἰ αὐτὶ τοῦ. [Η γὰρ λεπὶς διὰ λαμπρότητα,] ἦν, ἡ δὲ λεπὶς διὰ λαμπρότητα. οἶμαι γὰρ ὅτι τὸ γὰρ οὐκ ἔστιν αἰτιολογικὸς σύνδεσμος, ἀλλ᾽ ἀντὶ τοῦ δὲ συνδέσμου εἴληπται. οὐδεὶς δέ φησι τῶν ἰχθύων, ἔχει ὄρχεις, διὰ τὸ μὴ ἔχειν μήτε κύστιν· μήτε γίνεσθαι αὐτοῖς περίττωμα ὑγρόν. οὐδὲ οἱ ὄφεις ἔχουσιν ὄρχεις, ἀλλὰ καὶ οἱ ἰχθύες, καὶ οἱ ὄφεις τὸν πόρον, ὃν ἔχουσιν εἰς τὴν ἄφεσιν τοῦ ἐκ τῆς τροφῆς περιττώματος τὸν αὐτὸν ἔχουσι, καὶ εἰς τὴν τῶν περὶ τὴν γένεσιν. ἤτοι τῶν σπερμάτων. αἱ δὲ φάλαιναι φησὶ, καὶ οἱ δελφῖνες δεχόμενοι ἐν τῇ κατὰ τὸ στόμα εἰσόδῳ ἔλαττον ὑγρὸν, ἀφιᾶσι τῇ κατὰ τὸν αὐλὸν ἐξόδῳ. δέχονται μὲν γὰρ διὰ τοῦ στόματος· ἀφιᾶσι δὲ διὰ τοῦ αὐλοῦ. ὁ δ᾽ αὐλὸς οὗτος κεῖται πρὸ τοῦ ἐγκεφάλου ἤτοι ἐν τῷ μορίῳ τῷ ἀναλογοῦντι βρέγματι. εἰ γὰρ ἔκειτο ὄπισθεν κατὰ τὸ μόριον τὸ ἀναλογοῦν τῷ ἰνίῳ, [Διελάμβανεν ἂν ἀπὸ τῆς ῥάχεως αὐτὸν] τουτέστι διεχώριζεν ἂν ὁ αὐλὸς τὸν ἐγκέφαλον ἀπὸ τοῦ ῥαχίτου μυελοῦ, καὶ ἐνεπόδιζεν αὐτὸν ἅπτεσθαι αὐτοῦ. ἀλλ᾽ ἀνάγκη, ὥσπερ εἴρηται πρότερον, τὸν ῥαχίτην μυελὸν, θερμὸν ὄντα, ἅπτεσθαι τοῦ ἐγκεφάλου, ἵνα εἰς συμμετρίαν ἄγῃ τὸ ἄγαν αὐτοῦ ψυχρόν. ἐπειδὴ δὲ τὸ θερμόν ἐστιν αἴτιον τοῦ κινεῖσθαι τὰ ζῶα, ἔχει ὁ δελφὶς, καὶ τὰ μεγάλα τῶν θαλασσίων ζώων, πνεύμονα, ὄντα πλήρη θερμότητος αἱματικῆς. σαφῆ δὲ τὰ ἑξῆς ἐστι τοῦ βιβλίου.

ὧδε μὲν οὖν πεπλήρωται πᾶσα ἡ περὶ ζώων μορίων ἡμῖν Ἀριστοτέλους πραγματεία, καὶ αἱ εἰς αὐτὴν σχολαί.

ΤΕΛΟΣ.

Abſolutis iam ſcholiis Epheſii, in quodam ſcripto codice hæc præterea inueni: quę cuicuimodi ſunt, adſcribere libuit. Videtur autem declarationes alicuius eſſe, qui explananda cenſuerit, quæ, ut dilucida in extremo libro, reliquerat ſcholiaſtes.

Εἰς τὸ [Αἱ φῶκαι, καὶ αἱ νυκτερίδες διὰ τὸ ἐπαμφοτερίζειν, αἱ μὲν τοῖς ἐνύδροις, καὶ πεζοῖς.] τῇ δὲ τὰ μὲν κοινωνεῖν τοῖς ἐνύδροις φησί· τῇ δὲ τοῖς πεζοῖς τοιοῦτόν ἐστιν. τῇ μὲν, τοῖς πτηνοῖς· τῇ δὲ, τοῖς πεζοῖς. τὸ δὲ [Αἵ τε γὰρ φῶκαι, ὡς μὲν ἔνυδροι, πόδας ἔχουσιν· ὡς δὲ πεζαὶ, πτερύγια.] τοιοῦτόν ἐστιν· τὰς φώκας ἐπειδὴ ἔνυδροι εἰσὶν, ἔδει μὴ ἔχειν πόδας· οὐδὲν γὰρ ἔνυδρον πόδας ἔχει. ἐπειδὴ δ᾽ ἔχει, κοινωνεῖ κατὰ τοῦτο τοῖς πεζοῖς, καὶ εἰσὶ διὰ τοῦτο αὐτὸ πεζά. πάλιν ἐπειδὴ πτερύγια ἔχει, κοινωνεῖ τοῖς ἐνύδροις· ὑγρῶν γὰρ τὸ πτερύγιον ἔχειν, ἀλλ᾽ οὐ πεζῶν. ἰστέον δὲ τὸ διὰ τί αἱ νυκτερίδες, τετράποδα. ἐν δὲ τῇ λέξει τῇ, [Διὰ τὸ πτερὰ ὀῤῥοπύγια.] προσυπακουστέον, τὸ μὴ ἔχειν. διὰ γὰρ τὸ μὴ ἔχειν πτερὰ, οὐκ ἔχει ὀῤῥοπύγια. ἀλλὰ καὶ ἐν τῇ λέξει τῇ, [Καὶ ψιλὸς ἔστι τὰ περὶ τὴν κεφαλήν.] λείπει τὸ, πτερῶν ἢ τριχῶν. οὐ πέτεται δὲ, διὰ τὸ ὡς τετράπουν ἔχειν μέγεθος. οὐ δεῖ δὲ τὸ μέλλον πέτεσθαι, μέγεθος ἔχειν· τὰς δὲ νυκτερίδας λέγει τετράποδα, διὰ τὸ ἔχειν κεφαλὴν ὁμοίαν τῷ μυΐ, καὶ διὰ τὸ ἔχειν ὦτα· οὐδὲν δὲ πτηνὸν ὦτα ἔχει.

E COMMENTARIO

Eunapij, in quo collegit uitas Philosopho- rum ac sophistarum.

Πορφυρίῳ Τύρος μὲν ἦν πατρὶς, ἡ πρώτη τῶν ἀρχαίων φοινίκων πόλις. καὶ πατέρες δὲ οὐκ ἄσημοι: τυχὼν δὲ τῆς προσηκούσης παιδείας, ἐπί τε ἔδραμε τοσοῦτον καὶ ἐπέδωκεν, ὡς Λογγίνου μὲν ἦν ἀκροατὴς καὶ ἐκόσμει τὸν διδάσκαλον ἐν τοῖς ὀλίγων χρόνου. Λογγῖνος δὲ κατὰ τὸν χρόνον ἐκεῖνον βιβλιοθήκη τις ἦν ἔμψυχος. καὶ περιπατοῦν μουσεῖον καὶ κρίνειν γε τοὺς παλαιοὺς ἐπιτέτακτο καθάπερ πρὸ ἐκείνου πολλοί τινες ἕτεροι. καὶ ὁ ἐκ καρίας Διονύσιος πάντων ἀριδηλότερος: Μάλχος δὲ κατὰ τὴν Σύρων πόλιν [φωνὴν] ὁ Πορφύριος ἐκαλεῖτο τὰ πρῶτα. τοῦτο δὲ δύναται βασιλέα λέγειν. Πορφύριον δὲ αὐτὸν ὠνόμασε Λογγῖνος, εἰς τὸ βασιλικὸν τῆς ἐσθῆτος παράσημον τὴν προσηγορίαν ἀποτρέψας. παρ᾿ ἐκείνῳ δὴ τὴν ἄκραν ἐπαιδεύετο παιδείαν: γραμματικῆς τε εἰς ἄκρον ἁπάσης, ὥσπερ ἐκεῖνος ἀφικόμενος, καὶ ῥητορικῆς. πλὴν ὅσον οὐκ ἐπ᾿ ἐκείνην ἔνευσεν. φιλοσοφίας τε πᾶν εἶδος ἐκμαξάμενος. ἦν γὰρ ὁ Λογγῖνος μακρῷ τῶν τότε ἀνδρῶν τὰ πάντα ἄριστος. καὶ τῶν βιβλίων τε αὐτοῦ πολυπλῆθος φέρεται καὶ τὸ φερόμενον θαυμάζεται. καὶ εἴ τις κατέγνω τινὸς τῶν παλαιῶν, οὐ τὸ δεξαθὲν ἐκράτει πρότερον, ἀλλ᾿ ἡ Λογγίνου πάντως ἐκράτει κρίσις. οὕτω δὲ ἀχθεὶς τὴν πρώτην παιδείαν καὶ ὑπὸ πάντων ἀποβλεπόμενος τὴν μεγίστην Ῥώμην ἰδεῖν ἐπιθυμήσας, ἵνα κατάσχῃ διὰ σοφίας τὴν πόλιν, ἐπειδὴ τάχιστα εἰς αὐτὴν ἀφίκετο, καὶ τῷ μεγίστῳ Πλωτίνῳ συνῆλθεν εἰς ὁμιλίαν, πάντων ἐπελάθετο τῶν ἄλλων, καὶ προσέθετο φέρων ἑαυτὸν ἐκείνῳ. ἀκορέστως δὲ τῆς παιδείας ἐμφορούμενος καὶ τῶν πηγαίων ἐκείνων καὶ τεθειασμένων λόγων, χρόνον μέν τινα εἰς τὴν ἀκρόασιν ἤρκεσεν, ὡς αὐτός φησι. εἶτα ὑπὸ τοῦ μεγέθους τῶν λόγων νικώμενος, τό, τε σῶμα καὶ τὸ ἄνθρωπος εἶναι ἐμίσησεν, καὶ διαπλεύσας εἰς σικελίαν, τὸν πορθμὸν καὶ τὴν χάρυβδιν, ᾗπερ Ὀδυσσεὺς ἀναπλεῦσαι λέγεται, πόλιν μὲν οὔτε ἰδεῖν ὑπέμεινεν: οὔτε ἀνθρώπων ἀκοῦσαι φωνῆς: οὕτω τὸ λυπούμενον αὐτῷ καὶ ἡδόμενον ἀπέθετο. συντείνας δὲ ἐπὶ λιλύβαιον ἑαυτὸν (τὸ δέ ἐστι τῶν τριῶν ἀκρωτηρίων τῆς σικελίας, τὸ πρὸς λιβύην ἀνατεῖνον καὶ ὁρῶν) ἔκειτο κατατείνων καὶ ἀποκαρτερῶν. τροφήν τε οὐ προσιέμενος καὶ ἀνθρώπων ἀλεείνων πάτον. οὐδ᾿ ἀλαοσκοπιὴν ὁ μέγας εἶχε Πλωτῖνος ἐπὶ τούτοις. ἀλλὰ κατὰ πόδας ἑπόμενος ἢ τὸν πεφευγότα νεανίσκον ἀναζητῶν, ἐπιτυγχάνει κειμένῳ. καὶ λόγων τε πρὸς αὐτὸν εὐπόρησεν, τὴν ψυχὴν ἀνακαλουμένων, ἄρτι διίπτασθαι τοῦ σώματος μέλλουσαν: καὶ τὸ σῶμα ἔρρωσεν εἰς κατοχὴν τῆς ψυχῆς. καὶ ὁ μὲν, ἔμπνους τε ἦν καὶ διανίστατο: ὁ δὲ, τοὺς ἐνθέντας λόγους εἰς βιβλίον κατέθετο τῶν γεγραμμένων. τῶν δὲ φιλοσόφων τὰ ἀπόρρητα καλυπτόντων ἀσαφείᾳ, καθάπερ τῶν ποιητῶν τοῖς μύθοις, ὁ Πορφύριος τὸ φάρμακον τῆς σαφηνείας ἐπαινέσας καὶ διὰ πείρας γευσάμενος, ὑπόμνημα γράψας εἰς φῶς ἤγαγεν. αὐτὸς μὲν οὖν ἐπὶ τὴν Ῥώμην ἐπανῆλθε. καὶ τῆς περὶ λόγους εἴχετο σπουδῆς, ὥστε παρῄει καὶ εἰς τὸ δημόσιον κατ᾿ ἐπίδειξιν. τὸ δὲ Πορφυρίου κλέος εἰς Πλωτῖνον, πᾶσα μὲν ἀγορά: πᾶσα δὲ πληθὺς, ἀνέφερεν: ὁ μὲν γὰρ Πλωτῖνος τῷ τε τῆς ψυχῆς οὐρανίῳ καὶ τῷ λοξῷ καὶ αἰνιγματώδει τῶν λόγων, βαρὺς ἐδόκει καὶ δυσήκοος: ὁ δὲ Πορφύριος, ὥσπερ ἑρμαϊκή τις σειρὰ καὶ πρὸς ἀνθρώπους ἐπινεύουσα διὰ ποικίλης παιδείας πάντα εἰς τὸ εὔγνωστον καὶ καθαρὸν ἐξήγγελλεν. αὐτὸς μὲν φησὶ (νέος δὲ ὢν ἴσως ταῦτα ἔγραφεν ὡς ἔοικεν) ἐπιτυχεῖν χρηστηρίῳ μηδενὶ τῶν δημοσίων: ἐν δὲ αὐτῷ τῷ βιβλίῳ καταγράφει. καὶ μετὰ ταῦτα ἄλλα πραγματεύεται πολλὰ, ὅπως χρὴ τούτων ποιεῖσθαι τὴν

ἐπιμέλειαν. φησὶ δὲ καὶ δαιμόνιόν τινα φύσιν ἀπὸ λουτροῦ τινὸς διῶξαι καὶ ἐκβαλεῖν, Καυσάθαν ταύτην ἔλεγον οἱ ἐπιχώριοι. συμφοιτηταὶ μὲν οὖν, ὡς αὐτὸς ἀναγράφει, κράτιστοί τινες ὑπῆρχον· Ὠριγένης τε καὶ Ἀμέλιος καὶ Ἀκυλῖνος, καὶ συγγράμματά γε αὐτῶν περισώζεται. λόγος δὲ αὐτῶν οὐδὲ εἷς· πολὺ γὰρ τὸ ἀκύθηρον εἰ καὶ τὰ δόγματα ἔχει καλῶς, καὶ ἐπιτρέχει τοῖς λόγοις. ἀλλ᾽ ὅμως Πορφύριος ἐπαινεῖ τοὺς ἄνδρας τῆς δεινότητος. πάντων μὲν αὐτὸς ἀνέχων χαίρειν· μόνος δὲ ἀναδεικνὺς καὶ ἀνακηρύττων τὸν διδάσκαλον. οὐδὲν δὲ παιδείας εἶδος παραλελοιπώς. ὅθεν γοῦν ἀπορῆσαι καθ᾽ ἑαυτὸν καὶ θαυμάσαι τί πλέον ἐστὶ τῶν ἐσπουδασμένων, πότερον τὰ εἰς ὕλην ἐντρεχείαν τείνοντα, ἢ τὰ εἰς γραμματικὴν ἀκρίβειαν φέροντα, ἢ ὅσα τῶν ἀριθμῶν ἤρτηται, ἢ ὅσα νεύει πρὸς γεωμετρίαν, ἢ ὅσα πρὸς μουσικὴν ἕπεται. τὰ δὲ εἰς φιλοσοφίαν οὐδὲ τοὺς περὶ λόγους καταλιπὼν· οὔτε τὸν οἰκεῖον ἐφικτὸν λόγον. τὸ δὲ φυσικὸν καὶ θεουργὸν τελεταῖς ἀφείσθω καὶ μυστηρίοις. οὕτω παντομιγές τι πρὸς ἅπασαν ἀρετὴν ὁ ἀνὴρ αὐτὸς χρῆμά τι γέγονεν. καὶ τὸ κάλλος αὐτοῦ τῶν λόγων αὖ τις μᾶλλον ἢ τὰ δόγματα πλέον εἰς αὐτὰ ἀποδῶν, ἢ τὴν δύναμιν τοῦ λόγου. γάμοις τε ὁμιλήσας φαίνεται καὶ πρὸς Μάρκελλάν γε, αὐτοῦ γυναῖκα γενομένην, βιβλίον φέρεται. ἣν φησὶν ἀγαγέσθαι, καὶ ταῦτα οὖσαν πέντε μητέρα τέκνων, οὐχ ἵνα παῖδας ἐξ αὐτῆς ποιήσηται, ἀλλ᾽ ἵνα οἱ γεγονότες παιδείας τύχωσιν· ἐκ φίλου γὰρ ἦν αὐτοῦ τῇ γυναικὶ τὰ τέκνα προϋπαρξάντα. φαίνεται δὲ ἀφικόμενος εἰς γῆρας βαθύ. πολλὰς γοῦν τοῖς ἤδη προπεπραγματευμένοις βιβλίοις θεωρίας ἐναντίας καταλιπεῖν. περὶ ὧν οὐκ ἔστιν ἕτερόν τι δοξάζειν, ἢ ὅτι προϊὼν ἕτερα ἐδόξασεν· ἐν Ῥώμῃ δὲ λέγεται μεταλλάξαι τὸν βίον.

ἀκύθηρον.

STVDIOSIS.

CVM Pluribus spectatis codicibus, male habito undiq; ac neglecto Porphyrio non parum consuluissem, multisq; partibus ipsum meliorem reddidissem, tentaui si possem alia uia ei opem ferre, quam etiam nõ inutilem expertus sum: sciebam enim hinc sæpe testimonia sumpsisse Eusebium Pamphilum, æqualem ipsius, in libris τῆς παρασκευῆς εὐαγγελικῆς: quamuis non sine causa illum exagitet, atq; omnibus contumelijs uexet: eruditione nanq; Auctoris captus, multos, ex his præcipuè libris, locos adducit, quibus aut probat, quod confirmare uult, aut falsò, prauèq; ipsum de aliqua re sensisse docet. Fuit enim Porphyrius nostræ pietati, latè iam patenti: firmasq; radices agenti, parum æquus, ac Christiano deniq; nomini ualdè infensus, quamuis in his libris nihil tangat, quod eam lædat: ac potius nostris institutis, moribusq; mirificè congruat. Vt enim traditam à patribus religionem toto animo probabat, & ab illa fortiter contra aduersarios stabat, ita temperantissimum hominem se præbuit: tenuiq; admodum uictu contentus fuit: nam uentris, ac gutturis uitiorum ipsum inimicum, acerrimumq; reprehensorem extitisse, uiuentemq; adhuc è corporis carcere, uinculisq; euolauisse, uerè dicere possumus. Hoc autem, præterquam quod ex optima grauissimi uiri disciplina: seuerissimaq; Plotini domo profectus est, multis etiam sanctissimis præceptis ab ipso in hoc opere collectis, liquidò intelligitur. quæ causa fuit salutis (ut arbitror) huic subtili, magnaq; doctrina refertæ scriptioni: cum alij ipsius labores improbioris indicis meritò perierint, atq; ex omni hominum memoria deleti sint. Attendi igitur diligenter cunctos locos, qui citati à Pamphilo sunt: cumq; multa, magnaq; lectionis discrimina in illis offendissem, malui excuso iam Porphyrio, eaq; scriptura, quæ apud ipsum reperitur, retenta, uarietates omnes hic adnotare: neq; enim ne illic quidem sincerè cuncta, integreq; seruata sunt: quamuis non pauca melius legi uideantur. Quod factum arbitror, quia Pamphili scripta in magno honore apud Christianos homines fuerunt: cum multam lucem afferant nostris rebus: inanesq; ritus gentium sedulò refellant. Porphyrij uero hi libri ob iustum odium, quod contra se alio

nomine concitarat, diu iacuerint, ac situ pene, squalloreq́; confecti sint. Præterea non me fallit consuetudo ueterum, qui in exemplis aliorum au ctorum ponendis non parua libertate utebantur: ac si sententiam retinuissent, uerba ipsa, ordinemq́; eorum sæpe non curabant. Hanc igitur tutiorem uiam esse ratus, quicquid discriminis apud eum scriptorem in testimonijs ab his libris petitis, animaduertere potui, adnotaui: ac breui etiam aliquando in utram partem magis inclinem, indicaui.

ag 1. 14. uers. 17. Επῆλθε κατὰ Πίνδαρον. Apud Platonē in Theæteto, unde hic totus locus acceptus est, legit φέρεται: In reliquis uerbis nihil discriminis. Nec tamen non hanc ueriorē lectionem puto: nec. n. temere ita apud hunc auctorem, summum Platonis amatorem, scriptum arbitror. & grandis hæc, atq; elegans translatio mirifice cōuenit poëticæ locutioni. Præterea uidi antiquissimū exemplar eius politissimi, doctissimiq; scriptoris, in quo, cū, quemadmodum in excusis, intus legatur, in margine tamen adnotatum est, scribi etiam πέτεται. Animaduertendum autem, locum tantum Thebani poëtæ ab hoc nostro indicari, cū plenius id carmen a' Platone ponatur: Quæ. n. sequuntur hic, Porphyrii ipsius sunt, suis uerbis sententiam absoluentis, & quod a' magni spiritus poëta magnificentissime prolatum fuit, sine ullo sermonis ornatu tradentis.

22.4 Πλάνης κλιμακτὴρ. Apud Eusebium, qui hunc locum adducit in primo libro προπαρασκευῆς εὐαγγελικῆς legitur, πλάνης ἑρμηνευτὴς μαστὴρ: Nec tamen alicui auctor sim, ut ita emendet Porphyrium, Vereor. n. ne cuiuspiam, non ualde' periti hominis, hæc scholia fuerint, qui crediderit ualere κλιμακτὴρ id, quod duobus uerbis expressit: ipse tamen aliter sentio, arbitrorq; significare hic κλιμακτὴρ, si lectio hæc integra est, erroris origo, & tanq̃ ascensus quidam ac gradus. Cum autem illo modo legatur, in magnifice excusis Lutetiæ, Pamphili codicibus, uidi manu scriptum, in quo posterius tantum eorum uerborum legeretur.

6. Συγγένεια. et quæ sequuntur. sic apud eundem excusum. συγγένεια ἀπήρξατο τοῖς θεοῖς. οὐ τούτων οὖν ἔθνον. Quod tamen illinc abest, τούτων, in scripto exemplari reperitur: qua parte conuenit illi cum Porphyrio.

11. Φυλάττομεν, et quæ sequuntur. sic apud Pamphilum, ἐφύλαττον ἀθάνατον ἐν τοῖς ἱεροῖς ὡς ὄν.

13 Καὶ θυσίας. et paulo post. ἐκβαίνοντα, illic τὸ θυσιάσαι, & σημαίνοντα, in excuso. scriptus uero, quem uidi, nulla re discrepat ab auctoris lectione, priore in parte.

16 Αρασσομένους. Melius illic, ἀρασσομένους.

39 Βροτ χουσῶν παρανομίας. Apud Eusebium excusum pariter, ac scriptum, duobus locis προϊουσῶν. In primo scilicet, & in quarto eorundem librorum.

23.49. Αλλ' ὅτι γε. Apud Eusebiū, qui & huius loci testimonio utitur in quarto ἀλλ' ἔν γε.

24. 3. Αδικουμένων τῶν ἀφαιρεθέντων. Apud eundem excusum eodem in loco, particula negandi præposita est mendose' duobus his uerbis: Non tamen illa in scripto Eusebio inuenitur. quare hac parte integrior est auctor. Cum uero statim legatur illic: εἰ δὲ οὐδὲ καρπῶν ὁ ἀψάμενος ἀλλοτρίων ὅσιος οὐ θύει, ne illic quidem eadem particula legitur in manu exarato, ut neq; apud auctorē: nam in aliis conuenit scripto cum excuso. Cum uero idem excusus infra discederet a' lectione Porphyrii, δεινὸν αὐτὸ legens, idem scriptus οὕτω habet. Quod etiam parui ponderis est, abest quoq; aduerbium πάνυ, ab hac sententia, quæ ab eodē, in eadē re confirmanda, ponitur. τὸ τοίνυν μήθ' ὅσιον: μήθ' εὐδάπανον, οὐ πάνυ θυτέον.

26.11. Οὐδέ τις ἦν κείνοισιν. Septem hi continentes Empedoclis uersus adducuntur etiam ab Athenæo in. xii. δειπν. prope' a' principio libri: ubi de uoluptate differit. Apud quem hęc uariata sunt, quod tertius dimidiatus est: ita. n. illic legitur. ἀλλὰ κύπρις βασίλεια, quæ hic accreuerunt, uereor ne germana sint eius poëtæ, neq;. n. numeros suos habere uidentur, ut suspicionem mihi moueant, nec declaratio sint. sed in extremo quoq; quarto illic legitur ἱλάσκοντο: ut in eadē sede, consequētis, δαιδαλέοδμοις. itemq; in sexto ἀκρίτων. septimus duobus uerbis immutatus est: nec tamen uariatur sententia. ξανθῶν n. illic est, & ῥίπτοντες. In testimonio nō multo supra hic citato Sophoclis, apes itidem ξουθαὶ uocantur.

45. Ωστε καὶ τὴν ζώων, εἰ ἀπαρχὰς ἔθυον αὐτὰ θεοῖς, τούτων τινός. etc. Apud Eusebium

in quarto libro eiusdem argumenti, ubi totus hic locus adducitur, desideratur in his uerbis, τούτων: quod tamen exemplar scriptum retinet. infra uero, quod hic est, ἀδικήσειν ὁμολογοῦμεν, scriptum est, ἀδικεῖν. in consequēte uero οὐ δυτέον, addita particula negandi. in tertio ab hoc, ἀποδιδόντες. in penultimo τινὰς quod legitur, numerusque uariatus est in eo uerbo apud Eusebiū excusum, manu scriptus cū Porphyrio facit. in extremo huius paginæ δόξει ἡ. in primo uero consequentis οὐδὲ χάριν τινὸς, mendose, ut patet.

27.6. ζῶα: τοὺς γὰρ. etc. Apud Eusebiū non nulla præterea uerba hic interiecta sunt. ζῶα τὰ παρὰ πᾶσι τοῖς θεοῖς: τοὺς γὰρ, & quæ sequuntur.

23. ζωοθυτοῦν εἰς τὸν αὐτὸν. &c. Non uidetur locus uitio carere. Apud Eusebium excusum in IX. eorundem librorum legitur, ζωοθυτοῦσιν. εἰ γὰρ αὐτὸν ἡμᾶς τρόποις τισὶ κελεύοι θύειν. scriptus, quem uidi, ζωοθυτούντων εἰς habet. In reliquis conuenit illi cum impresso: nā quod initio huius exempli illic est, διότι, uidetur uitiosum esse, & sane abest id uerbum ab eodem scripto, ut a' Porphyrio quoque.

40. Ἐμφύλιον αἷμα ῥαίνουσι. Apud Eusebiū excusum in quarto eiusdem scriptionis, ἐμφύλιον ἀεὶ αἷμα: mendose, ut arbitror. nam ne inscripto quoque eius auctoris exemplari, aduerbium id temporis legitur.

28.6. Ταύρων δ' ἀκρίτοισι. Apud eundē eodē in libro ἀκρήτοισι. Suspicor ἀκρήτοισι apud auctorē fuisse. In tertio uersu Empedoclis, ἀπορρήσαντας ἐέδμεναι in excuso. in scripto uero ἀπορραίσαντας ἐέδμεναι. Quod ad posteriorē uarietatem pertinet, res certa est: uera. n. hæc lectio est. Cū uero in Porphyrii uerbis, citatis ab Eusebio ante Agrigentini poëtæ uersus, duo discrimina sint in impresso, manu scriptus nō discedit a' lectione, quā nunc apud auctorem est: nam ἔτι φύσις quoque illic legitur, & συνηρέσκετο, non numero multitudinis συνηρέσκοντο.

44. Τοῖς διοπτολίοις. Emendandum, ut puto, διπολίοις. ita. n. uocabantur hi ludi, uerbum frequens apud ueteres Græcos scriptores.

29.46. Θρησκεύομεν αὐτὸν. Apud Eusebiū in. iiii, a' quo omnis hic locus in testimonium uocatur, θρησκεύσωμεν. & in primo quoque sequētis paginæ ψυχῆς: τῆς θεοῦ δὲ θεωρίας. Cū autem in excusis ita legatur, scriptus ille nō discrepat a' lectione auctoris, ut in tribus, quæ sequuntur uarietatibus cū impresso Eusebio facit. in. ii. enim eiusdē paginæ ἐκγόνοις. In tertio etiā ἀπαρχὴ recto casu, quod uerius puto: itidemque, εἰς τὸ τὴν συνέχει τὴν οὐσίαν magna uarietate, quæ mihi probatur.

30.24. Οἶδα δὲ, ὅτι δυσσεβείας φροντίζων. Tribus uersibus qui sequuntur, tres scripturæ uarietates apud eundē, qui ipsos in quarto adducit, inueniuntur. eas huic lectioni censeo præferendas: primum. n. ὁ τῆς δυσσεβείας illic legitur: nec tamen nō scriptus noster ab excuso in hoc discrepat, & quasi se ad auctoris lectionem adplicat, quantum perturbatus ille hac parte manifesto sit: ita. n. habet: οἶδα δὲ ὅτι ὅταν δυσσεβείας. infra: δαίμοσι δὲ, ἀλλ' ἤτοι ἀγαθοῖς. in extremo uero αὐτῇ δεομένων.

31.11. Ὅσαι δὲ ψυχαὶ τῆς συνεχοῦς. XVI. consequētes uersus ab eodē in eodē libro ponūtur: discrepat autē his locis apud illum scriptura ab ea, quā nūc apud auctorē reperitur. δὲ ὅσαι eiecta media uoce: nam quod ante hæc uerba in excuso Pamphilo est πολυκεκράτηνται, in scripto exemplari, καὶ κρατοῦνται, ut apud Porphyriū. infra καὶ αὐταὶ. item ἀλλ' ἐν σχήμασι, particula orationis adiuncta: statimque, καὶ χαρακτηρίζουσαι τὸ πνεῦμα αὐτῶν αἱ μορφαὶ. Quod uero in excuso legitur. τὸ δὲ ὑπὸ τῶν ψυχῶν, mendosum est, & ut hic τῷ, dandi casu, legi debet, ut in scripto quoque Eusebii codice scriptū offendi. illud uero καὶ ῥέπειδαι uerum est, & ita corrigere apud Porphyriū oportet: ut in his uerbis itē duob. nominib. integrius seruatis οἱ πλεῖον τῷ παθητικῷ νέμοντες τὸν περίγειον τόπον, οὐδὲν ὅτι τῶν κακῶν, &c. sequēte uersu. ἔχοντες, quod apud auctorē uitiosum erat. Cū uero, quod sequitur uariatū sit apud eundē in excuso libro, legaturque illic ἐστερημένοι τε τῆς ἀπὸ τῆς ἀπὸ τοῦ κρείττο-

νος φυσικῆς εὐδαιμονίας, nõ recipi arbitror oportere: nec ullo modo anteponendã illam lectioni nostræ puto.

39. Ταῦτα δὲ, καὶ τὰ ὅμοια ποιοῦσι. Versus item. XXI, qui deinceps sequuntur, citantur ab eodem in eodem libro, non longe ab extremo. et nisi fallor, emẽdatiores. Varietates igitur indicabo. quod hic ἐπ' αὐτὸν μεταστρέψαι, illic ἐφ' ἑαυτόν. infraq́. δὴ τὰς τοιαύτας ἐπιθυμίας τῶν ἀνθρώπων ἐκκαίειν. quod uerius puto. consequẽte uersu κενοδοξίας: quod itẽ probo: nam ξενοδοξίας mãifesto uitiosum, quãuis in excuso Eusebii codice peruerse legatur patrio casu, unitatis numero, κενοδοξίας. post ἀναπείθουσι καὶ περὶ τῶν μεγίστων θεῶν. uersu, qui sequitur ᾧ δὴ καὶ τεταράχθαι. In secũdo sequentis paginæ. δοκούντων σοφῶν ἀκούοντα, et paucis uerbis post, ἔτι μᾶλλον περὶ τῶν θεῶν τὰ τοιαῦτα. In scripto tamen, ut apud Porphyrium ἐπὶ μᾶλλον. In. VII. nõ leguntur hæc uerba in exemplo Platonis. οὐδὲ ψυχρότητος τὸ θερμαίνειν, ἀλλὰ τοῦ ἐναντίου. quæ illic inueniuntur. Cum autẽ uno illo exẽplo contentus nõ fuerit eruditissimus scriptor, sed alterum etiam addiderit, diuersum tamen a superiore id attulit, & ad alias res transiit, si fidem habere uolumus sententiæ ipsius auctoris. ut uero tota res, & in quo uitium manet, facilius perspiciatur, totũ Platonis locũ adducam. Οὐ γὰρ θερμότητος οἶμαι ἔργον, ψύχειν, ἀλλὰ τοῦ ἐναντίου. Ναί. Οὐδὲ ξηρότητος ὑγραίνειν, ἀλλὰ τοῦ ἐναντίου. Πάνυ γε. Οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν, ἀλλὰ τοῦ ἐναντίου. Aut igitur satis esse putauit Porphyrius prius ponere, aut si posterius etiã exemplũ adiũxit: quod uerisimilius est (extrema. n. pars posterioris nulla in re discrepans a fine prioris, ansam præbere potuit peccandi librario) cogitandum, an uerba ipsa, sententiamq́ auctoris, aut exemplũ uariarit: ac, qđ in mentẽ uenit, ad idẽ tamẽ ꝓbãdũ aptũ, addiderit. Sunt. n. aliæ quoq́ uarietates a lectiõe Platonis in testimonio hoc inde petito: est autẽ locus acceptus e primo libro de Republica. Infra. δικαιότατον δήπου φύσει πάντων τὸ θεῖον, ἐπεὶ οὐδ' ἂν ἦν θεῖον, pusillis duab. ĩmutatiõib. quas tñ omittere nolui, quin indicarem & hoc etiã in exẽplari Eusebii scripto manere δὲ, quo loco posita est apud Porphyriũ.

32.25. Σώφρων εὐλαβήσεται. In quarto eorũdẽ librorũ hic quoq́ locus adducitur, aliquãtulũ uariatus: nã εὐλαβηθήσεται illic scriptũ est, & infra numero unitatis πλούτος. ut non multo post ἔκτη τῶν ἄγων, nõ ut hic ἐκτὸς: nec nõ tamen in scripto exẽplari ἐκτὸς. Consequente quoq́ uersu, ne nihil omittamus, ὁ δὴ γίνεται, Et in eo item, qui sequitur πρὸς αὐτὰ, καὶ κατ' αὐτὰ ζωῆς.

34.15. Ον δ' ὑμεῖς ἀπογράφετε φιλόσοφον. etc. sumit hinc quoq́ testimonium Eusebius in eodem libro. Lectionis autẽ uarietates hæ sunt: quod τῷ μάντει, dandi casu illic scriptũ est: & sequente uersu, περὶ κλοπῆς, nõ ut hic, προκοπῆς: nã quod supra est μεμελέτηκε, cũ illic legatur, μεμέληκε, mendosum est: Quod etiam confirmatur auctoritate manu scripti Eusebii.

36. Καὶ ὅτι ταῦτα. In eodẽ libro leguntur. XXXIII. uersus, qui hic deinceps sequunť: in ipsis q̃ uarietates sint, adnotabo. Primũ discrimen pusillum est: οἴνου nanq́ ποτίστης, generandi casu illic scriptum est. Et consequẽte uersu. Χορωνεία. in qua lectionis diuersitate manet, cum iterũ post eodem in libro huius oppidi mẽtionẽ faciat. In penultimo huius paginæ: ἔθυον δὲ. In secũdo item consequentis eadẽ ratione ἔθυον, non ἐθύοντο, ut hic ambob. in locis. Cũ autẽ hic infra legatur. καὶ Δουμάτιοι δὲ τῆς Ἀραβίας illic scriptũ est. καὶ Δουματηνοὶ δὲ τῆς Ἀραβίας. In extremo uersu. λαοσαρίου imutata litera, nõ λαστιαρίου, perperam, ut arbitror: nã scriptus Eusebii liber cum Porphyrio facit.

35.31. Οτι δὲ οὐδὲ θεοῖς. Non omittam, quin exiguas etiam quasdam scripturæ uarietates hic adnotem: cũ. n. hic quoq́ locus, eodẽ in libro eiusdem auctoris adducatur, scriptum illic est, οὐ θεοῖς: Pauloq́ post προσῆγον. infraq́ καὶ οὐκ ἐσχέτλιασαν: quãuis absit a scripto Pamphili exemplari cõiunctio, nec etiã illius loco sit articulus ὁ,

ut apud Porphyrium.

36.5. Ὅταν δὲ νέος. X. qui sequuntur uersus legũtur apud eundẽ in eodẽ libro. Lectio uero quattuor locis ĩmutata est, fidelius illic, nisi fallor, custodita. Primũ discrimen ποτ᾽ ἂν ἑκὼν. manifesto melius: nã quod est hic, ἀδικήσειν οἴσεται αὐτῷ: sine dubio rectum est, cum illic deprauate legat, numero multitudinis: generãdi casu, αὐτῶν, confirmante etiã scripto exemplari nostrã lectionem. Infra, θεοῖς δὲ ἀρίστη μὲν ἀπαρχὴ, et in extremo uersu κατακλίσεων, uariata una litera tantum in media syllaba eius nominis. Quod tamen multũ sententiã uariat, ac meliorem reddit: statimque ζωοτρεφέων δύσεων.

34.14. Ἀπὸ δὲ ταύτης ὁρμώμενοι. Adduxit omnẽ hunc locum in. III. eorundẽ librorũ Eusebius, ut XXIIII. cõtinẽtes uersus poneret. Lectiõis uarietates in illis hæ sũt. Quartus ab hoc uersus duob. uerbis ĩmutatus est, καὶ ὁμοίως ποῦ ἀνίμιξαν θηρία καὶ ἀνθρώπους, quod placet. Paulo item post, σώματα καὶ ἀνθρώπων. Infra ἄγο κυνοπολίτην, non λυκοπολίτην: quãuis νομὸς etiã foret in ea terra, a lupo appellatus: cuius Plutarchus mentionẽ fecit in cõmẽtario de Iside, & Osiride. βουσιρῖται δὲ, καὶ λυκοπολῖται σάλπιγξιν οὐ χρῶνται. sed alio etiam in loco post. Ab eodẽ uersu apud Pamphilum, excusum pariter, et scriptũ, abest τοῦ θεοῦ. Initio tamen consequentis, nõ dum sententia absoluta, quod est in excuso ὃν, perspicue uitiosum est, ac numero multitudinis patrio casu ὧν, ut apud auctorem, & scriptum Pamphilum, legi debet. Quod uero statim sequitur illic ὕδωρ, καὶ πῦρ σέβονται, τὰ κάλλιστα τῶν στοιχείων, multis modis diuersum est. Quod ad priorem uerbi, non sententiæ mutationẽ pertinet, infra etiam, uersu ab hoc quinto, eadẽ ratione σέβονται. Posterior uarietas, quæ sententiã ualde uariat, accurate animaduertẽda: mihi sane magis probatur lectio auctoris. Post hunc. πλέον τούτων ἐσίφθησαν, τὰ ὡς θεῶν, duab. uarietatib. quarũ utrãque pbo. In eo, qui sequit. ταῦτα δὲ πάντα τὰ ζῶα, ἐπεὶ. Consequens itẽ plurib. modis immutatus: nam & τούτων θύεται illic legitur, cũ tamen scripto Pamphili exẽplari cõueniat cũ Porphyrii lectiõe. Et post. ὁ δὲ μετ᾽ ὀλίγον φάγοι ἂν τὰ ἴδια αὐτῷ, ὡς ἀνθρώπῳ παρασκευασμένα.

40. Κάνθαρον δὲ ἀμαθεῖς. Et hic quoque locus post eum citatur. Prima uarietas est in primo uerbo: generandi. n. casu illic legitur κανθάρου: perperam tamen: nã scriptus etiam manu Eusebii liber, eodem casu quo Porphyrius id uerbum habet. Quod ad historiam pertinet, & hũc absurdũ morem Aegyptiorũ, id quoque a Plinio memoriæ proditũ est lib. xxx. Cap. xi. qui, quod traditur hic a Porphyrio, excogitatum esse ab Appione affirmat, ad excusandos gentis suæ ritus: ipse. n. hoc quoque ab eadem ipsorum stultitia profectum putat, qua huiuscemodi multæ superstitiones in animis ipsorũ uigebant. Quod etiã hic est εἰκοσιοκτὼ, illinc abest. quare existimari potest scholion esse: Itemque infra in hoc discrepat, quod illic ὡς ἐκ φρονήσεως, scriptum est.

55.29. Εἰσὶ πάνυ οἱ Ἐσσαῖοι. LXXIIII, qui sequunt uersus, adducuntur item ab Eusebio in. ix. libro. Varietates igitur scripturę, quæ plures apud eum sunt, adnotabo. γάμου μὲν αὐτοῖς ὑπερορία, sine præpositione παρὰ, legit in excuso, mendose tamen, nisi fallor: scriptus nanque idẽ nõ discrepat in hoc a lectione auctoris. Infra κυλίδα δὲ. adiuncta coniũgendi particula, & eodẽ uersu ἀλειφθῇ. non multo post. ἔχουσιν ἀρετῆς ..., & sequẽte uersu εἰδόασιν ὥσπερ ζωήθεις In antepenultimo huius paginæ, τῆς μεταδόσεως ἀκωλύτως ἡ μελέτη, duob. uerbis immutatis. Quod ad posteriorem pertinet ĩmutationẽ, puto id culpa librarii cõmissum: nã scriptus ille nõ discedit a lectione Porphyrii. In primo sequẽtis paginæ, ἐπιμελητῶν αἱροῦνται, sine uerbo, indefinito tempore posito. In tertio, σκεπάσμασιν, οὕτω, pro, ut est apud auctorẽ, σκέπασι λινοῖς. In quarto, discrimine non uariante sententiã, εἰ δὲ μηδενὶ. Nec multo post καθιζόντων. In cõsequẽte uersu προαγορεύ-

χεται: quod manifesto mendosum est, & refellitur etiã a scripto Eusebii exemplari. In nono· ἀειστοποιησάμενος δ' ἐπεύχεται μᾶλλον. quod item falsum puto: nam quod pertinet ad extremum uerbũ, πάλιν quoq; legitur in eodẽ manu scripto. Initio.xi. δ' φαινοῦσι δ' ἀποστρέψαντες. In. xx. ἦθος δοκιμάζεται: quod placet. Tertio ab hoc uersu. καὶ ζωοδεικνῦσθαι δικαίοις, quod improbo: quamuis in scripto quoq; exẽplari, eodẽ pacto legatur. xxvii. uersu. ψευδομένοις ἀποβάλλεσθαι: Nec tamen, quod est apud auctorem, προβάλλεσθαι puto repudiandũ: capitur. n. quoq; id uerbũ hoc intellectu, ut ualeat odio prosequi. Plutarchus in cõmentario de Iside. οὐχ ἥκιστα δὲ καὶ τὸν ἰχθὺν ἀπὸ ταύτης προβάλλονται τῆς αἰτίας, καὶ τὸ μισεῖν ἰχθὺν γράφουσιν. xxxv. ἀνέλαβον, ἰσχυρῶ. xxxviii. ὡς μὴ ταῖς αὐγαῖς ἐνυβρίζειν τοῦ θεοῦ, quod uerũ iudico. uerbũ uero, quod pręcedit hæc apud eũ, corruptum est: ita. n. legi debet, unitatis numero, dãdi q; casu, nõ θοιμαστῶν. xxxx. ἐκ δὲ τῆς ἀσκήσεως. sequente uero uersu, λογιζόμενοι. quod manifesto corruptũ est: eius uero uerbi in scripto illo uestigiũ nullũ, in eo, qui sequitur ὀργάνων, ἵν' ἢ βλασφημήσωσι, aduerbio adiuncto. In quarto uersu cõsequentis paginę & extremo positi illic exẽpli, ἀπάνιον δὲ εἰ ἐν ταῖς προαγορεύσεσιν, ἀστοχοῦσιν: abest tamen particula εἰ ab Eusebio illo scripto.

58. 8. Τὴν δ' Ἑκάτῃ ἵππον, ταῦρον, δὲ λέαιναν. Nihil, coniectura tantũ fretus, immutare uolui: quid uero suspicer, nunc admonebo. Puto igitur ταῦρον, λέαιναν legi debere, deleta particula δὲ, ut otiosa, uel potius sententiam perturbante.

Errata Impressorum.

9.	32.	τῶν ὕστερον.	50.	49.	ἀπνιῦ ἐτύγχανεν.
	33.	σοφώτατος.	51.	11.	λακεδαιμόνιον.
14.	45.	ζωπεῖνον.	53.	40.	ἀπεκέβαρον.
17.	41.	τῆς παρασκευῆς.		44.	περιπάτους ἢ ἕδρας.
19.	32.	περιθήσεται.	54.	6.	ἀπ' Αἰγύπτου.
22.	25.	ὡς ἴσοις.		29	τοῦ οὐδοῦ.
24.	2.	ἀποδίδωσι.		31.	Ἀναβὰν κάμιλω.
26.	33.	εἰδῶ οὔτε.		41.	προγνωστικώτατον.
	35.	ἔτος ἄπλα.	56.	33.	πονφαγοῦντων.
28.	21.	καὶ τῶν βυλημάτων.	61.	20.	πρὸς οἷς προσῶν.
29.	47.	ὁμοιωθέντας.	62.	13.	ἑπομένοις.
42.	9.	ἐπιμελητάς.	63.	8.	ὅτ' ἂν βούλωνται.
43.	36.	οἷαι κροκόδειλοι.		31.	ἀγεψυχῆς.
47.	24.	πεφυκότος.	65.	36.	οὐ συγκλεισθῆναι.

In huiuscemodi quædam cum incurres apud Ephesium, tu ipse erudite lector corrigito.

REGISTRVM.

A B C D E F G H I.

Omnes sunt Quaterni, excepto I, qui est duérnio.

Impressum Florentiæ. In officina Bernardi Iunctæ Anno Domini. M. D. XLVIII.

X. Kal. April.

Ex quo quod sequitur est Aetii Medica compendia Pauli Aeginetae edita ab Aldi officina a. 1528. quam editionem desuit Fabricius tom. XII. pag. 577. Praemittitur operi distichon jambicum

Παύλου πόνον με γνῶθι τοῦ γῆς τὸ πλέον
Δια[illegible]όντος, φύντος ἐκ γῆς Αἰγίνης

(Repositum inter editiones Aldi)